καὶ ὅπως. In marg. Leoncl. eſt ὅπως καὶ, male. nam unus Morus recte vidit, orationem ſic procurrere, διέβη—ληψόμενος—ξυλλέξων—καὶ ὅπως ναυπ. atque ad ὅπως quoque referri debet ἀποσπάσειαν. *Z.* Fr. Portus ἐπιμελησόμενος aut ſimile verbum inſerebat.

§. 18. οἱ προδιδόντες. Hoc participium hic non pro verbo finito, intellecto ἦσαν, poſitum eſt, quæ eſt opinio Leonclavii; ſed nectitur cum verbo εἰσήγαγον §. 20. Quare ibi pro ἐπεὶ δὲ αὐτοῖς παρεσκ. aut corrigi debet ἐπεὶ αὐτοῖς παρ. deleta conjunctionis particula δὲ, quæ eſt Stephani ſententia, aut ἐπειδὴ αὐτοῖς, quod nos fecimus: nam ἐπειδὴ et ἐπεὶ δὲ ſæpe a librariis permutatum reperitur.

§. 19. σῶσαι. Caſt. σῶσοι, et cæteræ edd. vett. σῶσαι, male. Apud Plutarchum cap. 31. eſt ἐπὶ σωτηρίᾳ παραδώσειν τὴν πόλιν. Cæterum ille aliunde rem multo accuratius narrat et plane conſentit cum Diodoro xiii. 66. 67. Anaxilaum nominat etiam Polyænus i. 47. 2. a Weſſelingio emendatus ad Diodorum p. 594. qui monuit etiam p. 595, quæ de Chalcedone, Selymbria et Thraſyli clade nar-

ὁρῶν καὶ γυναῖκας λιμῷ ἀπολλυμένας, Βυζάντιος ὢν, καὶ οὐ Λακεδαιμόνιος· τὸν γὰρ ἐνόντα σῖτον Κλέαρχον τοῖς Λακεδαιμονίων στρατιώταις διδόναι. διὰ ταῦτ᾽ οὖν τοὺς πολεμίους ἔφη εἰσέσθαι, οὐκ ἀργυρίου ἕνεκα, οὐδὲ διὰ τὸ μισεῖν
20 Λακεδαιμονίους.) Ἐπεὶ δὲ αὐτοῖς παρεσκεύαστο, νυκτὸς ἀνοίξαντες τὰς πύλας, τὰς ἐπὶ τὸ Θράκιον καλουμένας,
21 εἰσήγαγον τὸ στράτευμα καὶ τὸν Ἀλκιβιάδην. ὁ δὲ Ἕλιξος καὶ ὁ Κοιρατάδας, οὐδὲν τούτων εἰδότες, ἐβοήθουν μετὰ πάντων ἐς τὴν ἀγοράν· ἐπεὶ δὲ πάντη οἱ πολέμιοι κατεῖχον, οὐδὲν ἔχοντες, ὅ τι ποιήσαιεν, παρέδοσαν σφᾶς αὐ-
22 τούς. καὶ οὗτοι μὲν ἀπεπέμφθησαν ἐς Ἀθήνας, καὶ ὁ Κοιρατάδας ἐν τῷ ὄχλῳ, ἀποβαινόντων ἐν Πειραιεῖ, ἔλαθεν ἀποδρὰς, καὶ ἀπεσώθη ἐς Δεκέλειαν.

## ΚΕΦ. Δ.

Ol. 93 ½. ΦΑΡΝΑΒΑΖΟΣ δὲ καὶ οἱ πρέσβεις, τῆς Φρυγίας ἐν Γορδίῳ ὄντες τὸν χειμῶνα, τὰ περὶ τὸ Βυζάντιον πεπραγμένα
2 ἤκουσαν. Ἀρχομένου δὲ τοῦ ἔαρος πορευομένοις αὐτοῖς παρὰ βασιλέα ἀπήντησαν καταβαίνοντες οἵ τε Λακεδαιμονίων πρέσβεις, Βοιώτιος ὄνομα, [καὶ οἱ μετ᾽ αὐτοῦ,] καὶ οἱ ἄλλοι ἄγγελοι, καὶ ἔλεγον, ὅτι Λακεδαιμόνιοι πάντων,

rantur a Xenophonte, referri a Diodoro ad annum Olymp. 92. 4. anno igitur priora.

εἰσέσθαι. *Intromisisse.*

§. 20. [Ἐπεὶ δὲ αὐτοῖς—. Nihil hic tentandum. Δὲ eſt Lat. *ergo*, ſolemne orationi poſt injectam ſententiam, modo longiorem, modo etiam breviorem, in viam reducendæ. Rarius hic ab Atticis uſurpatur οὖν. Illud δὲ mutarunt quidem docti paſſim vel in δὴ vel alio modo; ſed exempla adhuc reſtant tam multa, ut vel audaciſſimum correctorem fatigent. Conf. i. 6. 4. iv. 8. 28. vi. 3. 3. etc. *F. A. Wolfius.*]

[παρεσκεύαστο. Deeſſe vocem πάντα vel ſimilem ſuſpicor. *Ex Addendis.*]

τὸ Θράκιον. Cf. Exped. vii. 1. 24. unde patet locum fuiſſe intra mœnia urbis.

§. 22. ἀποβαινόντων. Brodæus intelligit τῶν ἄλλων.

§. 1. οἱ πρέσβεις. Cf. i. 3. 13.

τὸν χειμῶνα. H. e. poſt Octob. 35.

§. 2. ἀρχομ. ἔαρος. Poſt Apr. 13.

καὶ οἱ μετ᾽ αὐτοῦ. Hæc delenda putat Morus, ut interpretationem verborum καὶ οἱ ἄλλοι ἄγγελοι. Non male; niſi quis malit ſequentia καὶ οἱ ἄ. ἄγγελοι ad gloſſemata referri. *Z.* Legationem hanc Lacedæmoniorum duce, ut videtur, Bœotio miſſam ab altera, cujus dux erat Paſippides, diverſam et tempore priorem fuiſſe ſuſpicatur Morus.

ὧν δέονται, πεπραγότες εἶεν παρὰ βασιλέως· καὶ Κῦρος, ἄρξων πάντων τῶν ἐπὶ θαλάττῃ, καὶ ξυμπολεμήσων Λακεδαιμονίοις. Ἐπιστολήν τε ἔφερε τοῖς κάτω πᾶσι, τὸ 3 βασίλειον ἔχουσαν σφράγισμα, ἐν ᾗ ἐνῆν καὶ τάδε· Καταπέμπω Κῦρον, κάρανον τῶν ἐς Καστωλὸν ἀθροιζομένων. τὸ δὲ κάρανον, ἐστι κύριον. Ταῦτ' οὖν ἀκούοντες οἱ τῶν 4 Ἀθηναίων πρέσβεις, καὶ ἐπειδὴ Κῦρον εἶδον, ἐβούλοντο μὲν μάλιστα παρὰ βασιλέα ἀναβῆναι· εἰ δὲ μὴ, οἴκαδε ἀπελθεῖν. Κῦρος δὲ Φαρναβάζῳ εἶπεν, ἢ παραδοῦναι τοὺς 5 πρέσβεις ἑαυτῷ, ἢ μὴ οἴκαδέ πω ἀποπέμψαι, βουλόμενος τοὺς Ἀθηναίους μὴ εἰδέναι τὰ πραττόμενα. Φαρνάβαζος 6 δὲ τέως μὲν κατεῖχε τοὺς πρέσβεις, φάσκων τοτὲ μὲν, ἀνάξειν αὐτοὺς παρὰ βασιλέα, τοτὲ δὲ, οἴκαδε ἀποπέμψειν, ὡς μηδὲν μέμψηται· ἐπειδὴ δὲ ἐνιαυτοὶ τρεῖς 7 ἦσαν, ἐδεήθη τοῦ Κύρου, ἀφεῖναι αὐτοὺς, φάσκων ὀμωμο-

καὶ Κῦρος. Scil. ἀπήντησεν.

§. 3. ἔφερε. Sc. ὁ Κῦρος. Cf. Exped. i. 1. 2: 9. 7. Verba: τὸ δὲ κάρανόν ἐστι κύριον ſpuria cenſebat Kœppen. In Anabaſi i. 1. 2. καὶ στρατηγὸν δὲ αὐτὸν ἀπέδειξε πάντων. ὅσοι εἰς Καστωλοῦ πεδίον ἀθροίζονται. pro quo in Diodoro eſt xiv. 19. ὁ τῶν ἐπὶ θαλάττης σατραπειῶν ἡγούμενος; et in Plutarcho in Artaxerxe: Λυδίας σατράπης καὶ τῶν ἐπὶ θαλάττης στρατηγός. Ad Xenophontis locum reſpexit Stephanus Byz. Καστωλοῦ, inquit, πεδίον, Δωριέων, ὡς Ξενοφῶν. ἐκλήθη δὲ ὅτι Καστωλοὺς τοὺς Δωριεῖς οἱ Λυδοί φασι. ἦν δὲ πόλις ἐν Λυδίᾳ Καστωλός. In quo loco quid ſibi velit interſertum Δωριέων, et unde habuerit Stephanus, Dorienſes appellatos fuiſſe a Lydis Caſtolos, et qui denique Dorienſes intelligantur, ignoro. Deinde dubitationem mihi injicit, quod ibi Caſtoli campus, hic Caſtolus urbs nominetur, ubi conventus erat urbium vicinarum et populorum Perſarum imperio ſubjectorum. An campus Caſtoli nominatur ideo, quia in eo copiæ bello exorto militares explicabantur et recenſebantur? Dores conveniſſe Caſtoli, ut Iones Panionii, opinio eſt Larcheri, gallici Anabaſeos interpretis, nullo argumento firmata. Idem vocabulum κάρανον non Perſicæ nec Syriacæ dialecti cum auctore Lexici MS. a Segaar Epiſt. ad Valckenair p. 41. laudata, ſed Doricæ eſſe putat, eoque uſum eſſe Darium, quoniam cum Doribus loqueretur. Etiam Kœppen græcæ originis eſſe κάρανον voluit. In Anabaſi i. 2. 11. Καΰστρου πεδίον urbs appellatur: ex quo loco Καστωλοῦ πεδίον de urbe dictum defendi poteſt. *S.*

[τὸ δὲ κάρανον ἐστι κύριον. Non video ſatis, cur hoc ad ſpuria relegetur. Κάρανος, ut Græcæ originis ſit, quod vulgo in uſu non eſſet, egebat tali explicatione. *F. A. Wolfius.*]

§. 5. μὴ οἴκαδέ πω. Μήπω, *nondum*, divulſum eſt, ut Exped. vii. 3. 35. Cf. Morus ad Iſocratis Panegyricum cap. 2.

§. 6. ὡς μηδὲν μέμψηται. *Ut Cyrus non haberet querendi cauſam.* Fr. Portus legebat μέμψωνται.

§. 7. ἐνιαυτοὶ τρεῖς. Paulo ante quam ad patrem moribundum aſcenderet Cyrus.

ὀμωμοκέναι. Cf. i. 3. 8 ſqq.

κέναι, ἀπάξειν ἐπὶ θάλατταν, ἐπειδὴ οὐ παρὰ βασιλέα. Πέμψαντες δὲ Ἀριοβαρζάνει, παρακομίσαι αὐτοὺς ἐκέλευον· ὁ δὲ ἀπήγαγεν ἐς Κίον τῆς Μυσίας, ὅθεν πρὸς τὸ ἄλλο στρατόπεδον ἀπέπλευσαν.

8 Ἀλκιβιάδης δὲ, βουλόμενος μετὰ τῶν στρατιωτῶν ἀποπλεῖν οἴκαδε, ἀνήχθη εὐθὺς ἐπὶ Σάμου. ἐκεῖθεν δὲ, λαβὼν τῶν νεῶν εἴκοσιν, ἔπλευσε τῆς Καρίας ἐς τὸν Κεραμικὸν 9 κόλπον. ἐκεῖθεν δὲ, συλλέξας ἑκατὸν τάλαντα, ἧκεν ἐς τὴν Σάμον, Θρασύβουλος δὲ σὺν τριάκοντα ναυσὶν ἐπὶ Θρᾴκης ᾤχετο. ἐκεῖθεν δὲ τά τε ἄλλα χωρία τὰ πρὸς Λακεδαιμονίους μεθεστηκότα κατεστρέψατο, καὶ Θάσον, ἔχουσαν κακῶς ὑπό τε τῶν πολέμων, καὶ στάσεων, καὶ λιμοῦ. 10 Θρασύλος δὲ σὺν τῇ ἄλλῃ στρατιᾷ ἐς Ἀθήνας κατέπλευσε. πρὶν δὲ ἥκειν αὐτὸν, οἱ Ἀθηναῖοι στρατηγοὺς εἵλοντο, Ἀλκιβιάδην μὲν φεύγοντα, καὶ Θρασύβουλον ἀπόντα, Κόνωνα 11 δὲ τρίτον ἐκ τῶν οἴκοθεν. Ἀλκιβιάδης δ᾽ ἐκ τῆς Σάμου, ἔχων τὰ χρήματα, κατέπλευσεν ἐς Πάρον ναυσὶν εἴκοσιν. ἐκεῖθεν δ᾽ ἀνήχθη εὐθὺ Γυθείου ἐπὶ κατασκοπῇ τῶν τριήρεων, ἃς ἐπυνθάνετο Λακεδαιμονίους αὐτόθι παρασκευάζειν τριάκοντα, καὶ τοῦ οἴκαδε κατάπλου, ὅπως ἡ 12 πόλις πρὸς αὐτὸν ἔχοι. Ἐπεὶ δὲ ἑώρα ἑαυτῷ εὔνουν οὖσαν, καὶ στρατηγὸν αὐτὸν ᾑρημένους, καὶ ἰδίᾳ μεταπεμπομένους

*βασιλέα.* Sc. ἀνῆγε, *quia ad regem non duxiſſet.*

§. 9. *ἐπὶ Θρᾴκης.* Rem eandem ſed ſerius narrari a Diodoro ſcilicet Olymp. 93. 1. monet Morus. Diodori locus eſt xiii. 72. ubi Thaſum a Thraſybulo et Abdera, Thraciæ urbem, captas narrat. Sed idem jam antea cap. 64. ſub Olymp. 92. 4. narraverat, Thraſybulum ad Thraciam miſſum fuiſſe, ut civitates recuperaret. Potuit igitur illic uſque in annum ſequentem commoratus eſſe; potuit eadem expeditio ſemel atque iterum ſuſcepta fuiſſe. Abſenti Thraſybulo imperium continuatum fuiſſe, annotavit Xenophon. cap. 4. Demoſthenes contra Leptinem p. 474. ab Ecphanto Thaſum traditam et præſidium Laconicum ejectum fuiſſe ait: ſed de tempore non conſtat inde, quod putabat Weſſeling ad Diodorum ii. p. 598. *S.*

§. 11. *ἐπὶ κατασκοπῇ. Eo conſilio ut obſervaret:* Cod. Venet. et marg. Steph. *ἐπὶ κατασκοπήν.*

*τοῦ οἴκαδε κατάπλ.* Sc. *ἐπὶ κατασκοπῇ, ut obſervaret redeundi in patriam opportunitatem, cognoſceretque, quo animo erga ipſum eſſet civitas.*

§. 12. *ᾑρημένους.* Per ſyneſin intellige τοὺς πολίτας ex præc. nomine πόλεως.

τοὺς ἐπιτηδείους, κατέπλευσεν ἐς τὸν Πειραιᾶ ἡμέρᾳ, ᾗ Πλυντήρια ἦγεν ἡ πόλις, τοῦ ἔδους κατακεκαλυμμένου τῆς Ἀθηνᾶς· ὅ τινες οἰωνίζοντο ἀνεπιτήδειον εἶναι καὶ αὐτῷ καὶ τῇ πόλει. Ἀθηναίων γὰρ οὐδεὶς ἐν ταύτῃ τῇ ἡμέρᾳ οὐδενὸς σπουδαίου ἔργου τολμῆσαι ἂν ἅψασθαι. 13 Καταπλέοντος δ᾽ αὐτοῦ, ὅ τε ἐκ τοῦ Πειραιῶς καὶ ὁ ἐκ τοῦ ἄστεος ὄχλος ἠθροίσθη πρὸς τὰς ναῦς, θαυμάζοντες, καὶ ἰδεῖν βουλόμενοι τὸν Ἀλκιβιάδην, λέγοντες οἱ μὲν, ὅτι ὡς κράτιστος εἴη τῶν πολιτῶν, (καὶ μόνος ἀπελογήθη, ὡς οὐ δικαίως φύγοι.) ἐπιβουλευθεὶς δὲ ὑπὸ τῶν ἔλαττον ἐκείνου δυναμένων, μοχθηρότερόν τε λεγόντων, καὶ πρὸς τὸ αὐτῶν ἴδιον κέρδος πολιτευόντων· ἐκείνου ἀεὶ τό [τε] κοινὸν αὔξοντος, καὶ ἀπὸ τῶν αὐτοῦ, καὶ ἀπὸ τοῦ τῆς πόλεως δυνατοῦ.

*ἡμέρᾳ ᾗ Πλυντήρια.* Plutarchus Alc. cap. 34. ſcribit, fuiſſe diem vigeſimum quintum menſis Thargelionis. Ergo reditus Alcibiadis cadit adhuc in annum primum, ſed exeuntem, olympiadis nonageſimæ tertiæ; quo eum accidiſſe quoque, ait Diodorus xiii. 68. Deſcribit eum Athenæus xii. p. 535.

*ἀνεπιτήδειον.* Plutarchus l. l. rem illuſtrat. *Δρῶσι δὲ τὰ ὄργια Πραξιεργίδαι ἀπόῤῥητα· τόν τε κόσμον καθελόντες, καὶ τὸ ἕδος κατακαλύψαντες. ὅθεν ἐν ταῖς μάλιστα τῶν ἀποφράδων τὴν ἡμέραν ταύτην ἄπρακτον Ἀθηναῖοι νομίζουσιν. οὐ φιλοφρόνως οὖν οὐδ᾽ εὐμενῶς ἐδόκει προσδεχομένη τὸν Ἀλκιβιάδην ἡ θεὸς παρακαλύπτεσθαι καὶ ἀπελαύνειν ἑαυτῆς.*

§. 13. *λέγοντες οἱ μέν.* Plerique libri habent *λέγοντες ὅτι οἱ μέν.* ſed de Leonclavii ſententia Welſius et Morus illud *ὅτι* rectius repoſuere poſt *οἱ μέν.* Verum ipſa ſedes iſta aliena indicio eſt, eſſe gloſſema, quod quis ſive in margine ſive, quod magis placet, inter verſus ad explicandum illud *ὡς* ſcripſerit. Ergo plane delendum putavi. Cæterum huic *οἱ μὲν* reſpondere verba *οἱ δὲ ὅτι τῶν παρ.* initio §. 17, quivis facile videt.

[Scrib. f. *λέγοντες οἱ μὲν, ὡς ὅτι κράτιστος.* Statim verba incluſa, *καὶ μόνος* etc. tantum aberat, ut pro gloſſis haberem, ut mihi loquentium conſilio optime congruere viderentur. Frigent ea prolata a Xenoph. ex ſua perſona. Indicativus autem *ἀπελογήθη* bene habet, quippe in *re facta*, quamvis ſupinus ſit modus conſtruendi. Sequitur item *ἐστέρησαν* et *ἠναγκάσθη*, ubi nemo ſcriptorem ipſum loqui putet. Non poſſunt hæc ex ſyntaxi Latinorum judicari. *F. A. Wolfius.*]

*ἀπελογήθη.* Sic Steph. nam ante Stephanum edebatur *ἀπηγγέλθη*, quod non eſt abſurdum. Haud dubie enim hæc verba ſpectant, quod §. 10. ſcripſerat auctor, Alcibiadem exulem creatum eſſe ducem adeoque declaratum innocentem. Sed eadem verba, ſive populo tribuas ſive hiſtorico ipſi, ſenſum efficiunt minus commodum. Quare tanquam gloſſema uncinis includenda putavi. Quodſi refers ad populum; reſcribendum eſt *ἀπολογηθείη* aut *ἀπαγγελθείη*: nam præcedit *εἴη.*

*ἐπιβουλευθεὶς δέ.* Scil. *εἴη.*

*μοχθηρότερον.* Marg. Steph. *μοχθηρότερα*, non male.

*ἐκείνου δ᾽.* Deeſt *δὲ* in Junt. Bryl. et delevit Morus.

*τὸ κοινόν.* Vulgo dant *τό τε κοινόν.* ſed *τε* prorſus inutile eſt, ortum vel ex ſeq. *τότε*, vel ex interpretamento *τοῦ καὶ* proximi.

*ἀπὸ τοῦ τῆς π. δ.* Abeſt *ἀπὸ* ab Junt. et Bryl.

14 ἐθέλοντος δὲ τότε κρίνεσθαι παραχρῆμα, τῆς αἰτίας ἄρτι γεγενημένης, ὡς ἠσεβηκότος ἐς τὰ μυστήρια, ὑπερβαλλόμενοι οἱ ἐχθροὶ τὰ δοκοῦντα δίκαια εἶναι, ἀπόντα αὐτὸν
15 ἐστέρησαν τῆς πατρίδος. ἐν ᾧ χρόνῳ, ὑπὸ ἀμηχανίας δουλεύων, ἠναγκάσθη μὲν θεραπεύειν τοὺς ἐχθίστους, κινδυνεύων ἀεὶ παρ᾽ ἑκάστην ἡμέραν ἀπολέσθαι· τοὺς δὲ οἰκειοτάτους, πολίτας τε καὶ ξυγγενεῖς, καὶ τὴν πόλιν ἅπασαν ὁρῶν ἐξαμαρτάνουσαν, οὐκ εἶχεν ὅπως ὠφελοίη, φυγῇ
16 ἀπειργόμενος. οὐκ ἔφασαν δὲ τῶν οἵων περ αὐτὸς ὄντων καινῶν δεῖσθαι πραγμάτων, οὐδὲ μεταστάσεως. ὑπάρχειν μὲν γὰρ ἐκ τοῦ δήμου αὐτῷ μὲν, τῶν τε ἡλικιωτῶν πλέον ἔχειν, καὶ τῶν πρεσβυτέρων μὴ ἐλαττοῦσθαι· τοῖς δ᾽ αὐτοῦ ἐχθροῖς, τοιούτοις δοκεῖν εἶναι, οἵοις περ πρότερον, ὕστερον δὲ

§. 14. *τῆς αἰτίας ἄρτι γεγεν.* Nam Plutarchus Alc. 19. *ταῦτα γὰρ*, inquit, *ἐν τῇ εἰσαγγελίᾳ γέγραπται. Θεσσαλοῦ τοῦ Κίμωνος εἰσαγγείλαντος Ἀλκιβιάδην ἀσεβεῖν περὶ τὼ θεώ*, h. e. *Cererem* et *Proserpinam.* Cf. ibid. c. 22. ubi accusationis formula copiose perscripta exstat.

*ὑπερβαλλόμενοι—δίκαια εἶναι. Adversarii, dilata in aliud tempus ejus postulatione, quæ justissima esse videbatur*, etc.

§. 15. *ὑπὸ ἀμ. δουλεύων. Necessitate coactus.*

*ἐχθίστους.* Int. Lacedæmonios et Tissaphernem. Nam cum apud illos ob Agidis procerumque odium et invidiam se non tutum esse intellexisset, ad hunc tandem confugit. Thucyd. viii. 45: Plutarch. Alc. 24.

§. 16. *τὸν οἷός περ αὐτὸς ὄντα.* Libri omnes exhibent *τῶν οἵων περ αὐτὸς ὄντων.* Sunt qui intelligant *οὐδένα* aut *τινά*: alii emendant *τὸν, οἷόν περ αὐτὸν, ὄντα*, putantque locum infra ii. 3. 25. *τοῖς, οἵοις ἡμῖν καὶ ὑμῖν, χαλεπὴν πολιτείαν εἶναι δ.* similem nostro. Verum elegantiæ et linguæ legibus magis convenire videtur emendatio, quæ est in margine Castal. et Bryl. *τοὺς οἷός περ αὐτὸς ὄντας.* Sed illa cum nimis a scriptura librorum recederet; Leonclavii correctionem recipiendam putavi. Sensus est: *Negabant, talem virum, qualis Alcibiades esset, novis rebus indiguisse et formæ civitatis mutatione.* Z. Equidem ex simili loco ii. 3. 25. legendum censeo *τὸν οἷον περ αὐτὸν ὄντα.* Quod nisi rectum est, etiam altero in loco legendum esset: *τοῖς οἷοι περ ἡμεῖς καὶ ὑμεῖς χαλεπὴν* et cet.

*αὐτῷ.* Sic pro *ἑαυτῷ* restitui, sensu poscente et hortante Moro.

*τοιούτοις δ. ε. οἵοις.* Pro *τοιοῦτος δ. ε. οἷος* recepi Mori emendationem certissimam: nam, ut ex ipso dativo *δυνασθεῖσιν*, quod perperam in *δυνασθέντας* mutari voluit Leonclavius, intelligitur, dativi reguntur ab *ὑπάρχειν*, quod ex superiori membro repeti debet.

[*τοιούτοις δοκεῖν εἶναι, οἵοις περ πρότερον* etc. Hic longe audacior quam pro ingenio suo fuit Reizius noster. Mihi sic corr. videbatur: *οἵοις περ πρότερον δυναστεῖσιν ἀπολλύναι τοὺς βελτίστους, ὕστερον δὲ αὐτοὺς μόνους λειφθέντας* etc. Plura dixi in annotatione ad ipsum Reizii programma, quod cum reliquis ejus argumenti prelo revocatum his proximis nundinis accipies. *F. A. Wolfius.*]

*πρότερον ὕστερον δέ.* Hæc verba, quæ sensum turbant, delenda puto cum Reizio, Prof. Lips. Celeb. qui in Epimetro i. Prosodiæ gr. accentus inclin. hunc locum doctissime et dili-

δυνασθεῖσιν ἀπολλύναι τοὺς βελτίστους, αὐτοὺς δὲ, μόνους λειφθέντας, δι᾽ αὐτὸ τοῦτο ἀγαπᾶσθαι ὑπὸ τῶν πολιτῶν, ὅτι ἑτέροις βελτίοσιν οὐκ εἶχον χρῆσθαι. Οἱ δὲ, ὅτι τῶν 17 παροιχομένων αὐτοῖς κακῶν μόνος αἴτιος εἴη, τῶν τε φοβερῶν ὄντων τῇ πόλει γενέσθαι μόνος κινδυνεύσαι ἡγεμὼν καταστῆναι. Ἀλκιβιάδης δὲ, πρὸς τὴν γῆν ὁρμισθεὶς, 18 ἀπέβαινε μὲν οὐκ εὐθέως, φοβούμενος τοὺς ἐχθρούς· ἐπαναστὰς δὲ ἐπὶ τοῦ καταστρώματος, ἐσκόπει τοὺς αὐτοῦ ἐπιτηδείους, εἰ παρείησαν. κατιδὼν δὲ Εὐρυπτόλεμον τὸν 19 Πεισιάνακτος, ἑαυτοῦ δὲ ἀνεψιὸν, καὶ τοὺς ἄλλους οἰκείους, καὶ τοὺς φίλους μετ᾽ αὐτῶν, τότε ἀποβὰς, ἀναβαίνει ἐς τὴν πόλιν, μετὰ τῶν παρεσκευασμένων, εἴ τις ἅπτοιτο, μὴ ἐπιτρέπειν. Ἐν δὲ τῇ βουλῇ καὶ τῇ ἐκκλησίᾳ ἀπολογη- 20 σάμενος, ὡς οὐκ ἠσεβήκει, εἰπὼν δὲ, ὡς ἠδίκηται, λεχθέντων δὲ καὶ ἄλλων τοιούτων, καὶ οὐδενὸς ἀντειπόντος, διὰ τὸ μὴ ἀνασχέσθαι ἂν τὴν ἐκκλησίαν, ἀναῤῥηθεὶς ἁπάντων ἡγεμὼν αὐτοκράτωρ, ὡς οἷός τε ὢν σῶσαι τὴν προτέραν τῆς πόλεως δύναμιν, πρότερον μὲν τὰ μυστήρια τῶν Ἀθηναίων

gentiſſime pertractavit. Fortaſſis interpolatio originem cepit a ſcriptura περ. quare hanc particulam non cum Reizio exſulare juſſi. Senſus autem totius loci ex interpretatione ejuſdem Viri doctiſſimi eſt: *Nam populum quidem et illi hoc tribuiſſe, ut æqualibus anteferretur, majoribus natu non poſthaberetur, et de inimicis ejus ita exiſtimaſſe, illos eſſe tales, qui potentiam in civitate adepti evertere optimum quemque poſſent: cæterum poſteaquam in republica iſti jam ſoli relicti fuiſſent, neceſſario iis cives contentos fuiſſe, meliorum ducum et moderatorum inopia.*

§. 17. παροιχομένων κακῶν. Non injuria conquerebantur. nam ejus conſilio factum erat, ut Lacedæmonii Syracuſanis opem ferrent, Deceliam in Attica munirent, cum Perſarum rege amicitiam facerent et Ioniam a ſocietate averterent Athenienſium. Nep. Alcib. 4. et Plutarch. Alc. 23.

γενέσθαι. Perperam hoc abundare opinatur Stephanus. nam ſenſus eſt: *quæ metuenda eſſent ne poſthac civitati acciderent mala, horum illum ſolum videri ducem et auctorem eſſe creatum.* κινδυνεύσαι eſt optativus: male igitur edd. vett. dant κινδυνεῦσαι.

§. 19. Εὐρυπτόλεμον. Diverſum ab illo, qui cum Mantitheo et aliis ad regem Perſarum legatus fuit, ſupra iii. 13. is enim tertium demum poſt annum rediit ut cap. 4. 7. ait Noſter. Diverſus etiam ille Mantitheus videtur ab eo, quem cum Diodoro Helleſponto ducem Alcibiades abiens reliquerat auctore Diodoro xiii. 68. *S.*

§. 20. πρότερον—κατὰ γῆν. A quo nempe Decelia a Lacedæmoniis occupata tenebatur, via ſacra, quæ Eleuſina ferebat, Iacchum ſeu pompam ſacram deducere non auſi erant Athenienſes. Conf. Plutarch. Alc. 34.

κατὰ θάλατταν ἀγόντων διὰ τὸν πόλεμον, κατὰ γῆν
21 ἐποίησεν, ἐξαγαγὼν τοὺς στρατιώτας ἅπαντας· μετὰ δὲ
ταῦτα κατελέξατο στρατιὰν, ὁπλίτας μὲν πεντακοσίους ϗ
χιλίους, ἱππεῖς δὲ πεντήκοντα καὶ ἑκατὸν, ναῦς δ᾽ ἑκα-
τόν. Καὶ μετὰ τὸν κατάπλουν τρίτῳ μηνὶ ἀνήχθη ἐπ᾽
Ἄνδρον, ἀφεστηκυῖαν τῶν Ἀθηναίων· καὶ μετ᾽ αὐτοῦ
Ἀριστοκράτης ϗ Ἀδείμαντος ὁ Λευκολοφίδου συνεπέμφθη-
22 σαν, οἱ ᾑρημένοι κατὰ γῆν στρατηγοί. Ἀλκιβιάδης δὲ
ἀπεβίβασε τὸ στράτευμα τῆς Ἀνδρίας χώρας ἐς Γαύριον,
ἐκβοηθήσαντας δὲ τοὺς Ἀνδρίους ἐτρέψαντο, καὶ κατέ-
κλεισαν ἐς τὴν πόλιν, καί τινας ἀπέκτειναν οὐ πολλοὺς, ϗ
23 τοὺς Λάκωνας, οἳ αὐτόθι ἦσαν. Ἀλκιβιάδης δὲ τρό-
παιόν τε ἔστησε, ϗ μείνας αὐτοῦ ὀλίγας ἡμέρας, ἔπλευσεν
ἐς Σάμον· κἀκεῖθεν ὁρμώμενος ἐπολέμει.

## ΚΕΦ. ε΄.

ΟΙ δὲ Λακεδαιμόνιοι, πρότερον τούτων οὐ πολλῷ χρόνῳ
Κρατησιππίδᾳ τῆς ναυαρχίας παρεληλυθυίας, Λύσανδρον
ἐξέπεμψαν ναύαρχον. ὁ δὲ, ἀφικόμενος ἐς Ῥόδον, ϗ ναῦς
ἐκεῖθεν λαβὼν, ἐς Κῶ καὶ Μίλητον ἔπλευσεν· ἐκεῖθεν δ᾽
ἐς Ἔφεσον, ϗ ἐκεῖ ἔμεινε, ναῦς ἔχων ἑβδομήκοντα, μέχρις

[κατὰ γῆν. Per viam facram, de qua liber Polemonis exftabat olim, auctore Harpocratione in ἱερὰ ὁδός. *Ex Addendis.*]

§. 21. Ἀριστοκράτης. Diodorus xiii. 69. et Nepos Alc. 7. *Thrafybulum* fuiffe tradunt.

Λευκολοφίδου. Vulgo dant Λευκοροφείδου, et MS. Venet. Λευκαφορείδου. Verum de fententia Hemfterhufii ad Lucian. T. i. p. 157. et Brunkii ad Ariftoph. Ran. 1513. reftitui fcripturam marg. Steph. quæ loco Platonis Protag. p. 98. ed. Dupont. confirmatur; et a Codd. Regiis Parif. tefte Brunkio.

§. 22. Γαύριον. Idem caftellum vocat Diodorus l. l. Κάτριον, male. Livius xxxi. 45. Gaureleon portum Andriorum habet.

ἐτρέψαντο. Scil. οἱ στρατιῶται τοῦ Ἀλκιβιάδου: quod nomen latet in præc. στράτευμα.

καὶ τοὺς Λάκωνας. Deeft καὶ in edd. vett.

§. 23. ἔπλευσεν ἐς Σ. Plutarchus narrat, Alcibiadem jam eo, quod oppidum Andriorum non ceperit, in reprehenfionem incurriffe adverfariorum.

§. 1. πρότερον τούτων. H. e. antequam Athenis proficifceretur Alcibiades.

Κῶ. Marg. Leoncl. Κῶν.

οὗ Κῦρος ἐς Σάρδεις ἀφίκετο. ἐπεὶ δὲ ἧκεν, ἀνέβη πρὸς 2 αὐτὸν σὺν τοῖς ἐκ Λακεδαίμονος πρέσβεσιν. Ἐνταῦθα δὴ κατά τε τοῦ Τισσαφέρνους ἔλεγον, ἃ πεποιηκὼς εἴη, αὐτοῦ τε Κύρου ἐδέοντο, ὡς προθυμοτάτου πρὸς τὸν πόλεμον γενέσθαι. Κῦρος δὲ τόν τε πατέρα ἔφη ταῦτα ἐπεσταλκέναι, 3 καὶ αὐτὸς οὐκ ἄλλ' ἐγνωκέναι, ἀλλὰ πάντα ποιήσειν· ἔχων δὲ ἥκειν τάλαντα πεντακόσια· ἐὰν δὲ ταῦτα ἐκλίπῃ, τοῖς ἰδίοις χρήσεσθαι ἔφη, ἃ ὁ πατὴρ αὐτῷ ἔδωκεν· ἐὰν δὲ καὶ ταῦτα, καὶ τὸν θρόνον κατακόψειν, ἐφ' ᾧ ἐκάθητο, ὄντα ἀργυροῦν καὶ χρυσοῦν. Οἱ δὲ ταῦτ' ἐπῄνουν, καὶ ἐκέ- 4 λευον αὐτὸν τάξαι τῷ ναύτῃ δραχμὴν Ἀττικήν, διδάσκοντες, ὅτι, ἂν οὗτος ὁ μισθὸς γένηται, οἱ τῶν Ἀθηναίων ναῦται ἀπολείψουσι τὰς ναῦς, καὶ μείω χρήματα ἀναλώσει. ὁ δὲ καλῶς μὲν ἔφη αὐτοὺς λέγειν, οὐ δυνατὸν δ' 5 εἶναι, παρ' ἃ βασιλεὺς ἐπέστειλεν αὐτῷ, ἄλλα ποιεῖν. εἶναι δὲ καὶ τὰς συνθήκας οὕτως ἐχούσας, τριάκοντα μνᾶς ἑκάστῃ νηὶ τοῦ μηνὸς διδόναι, ὁπόσας ἂν βούλωνται τρέφειν Λακεδαιμόνιοι. Ὁ δὲ Λύσανδρος τότε μὲν ἐσιώπησε· μετὰ δὲ 6 τὸ δεῖπνον, ἐπεὶ αὐτῷ προπιὼν ὁ Κῦρος ἤρετο, τί ἂν μάλιστα χαρίζοιτο ποιῶν, εἶπεν, ὅτι εἰ πρὸς τὸν μισθὸν ἑκάστῳ ναύτῃ ὀβολὸν προσθείης. ἐκ δὲ τούτου τέτταρες ὀβολοὶ ἦν 7 ὁ μισθός, πρότερον δὲ τριώβολον. καὶ τόν τε προοφειλόμενον ἀπέδωκε, καὶ ἔτι μηνὸς προέδωκεν, ὥστε τὸ στράτευμα πολὺ προθυμότερον εἶναι. Οἱ δὲ Ἀθηναῖοι, ἀκούοντες ταῦτα, 8

§. 2. ἐκ Λακεδαίμονος. Marg. Steph. Λακεδαιμονίοις. Forte hoc præstat, ne quis putet nunc primum Lacedæmone missos advenire, qui contra redeunt a rege fœderisque fabulas afferunt cum litteris Cyro. *S.*

§. 3. ἐφ' ᾧ ἐκάθητο. Plutarchus Lys. 9. habet ἐφ' ᾧ καθήμενος ἐχρημάτιζε.

§. 4. ἐκέλευον. Ed. Cast. ἐκέλευσαν, minus recte.

ὡς. Hanc particulam, quæ in edd. vett. cæteris deest absorpta a præc. syllaba, revocavimus ex Cast. sed ὅτι est in Steph.

ἀπολείψουσι. Hoc ita evenisse tradit Plutarchus Lys. 4.

§. 5. ἐπέστειλεν. Sic Steph. sed edd. vett. ἀπέστειλεν, perperam.

§. 7. προοφειλόμενον. Pro προσοφ. recepi lectionem marg. Leoncl. Cæterum universa pecunia, quam tum solvit Lysandro Cyrus, secundum Plutarch. l. l. et Diodor. xiii. 70. fuit *decem millia Daricorum.*

ἀθύμως μὲν εἶχον, ἔπεμπον δὲ πρὸς τὸν Κῦρον πρέσβεις
9 διὰ Τισσαφέρνους. ὁ δὲ οὐ προσεδέχετο, δεομένου Τισσαφέρνους, καὶ λέγοντος, (ἅπερ αὐτὸς ἐποίει πεισθεὶς ὑπ' Ἀλκιβιάδου) σκοπεῖν, ὅπως τῶν Ἑλλήνων μηδὲν οἵτινες ἰσχυροὶ ὦσιν, ἀλλὰ πάντες ἀσθενεῖς, αὐτοὶ ἐν ἑαυτοῖς στα-
10 σιάζοντες. Καὶ ὁ μὲν Λύσανδρος, ἐπεὶ αὐτῷ τὸ ναυτικὸν συνετέτακτο, ἀνελκύσας τὰς ἐν τῇ Ἐφέσῳ ναῦς, οὔσας ἐνενήκοντα, ἡσυχίαν ἦγεν, ἐπισκευάζων καὶ ἀναψύχων αὐ-
11 τάς. Ἀλκιβιάδης δὴ, ἀκούσας, Θρασύβουλον ἔξω Ἑλλησπόντου ἥκοντα τειχίζειν Φώκαιαν, διέπλευσε πρὸς αὐτὸν, καταλιπὼν ἐπὶ ταῖς ναυσὶν Ἀντίοχον, τὸν αὐτοῦ κυβερνή-
12 την, ἐπιστείλας, μὴ ἐπιπλεῖν ἐπὶ τὰς Λυσάνδρου ναῦς. Ὁ δὲ Ἀντίοχος, τῇ τε αὐτοῦ νηὶ καὶ ἄλλῃ ἐκ Νοτίου ἐς τὸν λιμένα τῶν Ἐφεσίων ἐσπλεύσας, παρ' αὐτὰς τὰς πρῴρας
13 τῶν Λυσάνδρου νεῶν παρέπλει. ὁ δὲ Λύσανδρος, τὸ μὲν πρῶτον ὀλίγας τῶν νεῶν καθελκύσας, ἐδίωκεν αὐτόν. ἐπεὶ δὲ οἱ Ἀθηναῖοι τῷ Ἀντιόχῳ ἐβοήθουν πλείοσι ναυσὶ, τότε δὴ καὶ πάσας ξυντάξας ἐπέπλει. μετὰ δὲ ταῦτα καὶ οἱ Ἀθηναῖοι, ἐκ τοῦ Νοτίου καθελκύσαντες τὰς λοιπὰς
14 τριήρεις, ἀνήχθησαν, ὡς ἕκαστος ἤνοιξεν. Ἐκ τούτου δ' ἐναυμάχησαν, οἱ μὲν ἐν τάξει, οἱ δὲ Ἀθηναῖοι διεσπαρμέ-

§. 9. *ἅπερ—Ἀλκιβιάδου.* Si cum Moro hanc esse parenthesin statuis: non audiri debet Leonclavius, qui putat, ante *πεισθεὶς* excidisse *ποιεῖν*.

[Scrib. *τῶν Ἑλλήνων μηδένες τινές.* Potuisset eadem significatione dici, *ὅπως μηδείς τις τῶν Ἑλλήνων.* Sed est pluraliter etiam *οὐδένες*, *μηδένες*, apud Atticos, tum oratores, tum cæteros. Conf. infra v. 4. 20. vii. 1. 23. *F. A. Wolfius.*]

*μηδένες.* Sic Castal. quod quamquam fortassis in *μηδ' ἕνες* seu *μηδένες* mutari debet: melius tamen esse videtur quam *μηδὲν οἵτινες*, quod cæteri exhibent libri. *Z.* At in Edd. Br. et Cast. est *μηδέ τινες.* Contra in margine L. et Steph. est etiam *μηδένες*, quod præfert Morus.

§. 11. *Θρασύβουλον.* Cf. supra c. 4. §. 9. Cæterum Plutarchus cap. 35. de abitu Alcibiadis ita: *ἀπῆρεν ἀργυρολογήσων ἐπὶ Καρίας.* Diodorus Clazomenas abiisse ait.

§. 12. *καὶ ἄλλῃ.* Diodorus xiii. 71. tradit, cum decem navibus Antiochum fastu inflatum invectum in portum Ephesi provocasse Lysandrum ad prœlium. Plutarchus verborum contumeliam addit cap. 35.

§. 13. *ἁπάσας.* Sic Junt. sed Ald. et Stephan. dant *πάσας.* Emendatio Mori *αὐτὸς πάσας* mihi ob elegantiam valde placet.

§. 14. *διεσπαρμ.* Diodorus habet *ἐν οὐδεμιᾷ τάξει.*

ναις ταῖς ναυσὶ, μέχρις οὗ ἔφυγον, ἀπολέσαντες πεντεκαίδεκα τριήρεις. τῶν δὲ ἀνδρῶν οἱ μὲν πλεῖστοι ἐξέφυγον, οἱ δ' ἐζωγρήθησαν. Λύσανδρος δὲ, τάς τε ναῦς ἀναλαβὼν, καὶ τρόπαιον στήσας ἐπὶ τοῦ Νοτίου, διέπλευσεν ἐς Ἔφεσον, οἱ δ' Ἀθηναῖοι ἐς Σάμον. 15 Μετὰ δὲ ταῦτα Ἀλκιβιάδης, ἐλθὼν ἐς Σάμον, ἀνήχθη ταῖς ναυσὶν ἁπάσαις ἐπὶ τὸν λιμένα τῶν Ἐφεσίων, καὶ πρὸ τοῦ στόματος παρέταξεν, εἴ τις βούλοιτο ναυμαχεῖν. ἐπεὶ δὲ Λύσανδρος οὐκ ἀντανήγαγε διὰ τὸ πολλαῖς ναυσὶν ἐλαττοῦσθαι, ἀπέπλευσεν ἐς Σάμον. Λακεδαιμόνιοι δὲ ὀλίγῳ ὕστερον αἱροῦσι Δελφίνιον καὶ Ἠϊόνα. 16 Οἱ δὲ ἐν οἴκῳ Ἀθηναῖοι, ἐπειδὴ ἠγγέλθη ἡ ναυμαχία, χαλεπῶς εἶχον τῷ Ἀλκιβιάδῃ, οἰόμενοι, δι' ἀμέλειάν τε καὶ ἀκράτειαν ἀπολωλεκέναι τὰς ναῦς, καὶ στρατηγοὺς εἵλοντο ἄλλους δέκα, Κόνωνα, Διομέδοντα, Λέοντα, Περικλέα, Ἐρασινίδην, Ἀριστοκράτην, Ἀρχέστρατον, Πρωτόμαχον, Θρασύλον, Ἀριστογένην. 17 Ἀλκιβιάδης μὲν οὖν, πονήρως καὶ ἐν τῇ στρατιᾷ φερόμενος, λαβὼν τριήρη μίαν, ἀπέπλευσεν ἐς Χερρόνησον, ἐς τὰ ἑαυτοῦ τείχη· 18 μετὰ δὲ ταῦτα Κόνων ἐκ τῆς Ἄνδρου, ξὺν αἷς

πεντεκαίδεκα. Eundem numerum tradit Plutarchus Lyſ. 5. ſed Diodorus l. l. narrat, naves xxii. amiſſas eſſe: in quibus triremem, qua Antiochus vectus fuerit, ſtatim ab initio depreſſam eſſe.

§. 15. [εἴ τις βούλοιτο ναυμαχεῖν. Vera hæc præſto. Infinitum pronomen, ut omnino interdum de certa perſona ponitur, (cf. vii. 1. 24.) ita etiam aptius eſt in comminatione et provocatione. Idem uſus in aliis quoque linguis obtinet. *F. A. Wolfius.*]

Δελφίνιον. Diodorus c. 76. ſequente anno a Callicratide captum Chium caſtellum hoc ait, de quo vide Thucydidem viii. 38. Paulo antea Kœppen malebat εἴ τι βούλοιτο ſcilicet Lyſander. *S.*

§. 16. δι' ἀμέλειαν etc. Has criminationes pro concione protuliſſe Thraſybulum Thraſonis filium, narrat Plutarchus Alcib. c. 36. Præterea, ut Diodorus xiii. 73. ſcribit, accuſabant Alcibiadem Cumæi: alii amicitiam cum Pharnabazo initam criminabantur.

Λέοντα. Etiam infra cap. 6. §. 16. idem numeratur in decem prætoribus: ſed recte ſpurium eſſe nomen contendunt viri docti. Nam ipſe Xenophon infra cap. 6. §. 30. et cap. 7. §. 1. pro Leonte ſcribit verum nomen *Lyſiæ:* ſimiliter quoque Diodorus xiii. 101. pro quo ibidem cap. 74. nomen Lyſaniæ, haud dubie librariorum errore, dicitur.

§. 17. τριήρη. Edd. vett. τριήρην, vitioſe.

τὰ ἑαυτοῦ τείχη. Hoc Alcibiadis caſtellum ſeu turris fuit ad Biſanthen. Plutarch. Alcib. c. 36. Pactyen cum Diodoro nominat Nepos cap. 7.

§. 18. Ἄνδρου. Edd. vett. Ἀντάνδρου,

εἶχε ναυσὶν εἴκοσι, ψηφισαμένων Ἀθηναίων, ἐς Σάμον ἔπλευσεν ἐπὶ τὸ ναυτικόν. Ἀντὶ δὲ Κόνωνος ἐς Ἄνδρον

19 ἔπεμψαν Φανοσθένην, τέτταρας ναῦς ἔχοντα. οὗτος, περιτυχὼν δυοῖν τριήροιν Θουρίαιν, ἔλαβεν αὐτοῖς ἀνδράσι· καὶ τοὺς μὲν αἰχμαλώτους ἅπαντας ἔδησαν Ἀθηναῖοι· τὸν δὲ ἄρχοντα αὐτῶν Δωριέα, ὄντα μὲν Ῥόδιον, πάλαι δὲ φυγάδα ἐξ Ἀθηνῶν καὶ Ῥόδου ὑπὸ Ἀθηναίων, κατεψηφισμένων αὐτοῦ θάνατον καὶ τῶν ἐκείνου συγγενῶν,—πολιτεύοντα παρ' αὐτοῖς, ἐλεήσαντες ἀφῆκαν, οὐδὲ χρήματα

20 πραξάμενοι. Κόνων δ' ἐπεὶ ἐς τὴν Σάμον ἀφίκετο, καὶ τὸ ναυτικὸν κατέλαβεν ἀθύμως ἔχον, ξυμπληρώσας τριήρεις ἑβδομήκοντα ἀντὶ τῶν προτέρων, οὐσῶν πλέον ἢ ἑκατόν, καὶ ταύταις ἀναγόμενος μετὰ τῶν ἄλλων στρατηγῶν, ἄλλοτε

21 ἄλλῃ ἀποβαίνων τῆς τῶν πολεμίων χώρας, ἐλῄζετο. Καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ Καρχηδόνιοι ἐς Σικελίαν στρατεύσαντες εἴκοσι καὶ ἑκατὸν τριήρεσι, καὶ πεζῆς στρατιᾶς δώδεκα μυριάσιν, εἷλον Ἀκράγαντα λιμῷ, μάχῃ μὲν ἡττηθέντες, προσκαθεζόμενοι δὲ ἑπτὰ μῆνας.

minus recte, ut sequentia ostendunt.

ψηφισαμένων Ἀθ. Nam, ut narrat Diodorus xiii. 74. Conon, simulatque decem illi prætores creati erant, statim missus est Samum, ut ab Alcibiade classem cum imperio reposceret. hinc Noster dicit ἐπὶ τὸ ναυτικὸν, *ad imperium classis recipiendum.*

Φανοσθένην. Andrium, quem etsi peregrinum, Athenienses ducem legerant, teste Platone in Ione, cujus locum transtulit Ælianus V. H. xiv. 5. et Athenæus xi. p. 506. In Platone Codex Venetus similiter Φανοσθένην præbet pro Φανοσθένη. *S.*

§. 19. περιτυχών. Edd. vett. περιελθών.

Δωριέα. Vid. ad i. 1. 2.

πάλαι δὲ φυγάδα. *Qui dudum extra fines Atticæ et Rhodi apud Thurios, a quibus civitate donatus erat, errabat propter Athenienses, qui eum ipsiusque cognatos mortis damnarant* etc.

πολιτ. παρ' αὐτοῖς. Sc. Θουρίοις, quod ex præc. Θουρίαιν intelligitur. Ante πολιτεύοντα Morus censet excidisse νῦν δέ.

ἀφῆσαν. Sic Junt. et Steph. pr. cum Leonclavianis: sed Stephan. posterior recepit Ald. ἀφεῖσαν. Equidem non ausus sum cum Welf. et Mor. de sententia Leonclavii revocare usitatiorem formam ἀφῆκαν. nam ἀνῆσαν quoque occurrit Euripid. Ion. 1170 et alias. Vid. Fischer. ad Weller. p. 229.

§. 20. ἀθύμως ἔχον. Causa rei vid. §. 8.

§. 21. ἐν ᾧ Καρχηδ. Diodorus, qui hanc Carthaginensium expeditionem copiose xiii. 80—91. describit, eam refert ad annum sequentem: probatque Dodwellus, quoniam Xenophontem tot hoc anno complexum esse, quæ anno sequenti, etiam exeunte, acciderint.

## ΚΕΦ. ϛʹ.

ΤΩ͂ δʼ ἐπιόντι ἔτει, ᾧ ἥ τε σελήνη ἐξέλιπεν ἑσπέρας, Ol. 93 $\frac{2}{3}$. καὶ ὁ παλαιὸς τῆς Ἀθηνᾶς νεὼς ἐν Ἀθήναις ἐνεπρήσθη, Πίτιος μὲν ἐφορεύοντος, ἄρχοντος δὲ Καλλίου Ἀθήνησιν, οἱ Λακεδαιμόνιοι, τῷ Λυσάνδρῳ παρεληλυθότος ἤδη τοῦ χρόνου, καὶ τῷ πολέμῳ τεττάρων καὶ εἴκοσιν ἐτῶν, ἔπεμψαν ἐπὶ τὰς ναῦς Καλλικρατίδαν. 2 Ὅτε δὲ παρεδίδου ὁ Λύσανδρος τὰς ναῦς, ἔλεγε τῷ Καλλικρατίδᾳ, ὅτι θαλαττοκράτωρ τε παραδοίη, καὶ ναυμαχίᾳ νενικηκώς. ὁ δὲ αὐτὸν ἐκέλευσεν, ἐξ Ἐφέσου ἐν ἀριστερᾷ Σάμου παραπλεύσαντα, οὗ ἦσαν αἱ τῶν Ἀθηναίων νῆες, ἐν Μιλήτῳ παραδοῦναι τὰς ναῦς· καὶ ὁμολογήσειν θαλαττοκρατεῖν. 3 Οὐ φαμένου δὲ τοῦ Λυσάνδρου πολυπραγμονεῖν, ἄλλου ἄρχοντος, αὐτὸς ὁ Καλλικρατίδας, πρὸς αἷς παρὰ Λυσάνδρου ἔλαβε ναυσὶ, προσεπλήρωσεν ἐκ Χίου καὶ Ῥόδου καὶ ἄλλοθεν ἀπὸ τῶν ξυμμάχων πεντήκοντα ναῦς. ταύτας δὲ πάσας ἀθροίσας, οὔσας τετταράκοντα καὶ ἑκατὸν, παρεσκευάζετο ὡς ἀπαντησόμενος τοῖς πολεμίοις. 4 Καταμαθὼν δὲ ὑπὸ τῶν Λυσάνδρου φίλων καταστασιαζόμενος, οὐ μόνον ἀπροθύμως ὑπηρετούντων, ἀλλὰ καὶ διαθροούντων ἐν ταῖς πόλεσιν, ὅτι Λακεδαιμόνιοι μέγιστα παραπίπτοιεν ἐν τῷ διαλλάττειν τοὺς ναυάρχους πολλάκις ἀνεπιτηδείων γιγνομένων,

§. 1. *σελήνη ἐξέλιπεν.* Luna hoc anno defecit die 15 Aprilis.

*Πιτύου.* Pro *Πίτιος* ſic reſcripſi de Stephani ſententia : nam idem Ephorus infra ii. 3. 10. dicitur *Πιτύας*.

*καὶ τῷ πολέμῳ τ. κ. ε. ἐ.* Græcitas non minus quam ratio temporum prodit interpolatorem. Cf. ſupra c. 3. §. 1.

*ἔπεμψαν—Καλλικρ.* Scil. poſt diem 20 Septembris munus navarchi iniit.

§. 4. *καταμαθὼν—καταστασιαζόμενος.* *Cum intellexiſſet ſe premi* etc. Sic Exped. v. 8. 14. *καθέμαθον ἀναστὰς μόγις, ſenſi me vix ſurgere.* Cf. ad Exped. ii. 1. 13.

*διαλλάττειν.* Poſt *ναυάρχους* diſtinctionem ſuſtuli ; genitivi enim *ἀνεπιτηδείων γιγνομένων* pendent a verbo *διαλλάττειν*, quod dicitur ut latine permutare aliquem aliquo *διαλλάττειν τινὰ τινὸς* ſcil. *ἀντὶ τινός*. Ita vero oratio mollius fluit. *S.*

[*πολλάκις ἀνεπιτηδείων γιγνομένων.* H. e. *ᾑρημένων.* Vulgata interpunctio præſtat. Facile dederim recte dici, *διαλλάττειν ναυάρχους ἐπιτολέων*: at alterum hoc, *διαλλάττειν τοὺς ναυάρχους*

καὶ ἄρτι ξυνιέντων τὰ ναυτικά, καὶ ἀνθρώποις ὡς χρηστέον οὐ γιγνωσκόντων, ἀπείρους δὲ θαλάττης πέμποντες καὶ ἀγνῶτας τοῖς ἐκεῖ, κινδυνεύοιεν τι παθεῖν διὰ τοῦτο· ἐκ τούτου δὴ ὁ Καλλικρατίδας, ξυγκαλέσας τοὺς Λακεδαιμονίων ἐκεῖ παρόντας, ἔλεγεν αὐτοῖς τοιάδε·

5 Ἐμοὶ ἀρκεῖ, οἴκοι μένειν· καὶ εἴτε Λύσανδρος, εἴτε ἄλλος τις ἐμπειρότερος περὶ τὰ ναυτικὰ βούλεται εἶναι, οὐ κωλύω τὰ κατ' ἐμέ· ἐγὼ δέ, ὑπὸ τῆς πόλεως ὡς ἐπὶ τὰς ναῦς πεμφθείς, οὐκ ἔχω, τί ἄλλο ποιῶ, ἢ τὰ κελευόμενα, ὡς ἂν δύνωμαι κράτιστα. ὑμεῖς δέ, πρὸς ἃ ἐγώ τε φιλοτιμοῦμαι, καὶ ἡ πόλις ἡμῶν αἰτιάζεται, (ἴστε γὰρ αὐτά, ὥσπερ καὶ ἐγὼ) ξυμβουλεύω τὰ ἄριστα ὑμῖν δοκοῦντα εἶναι περὶ τοῦ ἐμὲ ἐνθάδε μένειν, ἢ οἴκαδε ἀποπλεῖν, ἐροῦντας τὰ καθεστῶτα ἐνθάδε.

6 Οὐδενὸς δὲ τολμήσαντος ἄλλο τι εἰπεῖν, ἢ τοῖς οἴκοι πείθεσθαι, ποιεῖν τε ἐφ' ἃ ἥκει, ἐλθὼν παρὰ Κῦρον, ᾔτει μισθὸν τοῖς ναύταις. ὁ δὲ αὐτῷ εἶπε, δύο ἡμέρας ἐπισχεῖν.
7 Καλλικρατίδας δέ, ἀχθεσθεὶς τῇ ἀναβολῇ, καὶ ταῖς ἐπὶ τὰς θύρας φοιτήσεσιν ὀργισθείς, καὶ εἰπών, ἀθλιωτάτους

ἀνεπιτηδείων ἡρημένων, mihi laborare videtur a grammatica ſubtilitate. *F. A. Wolfius.*]

*ἀπείρους δὲ θαλ.* In libris deeſt δὲ, abſorptum a littera ſequente. Hinc Stephanus in ed. pr. legi jubet *καὶ ὅτι*, quod probavit Leonclavius et recepit Welſius. ſed facilior eſt emendatio Stephani in ed. ſec. quam recepimus.

*ἐκ τούτου δή.* Pro δὲ ex marg. Leonclav. reſtitui δὴ, quod apodoſeos ratio requirit. Sic v. c. Cyrop. vi. 2. 24. etiam occurrit *ἐκ τούτου δή.*

§. 5. *ὑμεῖς.* Caſt. et Br. *ὑμᾶς.*

[*ὑμεῖς δὲ, πρὸς ἃ ἐγὼ* etc. Solis Stephani lectionibus, *ξυμβουλεύετε* et *ἐροῦντα*, locum puto ſatis emendatum, Morique V. C. explicationem tenendam eſſe. Convenit etiam dicentis animo minatio ſubjecta, *ἐρεῖν τὰ καθεστῶτα ἐνθάδε.* Verbis autem, apto loco interjectis, *ἴστε γὰρ* etc. Callicratidas tecte ſignificat, ſe pulchre reſciſſe militum rumuſculos. *F. A. Wolfius.*]

*πρὸς ἃ ἐγώ—αἰτιάζεται.* *Habita ratione partim ſtudii mei, quo ego omnibus viribus feror ad mandata patriæ exſequenda, partim reprehenſionis qua civitas noſtra carpitur, quod ſæpe navarchos rei navalis imperitos mittat.* Correctio Leonclavii *αἰτεῖται*, pro *αἰτιάζεται*, prorſus ſenſum turbat. *Z.* Kœppen ante *πρὸς ἃ* inſerebat *οἷς* et deinceps legebat: *ἐροῦντες κατὰ τὰ καθεστῶτα ἐνθάδε.*

*ξυμβουλεύετε ἀρ.* Senſu poſcente cum Welſio recepi emendationem Stephani pro *ξυμβουλεύω τὰ ἀρ.* et mox *ἐροῦντα* pro vulg. *ἐροῦντας* pro quo ed. Caſt. et Br. dat *ἐρωντᾶς.* Nam *ἐροῦντα* refertur ad *ἐμὲ*, ut ſenſus oriatur: *ut domi exponam conditionem rerum apud exercitum.*

εἶναι τοὺς Ἕλληνας, ὅτι βαρβάρους κολακεύουσιν ἕνεκα ἀργυρίου, φάσκων τε, ἢν σωθῇ οἴκαδε, κατά γε τὸ αὐτῷ δυνατὸν διαλλάξειν Ἀθηναίους καὶ Λακεδαιμονίους, ἀπέπλευσεν ἐς Μίλητον. (8) κἀκεῖθεν πέμψας τριήρεις ἐς Λακεδαίμονα ἐπὶ χρήματα, ἐκκλησίαν ἀθροίσας τῶν Μιλησίων, τάδε εἶπεν·

Ἐμοὶ μὲν, ὦ Μιλήσιοι, ἀνάγκη, τοῖς οἴκοι ἄρχουσι πείθεσθαι· ὑμᾶς δὲ ἐγὼ ἀξιῶ προθυμοτάτους εἶναι ἐς τὸν πόλεμον, διὰ τὸ οἰκοῦντας ἐν βαρβάροις πλεῖστα κακὰ ἤδη ὑπ᾽ αὐτῶν πεπονθέναι. (9) δεῖ δὲ ὑμᾶς ἐξηγεῖσθαι τοῖς ἄλλοις ξυμμάχοις, ὅπως ἂν τάχιστά τε καὶ μάλιστα βλάπτωμεν τοὺς πολεμίους, ἕως ἂν οἱ ἐκ Λακεδαίμονος ἥκωσιν, οὓς ἐγὼ ἔπεμψα χρήματα ἄξοντας· (10) ἐπεὶ τὰ ἐνθάδε ὑπάρχοντα Λύσανδρος Κύρῳ ἀποδοὺς, ὡς περιττὰ ὄντα, οἴχεται. Κῦρος δὲ, ἐλθόντος ἐμοῦ ἐπ᾽ αὐτὸν, ἀεὶ ἀνεβάλλετό μοι διαλεχθῆναι, ἐγὼ δὲ ἐπὶ τὰς ἐκείνου θύρας φοιτᾷν οὐκ ἠδυνάμην ἐμαυτὸν πεῖσαι. (11) ὑπισχνοῦμαι δὲ ὑμῖν, ἀντὶ τῶν ξυμβάντων ἡμῖν ἀγαθῶν ἐν τῷ χρόνῳ, ᾧ ἂν ἐκεῖνα προσδεχώμεθα, χάριν ἀξίαν ἀποδώσειν. Ἀλλὰ ξὺν τοῖς Θεοῖς δείξωμεν τοῖς βαρβάροις, ὅτι, καὶ ἄνευ τοῦ ἐκείνους θαυμάζειν, δυνάμεθα τοὺς ἐχθροὺς τιμωρεῖσθαι.

(12) Ἐπεὶ δὲ ταῦτ᾽ εἶπεν, ἀνιστάμενοι πολλοὶ, καὶ μάλιστα οἱ αἰτιαζόμενοι ἐναντιοῦσθαι, δεδιότες εἰσηγοῦντο πόρον χρημάτων, καὶ αὐτοὶ ἐπαγγελλόμενοι ἰδίᾳ. λαβὼν δὲ ταῦτα

§. 7. *κατά γε.* Vulgo dant *κατά τι*, præter Leonclavium et Welf. qui *τι* plane omiserunt. nos Mori emendationem secuti sumus. *Z.* Cæterum recte monet Cicero Offic. i. 30. versutissimum et patientissimum Lysandrum accepimus, contraque Callicratidam, qui præfectus classi proximus post Lysandrum fuit.

§. 9. *οἱ ἐκ Λακεδαίμ.* Marg. Steph. *οἱ Λακεδαιμόνιοι.* quod est glossema.

§. 11. *ξυμβάντων ἡμῖν.* Sic edd. Hal., Cast. et Steph. sec. pro vitioso *ὑμῖν*, quod ex Junt. in Ald. et inde in Steph. pr. venerat: unde etiam Leonclavianæ exhibent idem.

*ἐκεῖνα.* *Pecunias Lacedæmone mittendas.*

*δείξωμεν.* Cast. *δείξομεν.*

*ἐκείνους θαυμάζειν.* Idem apud Plutarch. Lys. c. 6. barbaros dicit *πολὺ μὲν χρυσίον, ἄλλο δ᾽ οὐδὲν καλὸν ἔχειν.*

§. 12. *οἱ αἰτιαζόμενοι ἐναντ.* Vid. §. 4.

ἐκεῖνος, καὶ ἐκ Χίου πενταδραχμίαν ἑκάστῳ τῶν ναυτῶν ἐφοδιασάμενος, ἔπλευσε τῆς Λέσβου ἐπὶ Μήθυμναν, πολεμίαν οὖσαν. 13 Οὐ βουλομένων δὲ τῶν Μηθυμναίων προσχωρεῖν, ἀλλ' ἐμφρούρων ὄντων Ἀθηναίων, καὶ τῶν τὰ πράγματα ἐχόντων ἀττικιζόντων, προσβαλὼν αἱρεῖ τὴν πόλιν κατὰ κράτος. 14 τὰ μὲν οὖν χρήματα πάντα διήρπαζον οἱ στρατιῶται, τὰ δὲ ἀνδράποδα πάντα ξυνήθροισεν ὁ Καλλικρατίδας ἐς τὴν ἀγοράν· καὶ κελευόντων τῶν ξυμμάχων ἀποδόσθαι καὶ τοὺς Μηθυμναίους, οὐκ ἔφη, ἑαυτοῦ γε ἄρχοντος, οὐδένα Ἑλλήνων ἐς τὸ κείνου δυνατὸν ἀνδραποδισθῆναι. 15 Τῇ δὲ ὑστεραίᾳ τοὺς μὲν ἐλευθέρους ἀφῆκε, τοὺς δὲ τῶν Ἀθηναίων φρουροὺς καὶ τὰ ἀνδράποδα τὰ δοῦλα πάντα ἀπέδοτο· Κόνωνι δὲ εἶπεν, ὅτι παύσει αὐτὸν μοιχῶντα τὴν θάλατταν. κατιδὼν δὲ αὐτὸν ἀναγόμενον ἅμα τῇ ἡμέρᾳ, ἐδίωκεν, ὑποτεμνόμενος τὸν ἐς Σάμον πλοῦν,

§. 13. *τὰ πράγματα ἐχ.* Intelliguntur *Principes civitatis, qui opibus et divitiis valent.* Conf. Abreſchii Animad. ad Æſchyl. p. 13.

*κατὰ κράτος.* Sed Diodorus xiii. 76. proditionem nonnullorum commemorat; inhumanitatem in Athenienſes omittit.

§. 14. *διήρπαζον.* Marg. Stephan. *διήρπασαν.*

*ἑαυτοῦ.* Edd. vett. *αὐτοῦ.*

*τοὐκείνου.* Pro *τὸ κείνου*, hortatu Leonclavii, reſcripſi formam Atticorum.

§. 15. *τοὺς δέ.* Marg. Leoncl. *τούς τε*, perperam. *Z.* Fr. Portus emendabat: *καὶ τοὺς τῶν Ἀθ. φρ., τὰ δὲ ἀνδρ.* ne ſibi Xenophon ipſe eſſet contrarius, qui neminem Græcorum in ſervitutem redactum iri dixerat ex perſona Callicratidæ. Idem voluit auctor lectionis in margine Leonclav. propoſitæ.

[*τοὺς δὲ τῶν Ἀθηναίων*—. Ineſt adhuc difficultas quædam. Parum hæc congruunt illis, *οὐδένα Ἑλλήνων ἀνδραποδισθῆναι.* An ibi Callicr. tacitus excepit hoſtes? Vix id putem. Vide ergo, ne forte verba, *τοὺς δὲ τῶν Ἀθηναίων φρ.* ſint gloſſema iſtorum, *τοὺς μὲν ἐλευθέρους*, quæ ad utroſque ſpectant, ad Methymnæos et ad Athenienſes. *F. A. Wolfius.*]

*μοιχῶντα τ. θάλ.* Plutarchus vol. x. p. 525. ed. R. explicat: *αἰσχρῶς καὶ κρύφα πειρᾶν καὶ παραβιάζεσθαι τὴν θάλατταν.* Equidem verterim: *maris dominium alienum, quippe quod eſſet Lacedæmoniorum, ſibi contra jus faſque artibus malis ſibi arrogare.* De re ipſa vid. cap. præced. §. 20.

*ἀναγόμενον ἅμα.* Conon cum Methymnam, cui ad opem ferendam profectus erat, captam eſſe cognoviſſet, ad inſulam quandam ex numero earum quæ *centum* vocantur, prope Samum ſitæ, pernoctavit. Inde poſtridie mane ſolvit ut certamen cum claſſe hoſtium, quæ multitudine navium longe ſuperabat, ſubterfugeret. Vid. Diodor. xiii. 77.

*ὑποτεμνόμενος τ.* *Intercludens Cononi curſum ad Samum.* Suidas vero verba *ὑποτεμν. τὸν πλοῦν* interpretatur *διὰ τῶν συντομωτάτων πλέων, ἵνα καταλάβῃ τὸν διωκόμενον.* Falſus, uti docet Morus. Cæterum Diodorus cap. 78. Cononem cum 40 navibus, ait, ad Mitylenem effugiſſe, reliquas 30 ab hoſtibus in terram compulſas fuiſſe, quibus deinde relictis milites et nautæ

ὅπως μὴ ἐκεῖσε φύγῃ. Κόνων δ᾽ ἔφευγε ταῖς ναυσὶν εὖ 16
πλεούσαις, διὰ τὸ ἐκ πολλῶν πληρωμάτων ἐς ὀλίγας ἐκ-

Mitylenem fe contulerint. Conon ftatim aditum ad portum obftruit, quem dum hoftes vi intrare conantur, pugnat Conon ex navibus in aditu portus ftantibus, quem tandem occupant Lacedæmonii. Sed reliqua explicare et cum Xenophonte comparare non licet, nifi fitum locorum bene cognitum habeas, ad quem in fequentibus etiam lector attendere debet. Igitur de natura et fitu locorum ita Diodorus xiii. 79. ὁ γὰρ εἴσπλους, ὑπὲρ οὗ διηγωνίζοντο, λιμένα μὲν εἶχε καλὸν, ἐκτὸς δὲ πόλεώς ἐστιν. ἡ μὲν γὰρ ἀρχαία πόλις μικρὰ νῆσός τίς ἐστιν· ἡ δ᾽ ὕστερον προσοικισθεῖσα ἐπὶ τῆς ἀντιπέραν ἐστὶ Λέσβου, ἀνὰ μέσον δ᾽ αὐτῶν ἐστιν εὔριπος στενὸς, καὶ ποιῶν τὴν πόλιν ὀχυράν. Ad quem locum Weffeling attulit locum Strabonis xiii. p. 917. quem fimul emendavit hunc: Ἔχει δ᾽ ἡ Μιτυλήνη λιμένας δύο, ὧν ὁ νότιος κλειστὸς τριήρεσι καὶ ναυσταθμὸν ναυσὶ πεντήκοντα. ὁ δὲ βόρειος μέγας ϗ βαθὺς χώματι σκεπαζόμενος. πρόκειται δ᾽ ἀμφοῖν νησίον μέρος τῆς πόλεως ἔχον αὐτόθι συνοικούμενον. Paufanias viii. p. 662. Megalopolin, ait, dividi medio fluvio Heliffonte, quemadmodum Cnidum et Mitylenem δίχα οἱ εὔριποι νέμουσιν. Infula igitur partem urbis ipfius facere dicitur a Paufania et Strabone, cum in Diodoro dubium fit, an habitationes hominum habuerit. Euripum ipfum τῶν Μιτυληναίων appellat Xenophon infra §. 22. Contra Ariftoteles fæpiufcule τῶν Πυῤῥαίων. Ita in Hift. Anim. v. 15. ἐν εὐρίπῳ τῷ τῶν Πυῤῥαίων. Ita enim recte emendavit *Gefner* Hiftor. Aquatil. p. 1107. cum vulgo legatur ἐν εὐρίπῳ τῶν Πυῤῥαίων. In Codice B. Rhenani eft fcriptum Πυῤῥαίγων. In Alberti verfione eft: in mari quod vocatur Oriox, quod rubrum mare vel potius orientale vocamus. In verfione Thomæ Cautimpratenfis vetufta eft: in nigro ponte pirræneorum. Antigonus Caryftius Mirabil. c. 171. ex Phania Erefio habet τὴν τῶν Πυῤῥαίων λίμνην, ὅταν ἀναξηρανθῇ κάεσθαι. Ita enim recte Meurfius vulgatum Πυράκων emendavit. Iterum Ariftoteles H. A. ix. 37. ἐκ δὲ τοῦ Εὐρίπου τοῦ ἐκ Πυῤῥας, ubi recte Gaza: de Euripo Pyrrhæo, ex quo Sylburgius emendavit εὐρίπῳ τοῦ Πυῤῥαίου. quod recepit Camus, vel τῶν Πυῤῥαίων, quod equidem probo. In Codice Mediceo et verfione Thomæ eft Πυρία. Deinde ubi eft: περὶ δὲ τὴν Λέσβον καὶ τὰ πελάγια πάντα καὶ τὰ εὐριπώδη, τίκτει ἐν τῷ Εὐρίπῳ. Ubi codex Thomæ rectius habuit fcriptum omiffis verbis περὶ δὲ τὴν Λ. fic: πάντα δὲ τὰ πελάγια καὶ τὰ εὐριπώδη τίκτει ἐν τῷ εὐρίπῳ. Tertius eft locus de Generat. Animal. iii. fub finem: ἐπεὶ γὰρ Χῖοι τινες ἐκ Πύῤῥας τῆς ἐν Λέσβῳ τῶν ὀστρέων διεκόμισαν ζῶντα ϗ εἰς τόπους τῆς θαλάττης τινὰς εὐρωπιώδεις ϗ ὁμόρους ἀφίεσαν. Ubi verfio Thomæ vetufta habet: Quidam enim ex Pirra—in loca fluxibilia et lutofa. Legit ergo olim aliter fcriptum, ut etiam Gaza, qui loca quædam maris reciproci æftus, ut luto fimilia habet. Uterque εὐριπώδεις habuit fcriptum; ὁμόρους quomodo fit ex veftigiis veteris fcripturæ emendandum, nondum excogitavi. Cæterum fi cum Thoma nomen Χῖοι omittas, habes et hic Pyrrham Lefbi cum euripo fuo memoratam. Pyrrham urbem a mari hauftam, et fuburbium ejufdem nominis reliquum fuiffe, e Strabone l. c. difcimus. Quo tempore infortunium acciderit, ignoro; fed Πυῤῥαίους tamen fæpiufcule memoratos, et fere ubique a librariis vitiatos reperio. Ita Diodorus xiii. 100. Eteonicum omiffa Mitylenæ oppugnatione copias terreftres duxiffe, ait, in urbem fociam εἰς τὴν Πυῤῥαίων πόλιν. Urbem Pyrrham ferius idem Diodorus xvii. 29. fub Olympiade iii. 3. commemoravit. Equidem cur Euripus dicatur τῶν Πυῤῥαίων, et an diverfus ab euripo Mitylenæorum, quod tamen vix credo, equidem fateor me nefcire; hoc tamen ex locis allatis patet, ad urbem Mitylenem portumque urbi vicinum navigantibus nullum alium aditum patuiffe nifi per euripum. Conon igitur poftquam per euripum ingreffus naves fuas fub mœnia urbis in portum contraxiffet, euripum ejufque aditus obftruere conatur, ne Callicratidæ ingreffus pateret, quem tamen ille perrupit, et naves fuas in portu altero, ab urbe remoto, collocavit, atque adeo τὸν ἔκπλουν Cononi præcludere potuit, ut Conon illi τὸν

λελέχθαι τοὺς ἀρίστους ἐρέτας· καὶ καταφεύγει ἐς Μιτυλήνην τῆς Λέσβου, καὶ ξὺν αὐτῷ τῶν δέκα στρατηγῶν Λέων καὶ Ἐρασινίδης. Καλλικρατίδας δὲ ξυνεισέπλευσεν ἐς τὸν λιμένα, διώκων ναυσὶν ἑκατὸν καὶ ἑβδομήκοντα.

17 Κόνων δὲ, ὡς ἔφθη ὑπὸ τῶν πολιτῶν κατακωλυθεὶς, ἠναγκάσθη ναυμαχῆσαι πρὸς τῷ λιμένι, καὶ ἀπώλεσε ναῦς τριάκοντα· οἱ δ᾽ ἄνδρες ἐς τὴν γῆν ἀπέφυγον· τὰς δὲ λοιπὰς τῶν νεῶν, τετταράκοντα οὔσας, ὑπὸ τῷ τείχει

εἴσπλουν i. e. euripi aditum occludere conatus eſt. Ex his omnibus apparere puto verba Xenophontis : ξυνεισέπλευσεν ἐς τὸν λιμένα eſſe intelligenda de portu remoto ab ipſa urbe, in aditu euripi et forte in adverſa inſula ſito. Contra Conon occupaverat portum interiorem ſub ipſa urbe. Concluſus igitur in hoc portu recte dici poteſt κατακλεισθεὶς ὑπὸ τῶν πολεμίων §. 17. ubi diſputationem Zeunii vulgatam defendentis nec intelligo nec probo. Cæterum pugnam et victoriam Cononis, quæ hæc præceſſerat, cum Diodoro xiii. 77. narrat Polyænus i. 48. 2. *S.*

§. 16. [Theophraſtus H. P. 3. 10. Leſbi τὸ Πυῤῥαίων ὄρος πιθυῶδες memorat, unde Plinius 16. ſ. 19. ut in Leſbo accidit incenſo nemore Pyrrhæo. Idem 31. ſ. 7. in Pyrrhæa flumen, quod Aphrodiſium vocatur, ſteriles facit ; ubi Codices quidam *Pyrrha.* Theophraſtus de Cauſis Pl. 2. 8. περὶ τὴν Πύῤῥαιαν. Athenæus 2. p. 41. ex Theophraſto habet ἐν Πύῤῥᾳ. Thucydides nominat iii. 18. loci ſitum ſignat c. 25. ubi Lacedæmonius Salaithus, auxilio veniens Mitylenæis obſeſſis, Pyrrham advenit, καὶ ἐξ αὐτῆς πεζῇ κατὰ χαράδραν τινὰ, ᾗ ὑπερβατὸν ἦν τὸ περιτείχισμα, διαλαθὼν ἐσέρχεται ἐς τὴν Μιτυλήνην. Atqui Athenienſes, auctore eodem c. 6. περιορμισάμενοι τὸ πρὸς νότον τῆς πόλεως ἐτείχισαν στρατόπεδα δύω ἑκατέρωθεν τῆς πόλεως,—τὸ δὲ περὶ τὰ στρατόπεδα οὐ πολὺ κατεῖχον οἱ Ἀθηναῖοι, τῆς δὲ γῆς τῆς ἄλλης ἐκράτουν οἱ Μιτυληναῖοι καὶ οἱ ἄλλοι Λέσβιοι. Cum reliquos nominat Leſbios, manifeſtum eſt, eum de nova urbe loqui. Igitur Pyrrha ſita erat juxta novam urbem, atque inde per χαράδραν neſcio quam, et per caſtra munita Athenienſium pervaſit clam Salaithus. Alius eſt locus Thucyd. viii. 23. ubi Aſtyochus Chio advectus ἀφικνεῖται ἐς τὴν Πύῤῥαν, ἐκεῖθεν δὲ τῇ ὑστεραίᾳ ἐς Ἔρεσον, ἔνθα πυνθάνεται, ὅτι ἡ Μιτυλήνη ἑάλωκεν. Sed inde parum proficimus ad ſitum urbis inveſtigandum. *Ex Addendis.*]

Λέων καὶ Ἐρασινίδης. Hæc nomina merito ſuſpecta videntur Moro. nam Leontem non fuiſſe in numero decem illorum prætorum, diximus ſupra ad cap. 5. §. 16. Deinde nec Eraſinides, cum paulo poſt prœlio ad Arginuſas interfuerit §. 29. una cum Conone hic obſeſſus eſſe videtur, niſi ſtatuas, eum in ea nave effugiſſe, quæ manibus hoſtium elapſa pervenerit Athenas §. 22. Contra Archeſtratum, unum ex decem prætoribus, cum Conone incluſum eſſe et in oppido Mitylenæo obiiſſe, ex loco Lyſiæ p. 701. ed. R. probat Morus. Quare pro verbis, *Leon et Eraſinides,* aut certe pro nomine *Leontis*, noſtro loco reponendum eſſe videtur *Archeſtrati* nomen.

§. 17. πολεμίων. Revocavi Porti Leonclaviique emendationem exemplo Welſii : nam ſcripturam librorum πολιτῶν facile damnat rei natura. Mitylenæi enim cum ipſis Athenienſibus faciebant : hoſtes vero, qui ξυνεισέπλευσαν ἐς τὸν λιμένα, recte hic antevertiſſe Cononemque ab aditu in portum prohibere conati eſſe dici poſſunt. Quare nec eſt quòd cum eodem Porto κατακωλυθεὶς mutemus in κατακλεισθείς. De ſitu loci et hac pugna vid. Diodorus xiii. 79.

ἠναγκάσθη] Scil. *ne arceretur ab oppido.*

ἀνείλκυσε. Καλλικρατίδας δὲ, ἐν τῷ λιμένι ὁρμισάμενος, ἐπολιόρκει ἐνταῦθα, τὸν ἔκπλουν ἔχων. καὶ κατὰ γῆν μεταπεμψάμενος τοὺς Μηθυμναίους πανδημεὶ, καὶ ἐκ Χίου τὸ στράτευμα διεβίβασε· χρήματά τε παρὰ Κύρου αὐτῷ ἦλθεν. Ὁ δὲ Κόνων, ἐπεὶ ἐπολιορκεῖτο καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ σίτων οὐδαμόθεν ἦν εὐπορῆσαι, οἱ δὲ ἄνθρωποι πολλοὶ ἐν τῇ πόλει ἦσαν, καὶ οἱ Ἀθηναῖοι οὐκ ἐβοήθουν, διὰ τὸ μὴ πυνθάνεσθαι ταῦτα, καθελκύσας τῶν νεῶν τὰς ἄριστα πλεούσας δύο, ἐπλήρωσε πρὸ ἡμέρας, ἐξ ἁπασῶν τῶν νεῶν τοὺς ἀρίστους ἐρέτας ἐκλέξας, καὶ τοὺς ἐπιβάτας ἐς κοίλην ναῦν μεταβιβάσας, καὶ τὰ παραῤῥύματα παραλαβών. Τὴν μὲν οὖν ἡμέραν οὕτως ἀν εἶχον. ἐς δὲ τὴν ἑσπέραν, ἐπεὶ σκότος εἴη, ἐξεβίβαζεν, ὡς

18 19 20

§. 18. ἔχων. H. e. κατέχων, *obtinens ostium portus.*

ἐκ Χίου. Edd. vett. ἐκ τῆς Χίου.

§. 19. παραβαλών. Loco τοῦ παραλαβών, sensu poscente, restitui emendationem Stephani et Leonclavii. Nam παραῤῥύματα, quæ Suidas interpretatur δέῤῥεις, σκεπάσματα, h. e. *cilicia, pelles, stragulæ*, atque Pollux quoque i. 120. ad navis armamenta refert δέῤῥεις et διφθέρας, videntur hunc habuisse usum, ut *oppansa* navem aut in ancoris stantem aut in littus subductam adversus tempestatis injuriam defenderent. Quare hic Conon facile, iisdem ad milites et remiges tegendos usus, hostes, cum non esset res nova et insolens, fallere potuit. Verum, ni fallor, quando navis ad prœlium instruebatur, eadem coria rejecta et parietibus aptata navem muniebant contra ictus et tela hostium. Vid. Pollux l. l. Atque sic intelligendum puto locum ii. 1. 22. ubi τὰ παραβλήματα παραβάλλειν Lysander classem ad prœliandum instruens dicitur.

[Usum τῶν παραῤῥυμάτων et παραβλημάτων non rectius tradidi quam Morus. Igitur primum lector meminisse debet, naves cataphractas seu tectas intelligi. In hunc usum adhibebantur δέῤῥεις καὶ διφθέραι a Polluce memoratæ i. sect. 93. et x. s. 134. Thucydides παραφράγματα et παραπετάσματα vocat. Polyænus iii. 10. 13. δέρεις et φράγμα καταλαμβάνειν dixit in eodem usu; ubi recte Casaubonus ex Xenophonte emendavit καταβάλλειν. Recte H. Stephanus *pluteos* interpretatus est. Firmat locus Cæsaris de B. Civili iii. 24. qui ipsam adeo rem egregie illustrat: "Antonius virtuti militum confisus scaphas navium magnarum circiter sexaginta cratibus pluteisque contexit, iisque milites delectos imposuit, atque eas in litore pluribus locis separatim disposuit, navesque triremes duas per causam exercendorum remigum ad fauces portus prodire jussit. Has cum audacius progressas Libo vidisset, sperans intercipi posse, quadriremes quinque ad eas misit. Quæ cum navibus nostris appropinquassent, nostri veterani in portum refugiebant; illi studio incitati, incautius sequebantur. Jam ex omnibus partibus subito Antonianæ scaphæ signo dato se in hostes incitaverunt etc." Quæ narratio plane explicat consilium Cononis. *Ex Addendis.*]

§. 20. ἀνεῖχον. Pro ἂν εἶχον recepi scripturam edit. Stephan. secundæ et Welsianæ. Nam ἂν hic prorsus alieno est loco, atque ἀνεῖχον, *tolerabant*, efficit sensum percommodum.

μὴ καταδήλους εἶναι τοῖς πολεμίοις ταῦτα ποιοῦντας. τῇ πέμπτῃ δὲ ἡμέρᾳ, ἐσθέμενοι σῖτα μέτρια, ἐπειδὴ ἤδη μέσον ἡμέρας ἦν, καὶ οἱ ἐφορμοῦντες ὀλιγώρως εἶχον, καὶ ἔνιοι ἀνεπαύοντο, ἐξέπλευσαν ἔξω τοῦ λιμένος, καὶ ἡ μὲν ἐπὶ Ἑλ-
21 λήσποντον ὥρμησεν, ἡ δὲ ἐς τὸ πέλαγος. Τῶν δὲ ἐφορμούντων ὡς ἕκαστοι ἤνοιγον, τάς τε ἀγκύρας ἀποκόπτοντες καὶ ἐγειρόμενοι ἐβοήθουν τεταραγμένοι, τυχόντες ἐν τῇ γῇ ἀριστοποιούμενοι· ἐσβάντες δὲ ἐδίωκον τὴν ἐς τὸ πέλαγος ἐφορμήσασαν, καὶ ἅμα τῷ ἡλίῳ δύνοντι κατέλαβον· καὶ κρατήσαντες μάχῃ, ἀναδησάμενοι ἀπῆγον ἐς τὸ στρατόπε-
22 δον αὐτοῖς ἀνδράσιν. Ἡ δ' ἐπὶ τοῦ Ἑλλησπόντου φυγοῦσα

§. 25. *οὐκ ὡς ἀδικ.* Vulgaris lectio, quam correximus ex Stephani emendatione, omittit *ὡς*. Hinc Caſtalio et Br. ediderunt *καὶ οἱ ἀδικ.* et in Leonclavii emendatione *οὐκ ἀδίκως* Welſius. *Z.* Kœppen legebat *οὐκ οὐδὲν ἀδικοῦντες*. *S.*

§. 26. *καὶ οὐκ ξυμπολ.* *Nec cum Lacedæmoniis patriam oppugnabitis, ſi hos* (duces), *qui illis prælio victis naves ſeptuaginta ademerunt, indicta cauſa contra legem ſuſtuleritis.* More oratorum utitur numero rotundo. De veriore numero vid. c. 6. §. 35.

*ἀπολλύντες.* Edd. vett. *ἀπολύντες.*

§. 27. *ἐλευθερωθήσητε.* Edd. vett. *ἐλευθερωθήσεται*, præter ed. Caſt. et Br. ubi eſt *ἐλευθερωθήσηται*. Sed ſecuti ſumus Stephanum.

*μιᾷ ψήφῳ.* Vid. §. 9.

§. 28. Locum, qui in edd. omnibus depravatus legitur, alii aliter emendare tentarunt. Leonclavius quidem conjicit, *Ἀναμνήσθητε ὡς ἀλγ. κ. ἀνωφ. ἤδη τόδ᾽ ἔσται, πρὸς δ᾽ ἔτι,*

ἔτι καὶ περὶ θανάτου ἀνθρώπων ἡμαρτηκότες. Δεινὰ δ᾽ 29
ἂν ποιήσητε, εἰ Ἀριστάρχῳ μὲν, πρότερον τὸν δῆμον καταλύοντι, εἶτα δὲ Οἰνόην προδιδόντι Θηβαίοις, πολεμίοις οὖσιν, ἔδοτε ἡμέραν ἀπολογήσασθαι, ᾗ ἐβούλετο, καὶ τἆλλα κατὰ τὸν νόμον προὔθετο· τοὺς δὲ στρατηγοὺς, τοὺς πάντα ὑμῖν κατὰ γνώμην πράξαντας, νικήσαντας δὲ τοὺς πολεμίους, τῶν αὐτῶν τούτων ἀποστερήσετε. Μὴ ὑμεῖς γε, ὦ 30
Ἀθηναῖοι· ἀλλ᾽ ἑαυτῶν ὄντας τοὺς νόμους, δι᾽ οὓς μάλιστα μέγιστοί ἐστε, φυλάττοντες, ἄνευ τούτων μηδὲν πράττειν πειρᾶσθε. Ἐπανέλθετε δὲ καὶ ἐπ᾽ αὐτὰ τὰ πράγματα, 31
καθ᾽ ἃ καὶ αἱ ἁμαρτίαι δοκοῦσι γεγενῆσθαι τοῖς στρατηγοῖς. Ἐπεὶ γὰρ κρατήσαντες τῇ ναυμαχίᾳ ἐς τὴν γῆν κατέπλευσαν, Διομέδων μὲν ἐκέλευεν, ἀναχθέντας ἐπὶ

ἂν τῇ περὶ θανάτου (ſcil. ψήφῳ) εἰς ἀνθρ. τόσους ἡμαρτηκ. ἔσεσθε. Δεινὰ δ᾽ ἂν etc. Stephanus autem, μεταμελήσῃ ὕστερον, ἀναμν.—ἤδη ἔσται, πρὸς ἔτι καὶ ἀνόσιον· καὶ γὰρ περὶ θάνατον ἀνθρώπου ἡμαρτ. ἔσεσθε. Δεινὸν δ᾽ ἂν etc. Vir quidam doctus in Biblioth. Amſtelod. Crit. legendum putat μεταμελήσει δὲ ὕστερον, ἂν μνησθῆτε, ὅτ᾽ ἀλγεινὸν ἤδη πρὸς δ᾽ ἔτι καὶ ἀνωφελές ἐστι, περὶ θανάτου ἀνδρὸς ἀγαθοῦ ἡμαρτηκότες etc. Nos quidem pro μεταμελήσει Steph. emendationem revocavimus, ut ad ἂν h. e. ἐὰν, referretur, et verba πρὸς ἔτι etc. cum ſequentibus junximus, quemadmodum eſt in edd. vett. ſed mutato δεινὰ δ᾽ in δεινά γ. Denique ante ἀνθρώπους ex ed. Caſt. recepimus εἰς, quod jam ex conjectura Leonclavii ediderat Welſius. *Z.* Mihi criſis hæc diſplicet tota; nam μεταμελήσῃ non referri poteſt ad antecedens ἂν, quod pertinet ad ἀποκτείνητε. Præterea inepte orator recordationem rei futuræ nec factæ adhuc, in animis auditorum excitat; denique ſtructura verborum plane vacillat. Igitur veſtigiis viri docti in Bibl. Critic. Amſtelod. inſiſtens legendum cenſeo, donec libri ſcripti veram lectionem ediderint: μεταμελήσει ὕστερον, ἂν μνησθῆτε ὅτ᾽ ἀλγεινὸν ἤδη πρὸς δ᾽ ἔτι καὶ ἀνωφελὲς ἔσται περὶ θανατὸν ἀνθρώπου ἡμαρτηκότες. Kœppen emendabat: ἀνωφελὲς ἤδη τὸ μεταμέλειν ἐστί. πρὸς δ᾽ ἔτι καὶ περὶ θανάτου ἀνθρώπων ἡμαρτηκότες· et paulo antea: ἀναμνήσθητε δέ.

§. 29. Ἀριστάρχῳ. Mutata forma civitatis Atticæ forma democratica, et ſumma rerum CCCC Viris tradita, inprimis iſte Ariſtarchus adverſus populi commoda ſtetit, cujus opera Œnoë, quod erat Athenienſium caſtellum in Bœotiæ confinio, tradita eſt Bœotiis. Vid. Thucyd. viii. 90 et 98.

[Καὶ poſt καθ᾽ ἃ recte ſervaſti. Sæpe ſic abundat. Paullo poſt cum Steph. ſcribendum, ἀμφότερ᾽ ἂν ἔφη γενέσθαι. Eſt quidem φάναι ſæpe idem atque κελεύειν. Verum huc non convenit talis ſententia propter illatam conditionalem. *Thraſyllus dixit, utrumque futurum eſſe,* ſ. *fieri poſſe, ſi ibi relinquerent* etc. *F. A. Wolfius.*]

προὔθετο. Stephan. cum Fr. Porto mavult προὔθετε vel προὔθεσθε, et προὐτίθετο Morus.

§. 30. μὴ ὑμεῖς γε. Scil. ποιεῖτε οὕτως. ὑμεῖς γε, *vos quidem, qui ipſi auctores eſtis legum, e quibus ſecus faciendum eſt.*

ἑαυτῶν ὄντας τ. ν. *Veſtras ipſorum leges.*

§. 31. καθ᾽ ἃ καί. Morus καὶ delendum cenſet.

ἐς τὴν γῆν. Sc. ἐς τὰς Ἀργινούσας, 6. 34.

κέρως ἅπαντας ἀναιρεῖσθαι τὰ ναυάγια καὶ τοὺς ναυαγούς· Ἐρασινίδης δὲ, ἐπὶ τοὺς ἐς Μιτυλήνην πολεμίους τὴν ταχίστην πλεῖν ἅπαντας· Θράσυλος δ᾽ ἀμφότερα ἔφη γενέσθαι, ἂν τὰς μὲν αὐτοῦ καταλίπωσι, ταῖς δὲ ἐπὶ τοὺς πολεμίους πλέωσι· 32 καὶ, δοξάντων τούτων, καταλιπεῖν τρεῖς ναῦς ἕκαστον ἐκ τῆς αὐτοῦ ξυμμορίας, τῶν στρατηγῶν ὀκτὼ ὄντων, καὶ τὰς τῶν ταξιάρχων δέκα, καὶ τὰς τῶν Σαμίων δέκα, καὶ τὰς τῶν ναυάρχων τρεῖς. (Αὗται ἅπασαι γίγνονται ἑπτὰ καὶ τετταράκοντα, τέτταρες περὶ ἑκάστην ναῦν τῶν ἀπολωλυιῶν, δώδεκα οὐσῶν.) 33 Τῶν δὲ καταλειφθέντων ταξιάρχων ἦσαν Θρασύβουλος καὶ Θηραμένης, ὃς ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ κατηγόρει τῶν στρατηγῶν· ταῖς δὲ ἄλλαις ναυσὶν ἔπλεον ἐπὶ τὰς πολεμίας. 34 Τί τούτων οὐχ ἱκανῶς καὶ καλῶς ἔπραξαν; Οὐκοῦν δίκαιον, τὰ μὲν πρὸς τοὺς πολεμίους μὴ καλῶς πραχθέντα, τοὺς πρὸς τούτους ταχθέντας ὑπέχειν λόγον· τοὺς δὲ πρὸς τὴν ἀναίρεσιν, μὴ ποιήσαντας, ἃ οἱ στρατηγοὶ ἐκέλευσαν, διότι οὐκ ἀνείλοντο, κρίνεσθαι. 35 Τοσοῦτον δ᾽ ἔχω εἰπεῖν ὑπὲρ ἀμφοτέρων, ὅτι ὁ χειμὼν διεκώλυσε μηδὲν πρᾶξαι, ὧν οἱ στρατηγοὶ παρεκελεύσαντο. τούτων δὲ μάρτυρες οἱ σωθέντες ἀπὸ τοῦ αὐτομάτου, ὧν εἷς τῶν ἡμετέρων στρατηγῶν ἐπὶ καταδύσης

γενέσθαι. Excidiſſe putat Stephanus particulam ἂν, quæ juncta cum γενέσθαι vim futuri efficeret. At omnia ſaluta ſunt, ſi poſt ἔφη intellexeris δεῖν, aut ἔφη interpretatus ſis *ſuadebat* ſ. *cenſebat*. Cæterum hanc Thraſyli ſententiam probatam eſſe cæteris, patet ex c. 6. §. 36.

§. 32. ὀκτὼ ὄντων. Vid. c. 6. §. 29. 30.

καὶ τὰς τῶν Σαμίων δέκα. Hæc verba, quæ deſunt in edd. vett. primus edidit Stephanus recte: nam numerus navium xlvii. qui ſequitur, requirit illam lectionem.

τέτταρες π. ἑκ. *Ita ut quaternæ unius navis naufragis auxilio proficiſcantur.*

δώδεκα. Conf. c. 6. §. 35.

§. 33. ταξιάρχων. Marg. Stephan. exhibet τριηράρχων, id quod convenit cum c. 6. §. 36. Sed recte monet Morus, hos duo trierarchos h. l. dici fuiſſe inter taxiarchos, etſi ipſi trierarchi fuerint.

§. 34. τὰ μὲν—πραχθέντα. Scil. περί.

πρὸς τούτους. Contra hoſtes, qui duce Eteonico Cononem in Leſbo obſidebant.

τοὺς δὲ πρὸς τὴν ἀναίρεσιν. Sc. ταχθέντας, *quibus imperatum erat, ut naufragos tollerent.*

§. 35. παρεκελεύσαντο. Marg. Steph. παρεσκευάσαντο.

εἷς τῶν ἡμετέρων στρ. Lyſiam fuiſſe narrat Diodorus xiii. 99.

τεὼς σωθεὶς, ὃν κελεύουσι τῇ αὐτῇ ψήφῳ κρίνεσθαι, καὶ αὐτὸν τότε δεόμενον ἀναιρέσεως, ἧπερ τοὺς οὐ πράξαντας τὰ προσαχθέντα. Μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀντὶ μὲν 36 τῆς νίκης καὶ τῆς εὐτυχίας, ὅμοια ποιήσητε τοῖς ἡττημένοις τε καὶ ἀτυχοῦσιν· ἀντὶ δὲ τῶν ἐκ Θεοῦ ἀναγκαίων ἀγνωμονεῖν δόξητε, προδοσίαν καταγνόντες ἀντὶ τῆς ἀδυναμίας, οὐχ ἱκανοὺς γενομένους διὰ τὸν χειμῶνα πρᾶξαι τὰ προσαχθέντα· ἀλλὰ πολὺ δικαιότερον, στεφάνοις γεραίρειν τοὺς νικῶντας, ἢ θανάτῳ ζημιοῦν, πονηροῖς ἀνθρώποις πειθομένους.

Ταῦτ' εἰπὼν Εὐρυπτόλεμος, ἔγραψε γνώμην, κατὰ τὸ 37 Κανώνου ψήφισμα κρίνεσθαι τοὺς ἄνδρας, δίχα ἕκαστον· ἡ δὲ τῆς βουλῆς ἦν, μιᾷ ψήφῳ ἅπαντας κρίνειν. τούτων 38 δὲ διαχειροτονουμένων, τὸ μὲν πρῶτον ἔκριναν τὴν Εὐρυπτολέμου· ὑπομοσαμένου δὲ Μενεκλέους, καὶ πάλιν διαχειροτονίας γενομένης, ἔκριναν τὴν τῆς βουλῆς. καὶ μετὰ ταῦτα κατεψηφίσαντο τῶν ναυμαχησάντων στρατηγῶν, ὀκτὼ ὄντων. ἀπέθανον δὲ οἱ παρόντες ἕξ. Καὶ οὐ πολλῷ χρόνῳ 39 ὕστερον μετέμελε τοῖς Ἀθηναίοις, καὶ ἐψηφίσαντο, οἵτινες τὸν δῆμον ἐξηπάτησαν, προβολὰς αὐτῶν εἶναι, καὶ ἐγγυ-

σωθείς. Marg. Steph. διασωθείς.
ἧπερ. Sc. ψήφῳ κελεύουσι κρίνεσθαι.
οὐ πράξαντας. Deest οὐ in edd. vett. praet. edit. Cast. ubi est μή.
§. 36. μὴ τοίνυν. *Nolite igitur in victoria et rebus secundis, ob quas auctores praemiis ornare debetis, imitari victos et adversa usos fortuna, qui solent auctores cladis odisse: nec in necessitate* (procella) *a Deo immissa committite, ut iniqui videamini rerum aestimatores, et proditionis condemnetis eos, qui ob tempestatem imperata non facere potuerint.*
οὐχ ἱκανούς. Excidisse τοὺς ante οὐχ, est haud contemnenda Stephani sententia. Deinde nisi malis statuere, hos accusativos esse absolutos, sed potius referri ad καταγνόντες: necesse est, ut προδοσίαν mutes in genitivum προδοσίας.
πειθομένους. Casus refertur ad ὑμᾶς, quod in γεραίρειν est intelligendum.
§. 37. Κανώνου. Vid. §. 21.
βουλῆς ἦν. Vid. §. 15.
§. 38. τούτων δὲ διαχειροτ. *Cum de his praetoribus plebs suffragia ferret de ratione judicii instituendi*, sive, *essetne Euryptolemi sententia probanda an Senatus.*
ὑπομοσαμένου. Judicium, rem comperendinante interposito jurejurando. Ita recte Morus interpretatur, laudato de verbo hoc, solenni in judiciis, Harpocratione in ὑπωμοσία, Polluce viii. 44. 56. Interpp. Demosthenis de Corona c. 30. et Budaeo Comment. L. Gr. p. 47. *S.*
ἕξ. Vid. §. 1.
§. 39. μετέμελε. Edd. vett. excepta ed. Cast. dant μετέμελλε.
προβολάς. Edd. vett. προσβολάς.

ητὰς καταστῆσαι, ἐὰν κριθῶσιν· εἶναι δὲ καὶ Καλλίξενον τού-
των. προὐβλήθησαν δὲ καὶ ἄλλοι τέτταρες, καὶ ἐδέθησαν
40 ὑπὸ τῶν ἐγγυησαμένων. ὕστερον δὲ στάσεώς τινος γενομένης,
ἐν ᾗ Κλεοφῶν ἀπέθανεν, ἀπέδρασαν οὗτοι, πρὶν κριθῆναι·
Καλλίξενος δὲ κατελθὼν, ὅτε καὶ οἱ ἐκ Πειραιῶς, ἐς τὸ
ἄστυ, μισούμενος ὑπὸ πάντων, λιμῷ ἀπέθανεν.

ἕως ἂν κρ. Pro ἐὰν κρ. quod turbat sensum, rescripsi emendationem Steph. et Leonclav.

ἐδέθησαν. Scil. ne clam ex urbe fugerent.

§. 40. ἀπέδρασαν. De Callixeno idem tradit Diodorus xiii. 103. Is perrupto carcere ad Lacedæmonios, Deceleiam tenentes, aufugit cum aliis. Cleophon a triginta tyrannis fuit occisus, et opes nullas reliquit. Lysias Orat. p. 849 et 651. *S.*

οἱ ἐκ Πειραιῶς. Cf. ii. 4. 5 seqq.

# ΞΕΝΟΦΩΝΤΟΣ

## ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

## ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

### ΚΕΦ. Α.

Οι δὲ ἐν τῇ Χίῳ μετὰ τȣ̃ Ἐτεονίκȣ στρατιῶται ὄντες, ἕως μὲν θέρος ἦν, ἀπό τε τῆς ὥρας ἐτρέφοντο, καὶ ἐργαζόμενοι μισθȣ̃ κατὰ τὴν χώραν· ἐπεὶ δὲ χειμὼν ἐγένετο, καὶ τροφὴν οὐκ εἶχον, γυμνοί τε ἦσαν καὶ ἀνυπόδητοι, ξυνίσταντο ἀλλήλοις καὶ ξυνετίθεντο, ὡς τῇ Χίῳ ἐπιθησόμενοι· οἷς δὲ ταῦτα ἀρέσκοι, κάλαμον φέρειν ἐδόκει, ἵνα ἀλλήλους μάθοιεν, ὁπόσοι εἴησαν. Πυθόμενος δὲ τὸ ξύνθημα ὁ 2 Ἐτεόνικος, ἀπόρως μὲν εἶχε, τί χρῷτο τῷ πράγματι, διὰ τὸ πλῆθος τῶν καλαμοφόρων. τό τε γὰρ ἐκ τȣ̃ ἐμφανȣ̃ς ἐπιχειρῆσαι, σφαλερὸν ἐδόκει εἶναι, μὴ ἐς τὰ ὅπλα ὁρμήσωσι, καὶ, τὴν πόλιν κατασχόντες καὶ πολέμιοι γενόμενοι, ἀπολέσωσι πάντα τὰ πράγματα, ἂν κρατήσωσι· τό τ' αὖ ἀπολλύναι ἀνθρώπȣς ξυμμάχȣς πολλȣ̀ς, δεινὸν ἐφαίνετο εἶναι, μή τινα καὶ ἐς τοὺς ἄλλȣς Ἕλληνας διαβολὴν

§. 1. οἱ δὲ ἐν τῇ Χίῳ. Eteonicus enim, qui Cononem obſederat, audita Lacedæmoniorum clade, navigavit in Chium. V. ſupra 6. §. 39. 40. Diodor. xiii. 100. Articulum ante Ἐτεονίκου omiſit I. A. Caſt.

τῆς ὥρας. Brod. interpretatur τῶν ὡραίων κάρπων.

§. 2. τί χρῷτο τῷ πρ. *Quo pacto ſeſe in hac re gereret.*

καλαμοφ. Marg. Steph. καλαμηφόρων.

ἀνθρώπȣς ξυμμ. *Socios, qui in exercitu Spartano erant, et iſtam inierant conſpirationem.*

σχοῖεν, καὶ οἱ στρατιῶται δύσνοοι ἐς τὰ πράγματα ὦσιν. 3 Ἀναλαβὼν δὲ μεθ' ἑαυτοῦ ἄνδρας πεντεκαίδεκα, ἐγχειρίδια ἔχοντας, ἐπορεύετο κατὰ τὴν πόλιν· καὶ ἐντυχών τινι ἀνθρώπῳ ὀφθαλμιῶντι, ἀπιόντι ἐξ ἰατρείου, κάλαμον ἔχοντι, ἀπέκτεινε. 4 Θορύβου δὲ γενομένου, καὶ ἐρωτώντων τινῶν, διὰ τί ἀπέθανεν ὁ ἄνθρωπος, παραγγέλλειν ἐκέλευεν ὁ Ἐτεόνικος, ὅτι τὸν κάλαμον εἶχε. κατὰ δὲ τὴν παραγγελίαν ἐρρίπτουν πάντες, ὅσοι εἶχον, τοὺς καλάμους, ἀεὶ ὁ ἀκούων δεδιώς, μὴ ὀφθείη ἔχων. 5 Μετὰ δὲ ταῦτα ὁ Ἐτεόνικος, ξυγκαλέσας τοὺς Χίους, χρήματα ἐκέλευσε ξυνεισενεγκεῖν, ὅπως οἱ ναῦται λάβωσι μισθὸν, καὶ μὴ νεωτερίσωσί τι· οἱ δὲ εἰσήνεγκαν· ἅμα δὲ ἐς τὰς ναῦς ἐσήμανεν ἐμβαίνειν. προσιὼν δὲ ἐν μέρει παρ' ἑκάστην ναῦν, παρεθάρρυνέ τε καὶ παρῄνει πολλὰ, ὡς τοῦ γεγενημένου οὐδὲν εἰδώς· καὶ μισθὸν 6 ἑκάστῳ μηνὸς δέδωκε. Μετὰ δὲ ταῦτα οἱ Χῖοι καὶ οἱ ἄλλοι ξύμμαχοι, συλλεγέντες ἐς Ἔφεσον, ἐβουλεύσαντο, περὶ τῶν ἐνεστηκότων πραγμάτων πρέσβεις ἐς Λακεδαίμονα πέμπειν, ταῦτά τε ἐροῦντας, καὶ Λύσανδρον αἰτήσοντας ἐπὶ τὰς ναῦς, εὖ φερόμενον παρὰ τοῖς ξυμμάχοις κατὰ τὴν προτέραν ναυαρχίαν, ὅτε καὶ τὴν ἐν Νοτίῳ ἐνίκησε ναυμα-7 χίαν. καὶ ἀπεπέμφθησαν πρέσβεις, ξὺν αὐτοῖς δέκα καὶ παρὰ Κύρου ταὐτὰ λέγοντες ἄγγελοι. οἱ δὲ Λακεδαιμόνιοι ἔδοσαν τὸν Λύσανδρον ὡς ἐπιστολέα, ναύαρχον δὲ Ἄρακον, (οὐ γὰρ νόμος αὐτοῖς δὶς τὸν αὐτὸν ναυαρχεῖν) τὰς μέντοι

σχοῖεν. Scil. *Spartani.*

§. 5. λάβωσι μισθόν. Edit. Caſt. λάβωσι τὸν μισθόν.

ἐμβαίνειν. Marg. Steph. εἰσβαίνειν.

δέδωκε. Ibid. διέδωκε.

§. 6. οἱ ἄλλοι ξυμμ. Sc. qui in Æolide, Ionia et inſulis erant. Diodor. xiii. 100.

συλλεγέντες. Edd. vett. συλλέγοντες.

ταῦτά τε ἐροῦντας. *Ut et exponerent, quænam in præſenti eſſet rerum conditio* ſc. poſt cladem ad Arginuſas acceptam.

εὖ φερόμενον. Οὗτος γὰρ ἔν τε τῷ τῆς ναυαρχίας χρόνῳ κατωρθωκὼς ἦν πολλὰ, καὶ ἐδόκει διαφέρειν στρατηγίᾳ τῶν ἄλλων. Diodor. l. l.

ἐν Νοτίῳ. Vid. i. 5. 14.

§. 7. δὲ καί. Pro δέκα καὶ cum Welſio lectionem marg. Stephan. recepi. Nam non veriſimile eſt, a Cyro miſſos eſſe *decem:* nec numerus ullus commemoratur a Diod. l. l. et Plutarcho in Lyſ. c. 7.

ναῦς παρέδοσαν Λυσάνδρῳ, ἐτῶν ἤδη πέντε καὶ εἴκοσι παρεληλυθότων.

8 Τούτῳ δὲ τῷ ἐνιαυτῷ καὶ Κῦρος ἀπέκτεινεν Αὐτοβοισάκην καὶ Μιτραῖον, υἱεῖς ὄντας τῆς Δαρειαίου ἀδελφῆς, τῆς τοῦ Ἀρταξέρξου, τοῦ Δαρείου πατρὸς, ὅτι αὐτῷ ἀπαντῶντες οὐ διέωσαν διὰ τῆς κόρης τὰς χεῖρας· ὃ ποιοῦσι βασιλεῖ μόνῳ. (ἡ δὲ κόρη ἐστὶ μακρότερον ἢ χειρὸς, ἐν ᾗ τὴν χεῖρα ἔχων οὐδὲν ἂν δύναιτο ποιῆσαι.) 9 Ἱεραμένης μὲν οὖν καὶ ἡ γυνὴ ἔλεγον πρὸς Δαρειαῖον, δεινὸν εἶναι, εἰ περιόψεται τὴν λίαν ὕβριν τούτου· ὁ δὲ αὐτὸν μεταπέμπεται ὡς ἀρρωστῶν, πέμψας ἀγγέλους.

Ol. 93 ¾. 10 Τῷ δ᾽ ἐπιόντι ἔτει, ἐπὶ Ἀρχύτου μὲν ἐφορεύοντος, ἄρχοντος δ᾽ ἐν Ἀθήναις Ἀλεξίου, Λύσανδρος, ἀφικόμενος ἐς

ἤδη πέντε. Marg. Steph. ἤδη τῷ πολέμῳ πέντε.

§. 8. Δαρειαίας. Pro Δαρειαίου reſtitui nomen mulieris, quemadmodum recte fecit Pirckhemerus et Goldhagenius. Nam non eſt veroſimile, primum Xenophontem eundem virum eodem loco dupliciter ſcripſiſſe : tum nomen mulieris prætermiſiſſe, et verba τοῦ Δαρείου πατρὸς ita plane ſine neceſſitate addidiſſe.

Ἀρταξέρξου. Pro Ξέρξου cum Moro recepi nomen *Artaxerxis*. Nam conſtat, Darium Nothum, de quo hic ſermo eſt, non fuiſſe filium Artaxerxis Longimani, ſed fratrem Xerxis ſecundi.

διέωσαν. Pro διέσωσαν cum Moro emendationem viri docti in Obſ. Miſc. vol. iii. p. 429. recepi, quia διωθεῖν eſt rei aptiſſimum. Cyrop. viii. 3. 10. enim de eadem re eſt διείρειν τὰς χεῖρας διὰ τῶν κανδύων.

ἢ χειρός. Brodæus mavult τῆς χειρός : Stephanus vult corrigi ἢ χειρίς : Portus χειρίδος, et ἢ tolli Leonclavius. Sed correctione non opus eſſe videtur, ſi poſt ἢ cum Abreſchio Diluc. Thuc. Auctar. p. 414. intelligitur χρῆμα.

§. 9. Δαρεῖον. Pro Δαρειαῖον reſtitui lectionem, qua alias ſemper Xenophon utitur.

ὡς ἀῤῥωστῶν. In Anabaſi i. 1. nulla cædis facta mentione narratur ſimpliciter, Darium ægrotantem, cum finem vitæ inſtare putaſſet, arceſſiviſſe Cyrum. Poſt hujus adventum Dario mortuo, Cyrum a fratre Artaxerxe comprehenſum, et demum exorante matre in imperium ſuum dimiſſum fuiſſe. Ex quo loco efficere quidam voluerunt geminum iter Cyri ad patrem Darium, cum putaſſent, utrumque locum ſibi contrarium eſſe. Anabaſin enim aiunt de vero Darii morbo, contra Hiſtoriam græcam de ficto (ὡς ἀῤῥωστῶν) loqui. Sed hæc narrationis nulla eſt diverſitas. Darius enim prætexebat morbum, quo decumbebat, conſilio paterno, quo fratres convocatos in concordiam revocare eorumque amicitiam firmare volebat moriturus. Contra Zeunius non geminum quidem iter Cyri ad Darium ex utriuſque loci comparatione effecit, ipſam tamen Hellenicorum narrationem ad annum proxime antecedentem retulit, quo Cyrum propter occiſos duos cognatos a patre vocatum non paruiſſe tamen putabat. Cujus equidem opinionis auctoritatem nullam cum afferri videam, neſcio quibus argumentis eam lectoribus ſuis approbari voluerit Zeunius. *S.*

§. 10. Ἀρχύτου. Marg. Stephan. Ἀρχύτα, non male.

Ἔφεσον, μετεπέμψατο Ἐτεόνικον ἐκ Χίου ξὺν ταῖς ναυσὶ, καὶ τὰς ἄλλας πάσας ξυνήθροισεν, εἴ πού τις ἦν, καὶ ταύτας τε ἐπεσκεύαζε, καὶ ἄλλας ἐν Ἀντάνδρῳ ἐναυπηγεῖτο.
11 ἐλθὼν δὲ παρὰ Κῦρον, χρήματα ᾔτει· ὁ δ᾽ αὐτῷ εἶπεν, ὅτι τὰ μὲν παρὰ βασιλέως ἀνηλωμένα εἴη, καὶ ἔτι πλείω πολλῷ, δεικνύων, ὅσα ἕκαστος τῶν ναυάρχων ἔχοι· ὅμως
12 δέδωκε. Λαβὼν δὲ ὁ Λύσανδρος τἀργύριον, ἐπὶ τὰς τριήρεις τριηράρχους ἐπέστησε, καὶ τοῖς ναύταις τὸν ὀφειλόμενον μισθὸν ἀπέδωκε. παρεσκευάζοντο δὲ καὶ οἱ τῶν Ἀθηναίων στρατηγοὶ πρὸς τὸ ναυτικὸν ἐν τῇ Σάμῳ.

13 Κῦρος δ᾽ ἐπὶ τούτοις μετεπέμψατο Λύσανδρον, ἐπεὶ αὐτῷ παρὰ τοῦ πατρὸς ἧκεν ἄγγελος, λέγων, ὅτι ἀῤῥωστῶν ἐκεῖνον καλοίη, ὢν ἐν Θαμνηρίοις τῆς Μηδείας, ἐγγὺς
14 Καδουσίων, ἐφ᾽ οὓς ἐστράτευσεν ἀφεστῶτας. Ἥκοντα δὲ Λύσανδρον οὐκ εἴα ναυμαχεῖν πρὸς Ἀθηναίους, ἐὰν μὴ πολλῷ πλείους ναῦς ἔχῃ· εἶναι γὰρ χρήματα πολλὰ καὶ βασιλεῖ καὶ ἑαυτῷ, ὥστε τούτου ἕνεκεν πολλὰς πληροῦν. παρέδειξε δ᾽ αὐτῷ πάντας τοὺς φόρους τοὺς ἐκ τῶν πόλεων, οἳ αὐτῷ ἴδιοι ἦσαν, καὶ τὰ περιττὰ χρήματα ἔδωκε. καὶ ἀναμνήσας, ὡς εἶχε φιλίας πρός τε τὴν τῶν Λακεδαιμονίων πόλιν καὶ πρὸς Λύσανδρον ἰδίᾳ, ἀνέβαινε παρὰ τὸν πατέρα.

15 Λύσανδρος δ᾽, ἐπεὶ αὐτῷ Κῦρος πάντα παραδοὺς τὰ

§. 11. ὅμως δ᾽ ἔδωκε. Edd. vett. ὅμως δέδωκε.

[Neceſſario ſcrib. ὅμως δ᾽ ἔδωκε. Jubet temporum ratio. *F. A. Wolfius.*]

§. 13. μετεπέμψατο. Scil. εἰς Σάρδεις.

Καδουσίων. Ed. Caſt. Καδδουσίων.

ἐστράτευσεν ἀφεστῶτας. Edd. vett. ἐστράτευσε καθεστῶτας. Hinc Brodæus corrigit ἐστράτευε καταφεστῶτας, *qui ab eo defecerant.*

§. 14. παρέδειξε. Plutarch. Lyſ. c. 9: τούς τε φόρους ἀπέδειξε τῶν πόλεων λαμβάνειν ἐκεῖνον, καὶ τὴν αὐτοῦ διεπίστευσεν ἀρχήν· ἀσπασάμενος δὲ, καὶ δεηθεὶς μὴ ναυμαχεῖν Ἀθηναίοις, πρὶν αὐτὸν ἀφικέσθαι πάλιν, ἀφίξεσθαι δὲ ναῦς ἔχοντα πολλὰς ἔκ τε Φοινίκης καὶ Κιλικίας, ἀνέβαινεν ὡς βασιλέα. *Z.* Ex quo loco apparet, recte Morum interpretari παρέδειξε, *aſſignavit*; ſi lectio ſana eſt. *S.*

τῶν Λακεδαιμονίων. Deeſt τῶν in edd. vett.

§. 15. παραδούς. Diod. xiii. 104. τῷ Λυσάνδρῳ τῶν ὑφ᾽ αὐτὸν πόλεων τὴν ἐπίστασιν παρέδωκε, καὶ τοὺς φόρους τούτῳ

αὐτοῦ πρὸς τὸν πατέρα ἀῤῥωστοῦντα μεταπεμπτος ἀνέβαινε, μισθὸν διαδοὺς τῇ στρατιᾷ, ἀνήχθη τῆς Καρίας ἐς τὸν Κεράμειον κόλπον· καὶ προσβαλὼν πόλει τῶν Ἀθηναίων ξυμμάχῳ, ὄνομα Κεδρείαις, τῇ ὑστεραίᾳ προσβολῇ κατὰ κράτος αἱρεῖ, καὶ ἐξηνδραπόδισεν· (ἦσαν δὲ μιξοβάρβαροι οἱ ἐνοικοῦντες) ἐκεῖθεν δ᾽ ἀπέπλευσεν ἐς Ῥόδον. Οἱ δὲ 16 Ἀθηναῖοι, ἐκ τῆς Σάμου ὁρμώμενοι, τὴν βασιλέως κακῶς ἐποίουν, καὶ τὴν ἐπὶ Χίον καὶ τὴν Ἔφεσον ἐπέπλεον, καὶ παρεσκευάζοντο πρὸς ναυμαχίαν· καὶ στρατηγοὺς πρὸς τοῖς ὑπάρχουσιν εἵλοντο Μένανδρον, Τυδέα, Κηφισόδοτον. Λύσανδρος δ᾽ ἐκ τῆς Ῥόδου παρὰ τὴν Ἰωνίαν ἐκπλεῖ πρὸς 17 τὸν Ἑλλήσποντον, πρός τε τῶν πλοίων τὸν ἔκπλουν, καὶ ἐπὶ τὰς ἀφεστηκυίας αὐτῶν πόλεις. ἀνήγοντο δὲ [καὶ] οἱ Ἀθηναῖοι ἐπὶ τῆς Χίου πελάγιοι· ἡ γὰρ Ἀσία πολεμία αὐτοῖς ἦν· Λύσανδρος δ᾽ ἐξ Ἀβύδου παρέπλει ἐς Λάμψακον, 18 ξύμμαχον οὖσαν Ἀθηναίων· καὶ οἱ Ἀβυδηνοὶ καὶ οἱ ἄλλοι παρῆσαν πεζῇ· ἡγεῖτο δὲ Θώραξ Λακεδαιμόνιος. προσ- 19 βαλόντες δὲ τῇ πόλει, αἱροῦσι κατὰ κράτος, καὶ διήρπασαν οἱ στρατιῶται, οὖσαν πλουσίαν, καὶ οἴνου καὶ σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων πλήρη· τὰ δὲ ἐλεύθερα σώματα πάντα ἀφῆκε Λύσανδρος. Οἱ δὲ Ἀθηναῖοι, κατὰ πόδας πλέ- 20

τίλειν συνέταξεν. *Z.* Idem deinde pro Cedreis nominat Thaſum Cariæ, de qua dubitant Interpretes, et Iaſum legere jubent. Ex loco noſtro Κεδρέας nominat Stephanus Byz. monente Fr. Porto. Cerameum ſinum inter et Iaſium habitari Halicarnaſſum, ait Plinius ; igitur Iaſum in Diodoro probo.

§. 16. ἐπὶ τὴν Χίον. Sic recte Welſius e marg. Steph. Vulgo dant τὴν ἐπὶ Χίον.

πρὸς τοῖς ὑπάρχουσιν. Hic fuerunt tres, qui commemorantur i. 7. 1.

εἵλοντο. Marg. Steph. προσείλοντο.

§. 17. πρὸς τὸν Ἑλλήσπ. Lyſander, ut Plutarchus l. l. ait, prius Æginam et Salamina infeſtavit, adiitque Atticam, ſed rebus infectis.

πρός τε τῶν πλ.—πόλεις. *Ut et navibus excurreret et urbes Helleſpontiacas, quæ defecerant, recuperaret.*

πελάγιοι. *Athenienſes verſus Chium quoque, ſed, quia Aſiam ſibi infeſtam habebant, non* παρὰ Ἰωνίαν. *juxta Ioniam, ſed in alto petebant Helleſpontum.* Z. Particulam καὶ ante οἱ Ἀθηναῖοι recte uncis incluſam damnat Morus; eſt enim in hac explicatione rei, paulo ante non ſatis diſtincte traditæ, ſuperflua.

§. 18. ἡγεῖτο δὲ Θώραξ. Plutarch. Lyſ. c. 9. Θώραξ δὲ τῷ πεζῷ στρατῷ συνανύσας, εἰς τὸ αὐτὸ, προσέβαλε τοῖς τείχεσιν.

οντες, ὡρμίσαντο τῆς Χεῤῥονήσου ἐν Ἐλεοῦντι, ναυσὶν ὀγδοήκοντα καὶ ἑκατόν. ἐνταῦθα δὴ ἀριστοποιουμένοις αὐτοῖς ἀγγέλλεται τὰ περὶ Λάμψακον, καὶ εὐθὺς ἀνήχθησαν 21 ἐς Σηστόν. ἐκεῖθεν δ' εὐθὺς ἐπισιτισάμενοι ἔπλευσαν ἐς Αἰγὸς ποταμοὺς, ἀντίον τῆς Λαμψάκου· (διεῖχε δ' ὁ Ἑλλήσποντος ταύτῃ σταδίους ὡς πεντεκαίδεκα) ἐνταῦθα δὴ 22 ἐδειπνοποιοῦντο. Λύσανδρος δὲ τῇ ἐπιούσῃ νυκτὶ, ἐπεὶ ὄρθρος ἦν, ἐσήμηνεν, ἐς τὰς ναῦς ἀριστοποιησαμένους ἐσβαίνειν. πάντα δὲ παρασκευασάμενος ὡς ἐς ναυμαχίαν, καὶ τὰ παραβλήματα παραβάλλων, προεῖπεν, ὡς μηδεὶς κι-23 νήσοιτο ἐκ τῆς τάξεως, μηδὲ ἀνάξοιτο. οἱ δὲ Ἀθηναῖοι ἅμα τῷ ἡλίῳ ἀνίσχοντι ἐπὶ τῷ λιμένι παρετάξαντο ἐν μετώπῳ ὡς ἐς ναυμαχίαν. ἐπεὶ δ' οὐκ ἀντανήγαγε Λύσανδρος, καὶ τῆς ἡμέρας ὀψὲ ἦν, ἀπέπλευσαν πάλιν ἐς 24 τοὺς Αἰγὸς ποταμούς. Λύσανδρος δὲ τὰς ταχίστας τῶν νεῶν ἐκέλευσεν ἕπεσθαι τοῖς Ἀθηναίοις· ἐπειδὰν δὲ ἐκβῶσι, κατιδόντας ὅ, τι ποιοῦσιν, ἀποπλεῖν, καὶ αὐτῷ ἐξαγγεῖλαι. καὶ οὐ πρότερον ἐξεβίβασεν ἐκ τῶν νεῶν, πρὶν αὗται ἧκον. ταῦτα δ' ἐποίει τέτταρας ἡμέρας· καὶ οἱ Ἀθηναῖοι 25 ἐπανήγοντο. Ἀλκιβιάδης δὲ, κατιδὼν ἀπὸ τῶν τειχῶν

§. 20. ὀγδοήκοντα. Diodorus xiii. 104. numerat 173 naves; ſed paulo poſt 105 conſentit cum Noſtro.

§. 21. ἔπλευσαν. Plutarch. l. l. παρέπλευσαν εἰς Αἰγὸς ποταμοὺς, ἀντιπέρας τῶν πολεμίων ἔτι ναυλοχούντων περὶ τὴν Λάμψακον.

ταύτῃ. Correctionem Leonclavii pro vulgato ταύτης recepit Welſius et Morus. Sed genitivus regitur ab ellipſi præp. ἀπό. *Z.* At ſenſus ita plane alienus exiſtit. Recte vero Morus interpretatur: Helleſpontus patet in latitudinem in hac parte ſeu regione. Igitur poſui rectum. Bene Plutarchus in Lyſandro c. 11. τὸ δὲ μεταξὺ τῶν ἠπείρων διάστημα ταύτῃ πεντεκαίδεκα σταδίων ἐστι. *S.*

§. 22. παραβαλών. Sic recte Junt. et vett. edd. præter Ald. quam ſequitur Steph. male παραβάλλων. Cæterum Palmerius Exercit. ad gr. auct. p. 62. explicat locum ita: *Per παραβλήματα intelligo ea, quæ ad tegendos milites tenduntur circa navem in tabulati ora, ſive ſint plutei ex cratibus, e vimine textis, quibus olim utebantur, ſive ſint lintea picta; ea nunc in triremibus vocantur voce, ab Italis forte deſumta,* paveſades, *in majoribus vero navigiis et noſtro Oceano* Saborti. Cf. ſupra ad i. 6. 19. Quare Plutarchus ait, Lyſandrum juſſiſſe ſuos in navibus καθέζεσθαι κόσμῳ καὶ σιωπῇ δεχομένους τὸ παραγγελλόμενον.

§. 23. ἐν μετώπῳ. Plutarch. μετωπηδὸν, *fronte in hoſtem directa.*

§. 24. ταχίστας τῶν νεῶν. Polyænus Strat. i. 45. 2. dicit δύο τριήρεις, et Plutarchus, δύο ἢ τρεῖς τριήρεις.

ἐξεβίβασεν. Sc. *ſuos milites.*

§. 25. [Ἀλκιβιάδης. Ad ea, quæ ex

τοὺς μὲν Ἀθηναίους ἐν αἰγιαλῷ ὁρμοῦντας, καὶ πρὸς οὐδεμιᾷ πόλει, τὰ δ' ἐπιτήδεια ἐκ Σηστοῦ μετιόντας πεντεκαίδεκα σταδίους ἀπὸ τῶν νεῶν, τοὺς δὲ πολεμίους ἐν λιμένι, καὶ πρὸς πόλιν, ἔχοντας πάντα, οὐκ ἐν καλῷ ἔφη αὐτοὺς ὁρμεῖν, ἀλλὰ μεθορμίσαι ἐς Σηστὸν παρῄνει, πρός τε λιμένα καὶ πρὸς πόλιν· οὗ ὄντες ναυμαχήσετε, ἔφη, ὅταν βούλησθε. 26 Οἱ δὲ στρατηγοὶ, μάλιστα δὲ Τυδεὺς καὶ Μένανδρος, ἀπιέναι αὐτὸν ἐκέλευσαν· αὐτοὺς γὰρ νῦν στρατηγεῖν, οὐκ ἐκεῖνον. Καὶ ὁ μὲν ᾤχετο. 27 Λύσανδρος δ', ἐπεὶ ἡμέρα ἦν πέμπτη ἐπιπλέουσι τοῖς Ἀθηναίοις, εἶπε τοῖς παρ' αὐτοῦ ἑπομένοις, ἐπὰν κατίδωσιν αὐτοὺς ἐκβεβηκότας καὶ ἐσκεδασμένους κατὰ τὴν Χερρόνησον, (ὅπερ ἐποίουν πολὺ μᾶλλον καθ' ἑκάστην ἡμέραν, τά τε σιτία πόρρωθεν ὠνούμενοι, καὶ καταφρονοῦντες δὴ τοῦ Λυσάνδρου, ὅτι οὐκ ἀντανῆγεν) ἀποπλέοντας τοὔμπαλιν παρ' αὐτὸν, ἆραι ἀσπίδα κατὰ μέσον τοῦ πλοῦ. οἱ δὲ ταῦτα ἐποίησαν, ὡς ἐκέλευσε. 28 Λύσανδρος δ' εὐθὺς ἐσήμανε, τὴν ταχίστην πλεῖν· ξυμπαρῄει δὲ καὶ Θώραξ, τὸ πεζὸν ἔχων. Κόνων δὲ, ἰδὼν τὸν ἐπίπλουν, ἐσήμανεν, ἐς τὰς ναῦς βοηθεῖν κατὰ κράτος. διεσκεδασμένων δὲ τῶν ἀνθρώπων ὄντων, αἱ μὲν τῶν νεῶν δίκροτοι ἦσαν, αἱ δὲ μονόκροτοι, αἱ δὲ παντελῶς κεναί· ἡ

Diodoro annotata reperis, adde: iterum tum Athenis actum fuisse videri de Alcibiade revocando; quod manifesto arguit locus Aristophanis in Ranis versu 1425. uti recte etiam admonuit scholii græci auctor, addens: Ἀνδρῶν δὲ διαφέρεται πρὸς Ξενοφῶντα περὶ τῆς καθόδου. Dolendum, non addidisse eum narrationis diversitatem. Cæterum reliqua scholii pars ex Aristarchi commentariis ducta plane ab historiæ veritate aberrat. *Ex Addendis.*]

ἀπὸ τῶν τειχῶν. *E castello, quod habebat in Chersoneso.* Inde equo vectus ad Atheniensium duces, (Plutarch. Lys. 10. et Alcib. 36. 37.) præter alia salubria consilia, quæ dedit, etiam promisit, Atheniensibus Medocum et Seuthen Thracum reges opem laturos esse. Diod. Sic. xiii. 105. qui addit imperii communicationem sibi petiisse Alcibiadem. In illa regione plures Athenienses castella et agros habuisse apparet ex Anabasi vii. 3. 19.

οὐδεμιᾷ πόλει. Castal. οὐδεμίαν πόλιν. πρὸς πόλιν. Marg. Steph. L. πόλει. ἔφη αὐτοὺς. A. I. Cast. αὐτοῖς.

§. 27. δὴ τοῦ. Junt. Bryl. Cast. τι τοῦ.

ἀσπίδα. Plutarchus ἀσπίδα χαλκῆν ἐπάρασθαι πρώραθεν.

§. 28. Θώραξ. Apud Diodorum Eteonicus copias terrestres ducit.

διεσκεδασμένων—ὄντων. Cast. διασκεδασμένων. Deinde ὄντων delendum censuerunt St. et L.

δὲ Κόνωνος καὶ ἄλλαι περὶ αὐτὸν ἑπτὰ πλήρεις ἀνήχθησαν, καὶ ἡ Πάραλος. τὰς δ' ἄλλας πάσας Λύσανδρος ἔλαβε πρὸς τῇ γῇ. τοὺς δὲ πλείστους ἄνδρας ἐν τῇ γῇ
29 ξυνέλεξαν. οἱ δὲ καὶ ἔφυγον ἐς τὰ τειχύδρια. Κόνων δὲ, ταῖς ἐννέα ναυσὶ φεύγων, ἐπεὶ ἔγνω τῶν Ἀθηναίων τὰ πράγματα διεφθαρμένα, κατασχὼν ἐπὶ τὴν Ἀβαρνίδα, τὴν Λαμψάκου ἄκραν, ἔλαβεν αὐτόθεν τὰ μεγάλα τῶν Λυσάνδρου νεῶν ἱστία. καὶ αὐτὸς μὲν ὀκτὼ ναυσὶν ἀπέπλευσε παρ' Εὐαγόραν ἐς Κύπρον· ἡ δὲ Πάραλος ἐς τὰς
30 Ἀθήνας, ἀπαγγέλλουσα τὰ γεγονότα. Λύσανδρος δὲ τάς τε ναῦς καὶ τοὺς αἰχμαλώτους καὶ τἄλλα πάντα ἐς Λάμψακον ἀπήγαγεν, ἔλαβε δὲ καὶ τῶν στρατηγῶν ἄλλους τε, καὶ Φιλοκλέα καὶ Ἀδείμαντον. ᾗ δ' ἡμέρᾳ ταῦτα κατειργάσατο, ἔπεμψε Θεόπομπον τὸν Μιλήσιον λῃστὴν ἐς Λακεδαίμονα, ἀπαγγελοῦντα τὰ γεγονότα· ὃς ἀφικόμενος τρι-
31 ταῖος ἀπήγγειλε. Μετὰ δὲ ταῦτα Λύσανδρος, ἀθροίσας

ἱστία. Consentit Plutarchus in Alcibiade et Lysandro c. 11. contra Diodorus cum Pausania iii. p. 232. decem numerant. Cum Plutarcho facit Polyænus i. 45. 2. male tamen unam navem in Pontum effugisse addit. Brevius rem memorat Frontinus ii. 1. 18. et male universas naves captas ait. Diodori narratio de prælio discrepat eo, quod Philocles dicitur eo die cum triginta navibus abiisse e portu, et ut reliqui trierarchi se sequerentur, jussisse. Hunc vixdum progressum Lysander in fugam convertit, et reliquas naves imparatas cepit, præter decem a Conone abductas.

τειχύδρια. Ita vulgatum τὰ χείδρια correxit Leoncl.

§. 29. Λαμψάκου. Male edd. veteres Λάμψακον. Ex Hecatæo Ἄβαρνον Λαμψάκου ἄκρην affert Steph. Byz. In Athenæi ii. p. 62. male legitur περὶ Λάμψακον ἐν τῇ Ἀκαρνίδι.

ἐς Κύπρον. Diodorus: τὴν εἰς Ἀθήνας ἐπάνοδον ἀπέγνω, φοβηθεὶς τὴν ὀργὴν τοῦ δήμου. Memorat hanc fugam Isocrates Evag. p. 292. ed. Wolf. Dehinc Xenophon Cononis iterum meminit infra iv. 3. ut Persicarum navium præfecti. Classem Persarum rogatus rexit, auctore Diodoro xiv. 39. De commoratione ejus in Cypro Plutarchus Artax. c. 21. ὁ γὰρ Κόνων διέτριβε μὲν ἐν Κύπρῳ μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς ναυμαχίαν, οὐ τὴν ἀσφάλειαν ἀγαπῶν, ἀλλὰ τὴν τῶν πραγμάτων μεταβολὴν περιμένων. Quæ ex communi auctore inepte vertit et retulit Nepos Conon. c. 2.

ἀπαγγέλλουσα. Steph. emendabat ἀπαγγελοῦσα, recte. Ita statim post est.

§. 30. αἰχμαλώτους. Plutarchus Lysandr. c. 11. τρισχιλίους ἄνδρας. Ceterum catalogum eorum, qui Lysandrum in pugna hac maxime juverant, et quorum statuas in templo Delphico dedicaverat, habet Pausanias x. p. 819. ubi præter Hermonem gubernatorem et Eteonicum nomen nullum reperio, quod h. l. legitur. Thorax ibi omissus etiam est.

§. 31. ἀθροίσας. Omisit Junt. Castal.

τοὺς ξυμμάχους, ἐκέλευσε βουλεύεσθαι περὶ τῶν αἰχμαλώτων. ἐνταῦθα δὴ κατηγορίαι ἐγίγνοντο πολλαὶ τῶν Ἀθηναίων, ἅ τε ἤδη παρανενομήκεσαν, καὶ ἃ ἐψηφισμένοι ἦσαν ποιεῖν, εἰ κρατήσειαν τῇ ναυμαχίᾳ, τὴν δεξιὰν χεῖρα ἀποκόπτειν τῶν ζωγρηθέντων πάντων, καὶ ὅτι λαβόντες δύο τριήρεις, Κορινθίαν καὶ Ἀνδρίαν, τοὺς ἄνδρας ἐξ αὐτῶν πάντας κατακρημνίσειαν. Φιλοκλῆς δ᾽ ἦν στρατηγὸς τῶν Ἀθηναίων, ὃς τούτους διέφθειρεν. Ἐλέγετο δὲ καὶ ἄλλα 32 πολλὰ, καὶ ἔδοξεν, ἀποκτεῖναι τῶν αἰχμαλώτων ὅσοι ἦσαν Ἀθηναῖοι, πλὴν Ἀδειμάντου, ὅτι μόνος ἐπελάβετο ἐν τῇ ἐκκλησίᾳ τοῦ περὶ τῆς ἀποτομῆς τῶν χειρῶν ψηφίσματος. ᾐτιάθη μέντοι ὑπό τινων, προδοῦναι τὰς ναῦς. Λύσανδρος δὲ, Φιλοκλέα πρῶτον ἐρωτήσας, ὃς τοὺς Ἀνδρίους καὶ Κορινθίους κατακρημνίσειε, τί εἴη ἄξιος παθεῖν, ἀρξάμενος ἐς Ἕλληνας παρανομεῖν, ἀπέσφαξεν.

## ΚΕΦ. Β.

ΕΠΕΙ δὲ τὰ ἐν τῇ Λαμψάκῳ κατεστήσατο, ἔπλει ἐπὶ τὸ Βυζάντιον καὶ Χαλκηδόνα. οἱ δ᾽ αὐτὸν ὑπεδέχοντο, τοὺς τῶν Ἀθηναίων φρουροὺς ὑποσπόνδους ἀφέντες. οἱ δὲ προδόντες Ἀλκιβιάδῃ τὸ Βυζάντιον τότε μὲν ἔφυγον ἐς τὸν

τὴν δεξιάν. Plutarchus Lyſ. c. 9. de Philocle: ἔπεισε ψηφίσασθαι τὸν δῆμον ἀποκόπτειν τὸν δεξιὸν ἀντίχειρα τῶν ἁλισκομένων, ὅπως δόρυ μὲν φέρειν μὴ δύνωνται, κώπην δ᾽ ἐλαύνωσι. Cicero Offic. iii. 11. "Athenienſes ſciverunt, ut Æginetis, qui claſſe valebant, pollices præciderentur, nimis enim imminebat propter propinquitatem Ægina Piræo." Vide igitur, num hoc in loco legendum ſit etiam τὸν δεξιὸν ἀντίχειρα?

§. 32. ὅσοι ἦσαν. Pauſanias ix. 32. Philoclem cum quatuor millibus Athenienſium occiſum inhumatumque abjectum fuiſſe ait.

προδοῦναι. Plutarchus Lyſandro c. 11. et Alcib. 37. ubi retulerat, quæ noſter ſupra §. 26. addit: ὁ μὲν οὖν Ἀλκιβιάδης ὑποπτεύσας τι καὶ προδοσίας ἐν αὐτοῖς ἀπηλλάττετο. Quin ipſi Alcibiadi proditionis ſuſpicionem impactam fuiſſe, apparet ex Lyſia contra ejus filium Orat. p. 548. ubi de patre eſt: ἐτόλμησε τὰς ναῦς Λυσάνδρῳ μετὰ Ἀδειμάντου προδοῦναι. Ab ipſo Conone Adimantum accuſatum fuiſſe refert Demoſthenes de falſa legat. p. 401. Cononem abſolvit etiam Iſocrates ad Philipp. p. 185.

ἀπέσφαξεν. Non timide ſed magno animo mortem tùliſſe, ex Theophraſto refert Plutarch. Lyſandr. cap. 13.

F 4

Πόντον, ὕστερον δ' ἐς Ἀθήνας, καὶ ἐγένοντο Ἀθηναῖοι.
2 Λύσανδρος δὲ τούς τε φρουροὺς τῶν Ἀθηναίων, καὶ εἴ τινά που ἄλλον ἴδοι Ἀθηναῖον, ἀπέπεμπεν ἐς τὰς Ἀθήνας, διδοὺς ἐκεῖσε μόνον πλέουσιν ἀσφάλειαν, ἄλλοθι δ' οὔ· εἰδὼς, ὅτι, ὅσῳ ἂν πλείους συλλεγῶσιν ἐς τὸ ἄστυ καὶ τὸν Πειραιᾶ, θᾶττον τῶν ἐπιτηδείων ἔνδειαν ἔσεσθαι. καταλιπὼν δὲ Βυζαντίου καὶ Χαλκηδόνος Σθενέλαον ἁρμοστὴν Λάκωνα, αὐτὸς ἀποπλεύσας ἐς Λάμψακον, τὰς ναῦς ἐπεσκεύαζεν.

3 Ἐν δὲ ταῖς Ἀθήναις, τῆς Παράλου ἀφικομένης νυκτὸς, ἐλέγετο ἡ ξυμφορὰ, καὶ ἡ οἰμωγὴ ἐκ τοῦ Πειραιῶς διὰ τῶν μακρῶν τειχῶν ἐς ἄστυ διῆκεν, ὁ ἕτερος τῷ ἑτέρῳ παραγγέλλων· ὥστε κείνης τῆς νυκτὸς οὐδεὶς ἐκοιμήθη, οὐ μόνον τοὺς ἀπολωλότας πενθοῦντες, ἀλλὰ πολὺ ἔτι μᾶλλον αὐτοὶ ἑαυτοὺς πείσεσθαι νομίζοντες, οἷα ἐποίησαν Μηλίους τε, Λακεδαιμονίων ἀποίκους ὄντας, κρατήσαντες πολιορκίᾳ, καὶ Ἱστιαιέας, καὶ Σκιωναίους, καὶ Τορωναίους, καὶ Αἰγινήτας, καὶ ἄλλους πολλοὺς τῶν Ἑλλήνων. 4 τῇ δ' ὑστεραίᾳ ἐκκλησίαν ἐποίησαν, ἐν ᾗ ἔδοξε, τούς τε λιμένας ἀποχῶσαι, πλὴν ἑνὸς, καὶ τὰ τείχη εὐτρεπίζειν, καὶ φυλακὰς ἐφιστάναι, καὶ τἄλλα πάντα ὡς ἐς πολιορκίαν παρασκευάζειν τὴν πόλιν. Καὶ οὗτοι μὲν περὶ ταῦτα ἦσαν.

5 Λύσανδρος δ' ἐκ τοῦ Ἑλλησπόντου ναυσὶ διακοσίαις

§. 2. εἰδὼς ὅτι. Sequente infinitivo, ὅτι multis exemplis defenderunt Stephanus et Wesseling ad Diodorum iv. 26. et ad h. l. Morus. Quare immerito ὅτι deleri volunt Leonclav. et Steph.

§. 3. [ὁ ἕτερος τῷ ἑτέρῳ παραγγέλλων. Morus putabat, esse nominativos absolute positos; qui mihi quidem non placent. *Ex Addendis.*]

τῆς νυκτός. Justinus v. 7. in foro dein coeunt atque ibi perpeti nocte fortunam publicam quæstibus iterant etc.

Μηλίους. Melios suaserat Alcibiades in servitutem redigere et vendere, Andocide auctore de Mysteriis p. 123. De Scionæis vide Morum ad Isocratis Panegyr. c. 29. De Æginetis Thucydid. i. 105. et 108. De Toronæis eundem v. 2. 3.

Ἱστιαιέας. Ita scripsi pro vulgato Ἱστιέας, quod tamen defendere videtur Morus ad Isocratis Panegyric. c. 31. p. 72. edit. secundæ.

§. 4. λιμένας ἀποχῶσαι. Diodorus xiii. 107. desperato maris imperio, urbisque obsidionem timentes ait portus ἐπιχωννῦσαι.

ἀφικόμενος ἐς τὴν Λέσβον, κατεσκευάσατο τάς τε ἄλλας πόλεις ἐν αὐτῇ, καὶ Μιτυλήνην· ἐς δὲ τὰ ἐπὶ Θρᾴκης χωρία ἔπεμψε δέκα τριήρεις ἔχοντα Ἐτεόνικον, ὃς τὰ ἐκεῖ πάντα πρὸς Λακεδαιμονίους μετέστησεν. εὐθὺς δὲ καὶ 6 ἡ ἄλλη Ἑλλὰς ἀφειστήκει Ἀθηναίων μετὰ τὴν ναυμαχίαν, πλὴν Σαμίων. οὗτοι δέ, σφαγὰς τῶν γνωρίμων ποιήσαντες, κατεῖχον τὴν πόλιν. Λύσανδρος δὲ μετὰ 7 ταῦτα ἔπεμψε πρὸς Ἆγίν τε καὶ ἐς Δεκέλειαν καὶ ἐς Λακεδαίμονα, ὅτι προσπλεῖ σὺν διακοσίαις ναυσί. Λακεδαιμόνιοι δὲ ἐξῄεσαν πανδημεί, καὶ οἱ ἄλλοι Πελοποννήσιοι, πλὴν Ἀργείων, παραγγείλαντος τοῦ ἑτέρου Λακεδαιμονίων βασιλέως Παυσανίου. ἐπεὶ δὲ ἅπαντες ἠθροίσθησαν, 8 ἀναλαβὼν αὐτούς, πρὸς τὴν πόλιν ἐστρατοπέδευσεν ἐν τῇ Ἀκαδημίᾳ, τῷ καλουμένῳ γυμνασίῳ. Λύσανδρος δέ, 9 ἀφικόμενος πρὸς Αἴγιναν, ἀπέδωκε τὴν πόλιν Αἰγινήταις, ὅσους ἠδύνατο πλείστους ἀθροίσας αὐτῶν· ὡς δ᾽ αὔτως καὶ

§. 5. *κατεσκευάσατο.* Formam civitatis constituit decemviralem. Vide Plutarch. Lysand. 13. et Isocrat. Panegyr. c. 32. Hanc enim formam ubique introduxit, quo magis civitates imperio Lacedæmoniorum faverent.

§. 6. *γνωρίμων.* Sunt, qui in democratia latinis optimates dicuntur. Aristoteles Politic. iv. 3. et 8. ubi eosdem *καλοὺς κἀγαθοὺς* vocat. Iterum v. 3. 4. et sæpius. In insula Samo dicti sunt *γαμόροι*, docente Valckenair ad Herodot. p. 448. Plutarchus in Nicia c. 2. *τοὺς πλουσίους καὶ γνωρίμους* opponit *τῷ δήμῳ.*

§. 7. [Corr. f. *πρὸς Ἆγίν τε ἐς Δεκέλειαν καὶ ἐς Λακεδαίμονα*, ut sit, καὶ *πρὸς Ἆ. ἐν Δεκελείᾳ ὄντα, καὶ ἐς Λ.* Mox scrib. *τῶν αὐτῶν ἐστερόντο.* Similiter vii. 1. 13. *τῶν ἐκείνων δούλων*, pro *τῶν δούλων ἐκείνων.* Cf. Demosth. Or. Leptin. p. 102. Deinde verba, *τῷ καλουμένῳ γυμνασίῳ*, ex glossa fluxisse puto. Ne de Cranio quidem Corinthio sic loquitur iv. 4. 4. *F. A. Wolfius.*]

*Ἀργείων.* De his vide ad cap. 4. 1.

§. 8. *Ἀκαδημίᾳ.* Morus vertebat: prope academiam; id enim est gymnasio nomen. Equidem maluissem legere *ἐν τῇ καλουμένῃ Ἀκαδημίᾳ τῷ γυμνασίῳ.* Diodorus castra fuisse ait *πρὸς τοῖς τείχεσιν.* Ibidem cum rediisset a Lacedæmone Pausanias castra posuit, ut infra ad cap. 4. §. 21. docebo. Quid factum sit his copiis urbem obsidentibus, narrat Diodorus breviter; obsidione enim nimis diuturna solute domum rediisse ait Lacedæmonios. Verum Pausanias solus cum sociis fortasse ex Attica abiit; Agis contra Deceleiam tenuisse videtur; ad eum enim mittunt legatos §. 11. Athenienses pacem petituri. Cæterum Plutarchus in Theseo p. 15. Francof. auctor est, Lacedæmonios quoties in agrum Atticum excurrerent, Academia studiosissime abstinuisse. Sed recte admonet Wesseling. ad Diodorum i. p. 599. eos pepercisse luco sacrisque oleis. Id ipsum docere Plutarchum et Scholiasten Sophoclis ad Œdip. Colon. versu 689.

Μηλίοις, καὶ τοῖς ἄλλοις, ὅσοι τῶν αὐτῶν ἐστέροντο. μετὰ δὲ τοῦτο δῃώσας Σαλαμῖνα, ὡρμίσατο πρὸς τὸν Πειραιᾶ ναυσὶ πεντήκοντα καὶ ἑκατὸν, καὶ τὰ πλοῖα εἶργε τοῦ εἴσπλου.

10 Οἱ δ' Ἀθηναῖοι, πολιορκούμενοι κατὰ γῆν καὶ κατὰ θάλατταν, ἠπόρουν, τί χρὴ ποιεῖν, οὔτε νεῶν, οὔτε συμμάχων αὐτοῖς ὄντων, οὔτε σίτου. ἐνόμιζον δ' οὐδεμίαν εἶναι σωτηρίαν, εἰ μὴ παθεῖν, ἃ οὐ τιμωρούμενοι ἐποίησαν, ἀλλὰ διὰ τὴν ὕβριν ἠδίκουν ἀνθρώπους μικροπολίτας, οὐδ' ἐπὶ
11 μιᾷ αἰτίᾳ ἑτέρᾳ, ἢ ὅτι ἐκείνοις συνεμάχουν. Διὰ ταῦτα τοὺς ἀτίμους ἐπιτίμους ποιήσαντες, ἐκαρτέρουν· καὶ ἀποθνησκόντων ἐν τῇ πόλει λιμῷ πολλῶν, οὐ διελέγοντο περὶ διαλλαγῆς. Ἐπεὶ δὲ παντελῶς ἤδη ὁ σῖτος ἐπιλελοίπει, ἔπεμψαν πρέσβεις παρὰ Ἆγιν, βουλόμενοι ξύμμαχοι εἶναι Λακεδαιμονίοις, ἔχοντες τὰ τείχη καὶ τὸν Πειραιᾶ, καὶ
12 ἐπὶ τούτοις ξυνθήκας ποιεῖσθαι. ὁ δὲ αὐτοὺς ἐς Λακεδαίμονα ἐκέλευεν ἰέναι· οὐ γὰρ εἶναι κύριος αὐτός. Ἐπεὶ δ' ἀπήγγειλαν οἱ πρέσβεις ταῦτα τοῖς Ἀθηναίοις, ἔπεμψαν
13 αὐτοὺς ἐς Λακεδαίμονα. Οἱ δ', ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ, πλησίον τῆς Λακωνικῆς, καὶ ἐπύθοντο αὐτῶν οἱ Ἔφοροι, ἃ ἔλεγον, ὄντα, οἷά περ καὶ πρὸς Ἆγιν, αὐτόθεν αὐτοὺς ἐκέλευον ἀπιέναι, καὶ, εἴ τι δέονται εἰρήνης, κάλλιον ἥκειν βου-

§. 9. ἐστέροντο. Castal. ἐστερέοντο.
ὡρμίσατο. Cast. ὡρμήσατο.
εἶργε τοῦ εἴσπλου. Lysander capitis pœna sanxerat, ne quis frumentum Athenas importaret, ut narrat Isocrates adv. Callimach. p. 748. ed. Wolf.

§. 11. ἐπιτίμους. Intestinis diffidiis civium urbs tum perturbabatur, quæ quidem ut opprimerentur et concordia civium firmaretur, factum est, rogante Patroclide, decretum de restituendis in integrum ἀτίμοις, cujus verbi vim omnem simul explicavit, qui hoc narrat Andocides de Mysteriis p. 35. Plura tamen molitos tum fuisse Athenienses, patet ex Lysia p. 779. ὑμεῖς δὲ οὕτω διετέθητε, τοὺς μὲν φεύγοντας, κατεδέξασθε, τοὺς δ' ἀτίμους ἐπιτίμους ἐποιήσατε, τοῖς δ' ἄλλοις περὶ ὁμονοίας ὅρκους ὤμνυτε.
ἐκαρτέρουν. Plutarchus Lys. c. 14. ἀντεῖχον.

§. 13. ἐν Σελλασίᾳ. Polybius xvi. 21. exercitum pernoctasse ait ad Sellasiam, ut mane posset Laconicam incursare. Contra Pausanias ii. 38. et iii. 1. in ipsa Laconica ponere videtur Sellasiam.
αὐτόθεν. Omisit Junt. Cast.

λευσαμένους. οἱ δὲ πρέσβεις ἐπεὶ ἧκον οἴκαδε, καὶ ἀπήγ- 14
γειλαν ταῦτα ἐς τὴν πόλιν, ἀθυμία ἐνέπεσε πᾶσιν· ᾤοντο
γὰρ ἀνδραποδισθήσεσθαι, καὶ, ἕως ἂν πέμπωσιν ἑτέρους
πρέσβεις, πολλοὺς τῷ λιμῷ ἀπολεῖσθαι. Περὶ δὲ τῶν 15
τειχῶν τῆς καθαιρέσεως οὐδεὶς ἠβούλετο ξυμβουλεύειν· Ἀρ-
χέστρατος γοῦν, εἰπὼν ἐν τῇ βουλῇ, Λακεδαιμονίοις κράτιστον
εἶναι, ἐφ' οἷς προεκαλοῦντο, εἰρήνην ποιεῖσθαι, ἐδέθη· (προ-
εκαλοῦντο δὴ, τῶν μακρῶν τειχῶν ἐπὶ δέκα σταδίους καθε-
λεῖν ἑκάτερον) ἐγένετο δὴ ψήφισμα, μὴ ἐξεῖναι περὶ τούτων

§. 15. ἠβούλετο. Castal. ἐβούλετο.

Ἀρχέστρατος. Lysias ejus in hac re non meminit. Is est, cujus dictum de Alcibiade ex Theophrasto refert Plutarchus Alcib. 16. Lysandr. cap. 19. Eundem memorare videtur in Phocione c. 33.

ἑκάτερον. Margo L. ἑκατέρου. Harpocratio tres muros fuisse ait, Βόρειον, Νότιον et Phalericum; horum medium seu διὰ μέσου dici Νότιον. At falli eum ait Valesius; esse enim τὸ διὰ μέσου τεῖχος idem cum muris seu cruribus longis, quibus ipsum oppidum cum Piræeo erat conjunctum; eam tamen partem, quæ inter oppidum et portum intermedia erat, fuisse dictam τὸ διὰ μέσου τεῖχος. Recte hæc Valesius contra Meursium docet ex loco Dionis Chrysost. Orat. vi. p. 199. ed. Reiske. Καί τοι διακοσίων σταδίων εἶναι τὴν περίμετρον τῶν Ἀθηνῶν τοῦ Πειραιῶς συντιθεμένου καὶ τῶν διὰ μέσου τειχῶν πρὸς τὸν περίβολον τοῦ ἄστεος. οἰκεῖσθαι γὰρ πάλαι καὶ ταῦτα ξύμπαντα. Hæc inter Piræeum et oppidum brachia seu muri erant longitudine plus quam 90 stadiorum, ut de Themistocle Dio Orat. 25. p. 521. τὸν Πειραιᾶ τειχίσαι πλειόνων ἢ ἐννενήκοντα σταδίων. Lysias contra Agoratum p. 451. narrat, in prima populi concione, ubi legati de pace missi redierant, has fuisse conditiones propositas εἰ κατασκαφείη τῶν τειχῶν τῶν μακρῶν ἐπὶ δέκα στάδια ἑκατέρου. Intelligitur itaque βόρειον καὶ νότιον τεῖχος sub voce ἑκάτερον. Deinde pergit Lysias: τότε ὑμεῖς οὐκ ἠνέσχεσθε ἀκούσαντες περὶ τῶν τειχῶν τῆς κατασκαφῆς, Κλεοφῶντι ὑπὲρ ὑμῶν πάντων ἀναστὰς ἀντεῖπεν, ὡς οὐδενὶ τρόπῳ οἷόντε εἴη ποιεῖν ταῦτα. Μετὰ δὲ ταῦτα Θηραμένης ἐπιβουλεύων τῷ πλήθει ἀναστὰς λέγει ὅτι ἐὰν αὐτὸν εἵλησθε περὶ τῆς εἰρήνης πρεσβευτὴν αὐτοκράτορα, ποιήσει ὥστε μήτε τῶν τειχῶν διέχειν (leg. διελεῖν) μηδ' ἄλλο τὴν πόλιν ἐλαττῶσαι μηδέν. οἴοιτο δὲ καὶ ἄλλο τι ἀγαθὸν παρὰ Λακεδαιμονίων τῇ πόλει εὑρήσεσθαι. πεισθέντες δὲ ὑμεῖς εἵλεσθε ἐκεῖνον πρεσβευτὴν αὐτοκράτορα, ὃν τῷ προτέρῳ ἔτει στρατηγὸν χειροτονηθέντα ἀπεδοκιμάσατε—ἐκεῖνος μὲν οὖν ἐλθὼν εἰς Λακεδαίμονα ἔμενεν ἐκεῖ πολὺν χρόνον—οἱ δ' ἐνθάδε ὑπομένοντες καὶ ἐπιβουλεύοντες καταλῦσαι τὴν δημοκρατίαν εἰς ἀγῶνα Κλεοφῶντα καθιστᾶσι, πρόφασιν μὲν ὅτι οὐκ ἦλθεν εἰς τὰ ὅπλα ἀναπαυσόμενος, τὸ δ' ἀληθὲς, ὅτι ἀντεῖπεν ὑπὲρ ὑμῶν μὴ καθαιρεῖν τὰ τείχη. ἐκεῖνον μὲν οὖν— ἀπέκτειναν ἐν τῇ προφάσει ταύτῃ. Θηραμένης δὲ ὕστερον ἀφικνεῖται—προσιόντες δ' αὐτῷ τῶν στρατηγῶν τινες καὶ τῶν ταξιάρχων (ὧν ἦν Στρομβιχίδης καὶ Διονυσόδωρος) ἠγανάκτουν σφόδρα. ἦλθε γὰρ φέρων εἰρήνην τοιαύτην—ἣν γὰρ ἀντὶ μὲν τοῦ ἐπὶ δέκα στάδια τῶν μακρῶν τειχῶν διελεῖν ὅλα τὰ μακρὰ τείχη διασκάψαι —τάς τε ναῦς παραδοῦναι τοῖς Λακεδαιμονίοις καὶ τὸ περὶ τὸν Πειραιᾶ τεῖχος περιελεῖν. Antequam vero concio haberetur de his conditionibus pacis, Theramenes civibus antea nominatis dicitur immisisse accusatores, ne in concione populum a pace proponenda absterrerent. Idem Lysias contra Nicomachum p. 847. Satyrum, ait, Cephisiensem persuasisse senatui, ut Cleophon vinctus judicio traderetur; et p. 849. eadem narrat, quæ antea retuli. De legatione Theramenis idem p. 427. αὐτὸς ἐπαγγειλόμενος σώσειν τὴν πόλιν—φάσκων πρᾶγμα εὑρηκέναι μέγα καὶ πολλοῦ ἄξιον. ὑπέσχετο δὲ

16 ξυμβȣλεύειν. Τοιȣ́των δὲ ὄντων, Θηραμένης ἐν ἐκκλησίᾳ εἶπεν, ὅτι, εἰ βούλονται αὐτὸν πέμψαι παρὰ Λύσανδρον, εἰδὼς ἥξει Λακεδαιμονίȣς, πότερον ἐξανδραποδίσασθαι τὴν πόλιν βȣλόμενοι ἀντέχȣσι περὶ τῶν τειχῶν, ἢ πίστεως ἕνεκα. πεμφθεὶς δὲ διέτριβε παρὰ Λυσάνδρῳ τρεῖς μῆνας καὶ πλείω, ἐπιτηρῶν, ὁπότε Ἀθηναῖοι ἔμελλον, διὰ τὸ ἐπιλελοιπέναι τὸν σῖτον ἅπαντα, ὅ τι τὶς λέγοι, ὁμολογήσειν. 17 Ἐπεὶ δὲ ἧκε τῷ τετάρτῳ μηνὶ, ἀπήγγειλεν ἐν ἐκκλησίᾳ, ὅτι αὐτὸν Λύσανδρος τέως μὲν κατέχει, εἶτα κελεύει ἐς Λακεδαίμονα ἰέναι· οὐ γὰρ εἶναι κύριος, ὧν ἐρωτῷτο ὑπ᾽ αὐτȣ̃, ἀλλὰ τȣ̀ς Ἐφόρους. Μετὰ ταῦτα ᾑρέθη πρεσβευτὴς ἐς Λακεδαίμονα αὐτοκράτωρ, δέκατος αὐτός. 18 Λύσανδρος δὲ τοῖς Ἐφόροις ἔπεμψεν ἀγγελȣ̃ντα μετ᾽ ἄλλων Λακεδαιμονίων Ἀριστοτέλην, φυγάδα Ἀθηναῖον ὄντα, ὅτι ἀποκρίναιτο Θηραμένει, κείνȣς κυρίȣς εἶναι εἰρήνης καὶ 19 πολέμȣ. Θηραμένης δὲ, καὶ οἱ ἄλλοι πρέσβεις, ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ, ἐρωτώμενοι, ἐπὶ τίνι λόγῳ ἥκοιεν, εἶπον, ὅτι αὐτοκράτορες περὶ εἰρήνης. μετὰ ταῦτα οἱ Ἔφοροι καλεῖν ἐκέλευον. ἐπεὶ δ᾽ ἧκον, ἐκκλησίαν ἐποίησαν, ἐν ᾗ ἀντέλεγον Κορίνθιοι καὶ Θηβαῖοι μάλιστα, πολλοὶ δὲ καὶ ἄλλοι τῶν Ἑλλήνων, μὴ σπένδεσθαι Ἀθηναίοις, ἀλλ᾽ ἐξαιρεῖν.

εἰρήνην ποιήσειν μήτε ὅμηρα δοὺς μήτε τὰ τείχη καθελὼν, μήτε τὰς ναῦς παραδȣ̀ς, ταῦτα δὲ εἰπεῖν μὲν ȣ̓δενὶ ἠθέλησε, ἐκέλευσεν αὐτῷ πιστεύειν· ὑμεῖς δὲ—πραττούσης μὲν τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς σωτηρίαν, ἀντιλεγόντων δὲ πολλῶν Θηραμένει—ὅμως ἐπετρέψατε αὐτῷ πατρίδα. Quæ de obſidibus ibi dicuntur, forte latent in verbis decreti Lacedæmoniorum apud Plutarchum ἃ χρὴ δοῖτε. de quo infra.

§. 16. εἰδὼς ἥξει. Non animadverſa attica verborum ſtructura Leonclav. emendabat: παρὰ Λύσανδρον καὶ Λακεδαιμονίους, εἰδὼς ἥξει. Sed eam conjecturam jam olim rejecit Æmil. Portus, poſt eum Morus.

ἀντέχȣσι. Quod Leoncl. ſe reperiſſe, neſcio ubi, ait, reſcripſi pro vulgato ἀνέχȣσι. In Cyrop. i. 4. 2. ȣ̓δὲν ἐδύνατο ἀντιλέγειν μὴ οὐ χαρίζεσθαι. ubi Codex Guelferbyt. præbet ἀντέχειν. Cf. de verbo Valckenair ad Herodot. p. 554.

ἐπιτηρῶν. Hæc animum Theramenis eum nobis prodere videntur, qualem pinxit Lyſias in orationibus bene multis. Cæterum ex Plutarcho cap. 14. meminiſſe oportet Lyſandrum interea abiiſſe in Aſiam, unde conſtitutis civitatibus græcis rediit ad obſidionem.

§. 19. καλεῖν ἐκέλευον. Margo L. addit αὐτȣ̀ς.

ἐξαιρεῖν. Idem refertur infra vi. 5. Auctor fuit ſententiæ acerbæ Erian-

Λακεδαιμόνιοι δὲ οὐκ ἔφασαν πόλιν Ἑλληνίδα ἀνδραποδιεῖν, μέγα ἀγαθὸν εἰργασμένην ἐν τοῖς μεγίστοις κινδύνοις, γενομένοις τῇ Ἑλλάδι· ἀλλ' ἐποιοῦντο εἰρήνην, ἐφ' ᾧ τά τε μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντας, καὶ τὰς ναῦς πλὴν δώδεκα παραδόντας, καὶ τοὺς φυγάδας 20

thus Thebanus, docente Plutarch. Lyſandri c. 15. εἷς ἀνὴρ fuit, auctore ipſo Xenophonte infra iii. 5. Palmerius p. 63. Exercit. et Weſſeling. ad Diodor. xv. 63. ex Ulpiano in Demoſthenem afferunt locum, ubi Euanthus nominatur. Male, ut videtur. Apud Plutarchum de Genio Socratis p. 319. eſt Hypatodorus ὁ Ἐριάνθους. In Pauſania x. p. 819. hic ipſe Lyſandri comes appellatur Ἐρειάνθης ὁ Βοιώτιος.

§. 20. Λακεδαιμόνιοι. Polyænus i. 45. 1. Lyſandrum, ait, inprimis obſtitiſſe, quominus Athenæ delerentur. Sed is multa alia etiam turbavit. Lacedæmoniorum tum aliquis dixiſſe fertur, ſe non paſſuros eſſe τὴν ἑλλάδα ἑτερόφθαλμον fieri, narrante Ariſtide Or. Leuctric. p. 120. De Leptine refert Ariſtoteles Rhetoric. iii. 10. eum Lacedæmoniis ſuccurrendum cenſuiſſe, nec περιιδεῖν τὴν Ἑλλάδα ἑτερόφθαλμον γενομένην. Ex Ariſtotele repetiit Plutarchus Præcept. Reipubl. gerend. p. 203. Cimon in ſimili caſu Lacedæmoniis dixit μήτε τὴν Ἑλλάδα χωλὴν μήτε τὴν πόλιν (Athenas) ἑτερόζυγα περιιδεῖν γεγενημένην, referente Plutarcho Cim. c. 16. Multo elegantior illa ab oculis quam hæc a libella tranſlata metaphora.

γενομένοις. A. I. Br. Caſtal. γενομένην. Ita redundat εἰργασμένην quod mihi alias etiam ob cauſas diſplicet. Majus eſt, ſi dicitur, Athenas fuiſſe Græciæ μέγα ἀγαθὸν in periculis maximis. Contra languet oratio, ſi dicuntur Athenæ μέγα ἀγαθὸν εἰργασμέναι; caſus enim deficit, quem abeſſe non poſſe puto. Igitur εἰργασμένην delendum et veterem lectionem reſtituendam cenſeo.

τὸν Πειραιᾶ καθελόντας. Diodorus: τὰ μακρὰ σκέλη καὶ τὰ τείχη τοῦ Πειραιῶς περιελεῖν. In decreto Lacedæmoniorum erat: καββαλόντες τὸν Πειραιᾶ καὶ τὰ μακρὰ σκέλη. Vide ſupra ad §. 15.

πλὴν δώδεκα. Diodorus xiii. 107. ubi eaſdem pacis conditiones narrat, ſolus decem et quidem longas naves ponit. Ceterum omiſit Xenophon, quæ Diodorus et Andocides de pace p. 95. habent. In conditionibus enim fuit etiam: τῶν πόλεων πασῶν ἐκχωρῆσαι. Andocides nominatim ponit Imbrum, Scyrum, Lemnum. Diodorus exſulum in fœdere non meminit. Cæterum in decreto Lacedæmoniorum de numero navium nihil erat definitum, ſed is arbitrio Lyſandri aut Agidis permiſſus fuit. Ita enim eſt apud Plutarch. Lyſand. cap. 14. περὶ τᾶν ναῶν τῷ πλήθεος ὁκοῖόν τι κατήνω δοκέοι, ταῦτα ποιέετε. Ita enim ibi legendum puto pro vulgato κατῆνι aut κατῆνον. Alii emendabant καὶ τηνεῖ. At ita debebat eſſe τῷ aut τοῖς τηνεῖ. Præterea ibi eſt, quod non intelligo: ταῦτα καὶ δρῶντες τὰν εἰράναν ἔχοιτε, αἴ χρὴ δοῖτε, καὶ τοὺς φυγάδας ἀνέντες. Ubi verba αἴ χρὴ δοῖτε neſcio quam conditionem pecuniariam ſignificantia, cum ſequentibus certe ordine perverſo ſunt collocata, ut Reiſke etiam admonuit. Forte intelliguntur τὰ ὅμηρα, de quibus ſupra §. 15. ex Lyſia monui. Cæterum vides pacis conditiones fuiſſe in pejus mutatas. De muris enim longis mitius antea ſenſerant hoſtes. Vide ſupra ad §. 15. Ariſtides Leuctrica ii. p. 132. τελευτῶντες δ' ἐπὶ τοσοῦτον κατέσχον τοὺς πρέσβεις, ἕως πλήρη νεκρῶν ἐποίησαν τὴν πόλιν. καὶ ταύτην ἐπιθήκην κακῶν προσεξετίσαμεν αὐτοῖς. τηνικαῦτα δ' ἐσπένδοντο ἐπὶ τῷ προσθεῖναί τι κακὸν, ἐπὶ τῷ παραδοῦναι μὲν ἡμᾶς αὐτοὺς τὰς ἐπιλοίπους ναῦς, κατασκάψαι δὲ αὐτοχειρίᾳ τὰ τείχη. In Rhodiaca p. 372. eſt: ταῖς ἑαυτῶν χερσὶ κατασκαψάντων. Idem ibidem p. 132. mala civitatis auget fuga et ſeditione ſervorum, neſcio quo auctore. Ita vero ille: καταλαβόντες τὸν εἴσπλουν εἶργον τὰ πλοῖα τοῦ Πειραιῶς. καὶ δὴ λιμὸς ἦν—ἀλλ' ἐχομένων μὲν τῶν νήσων, ἐχομένων δὲ τῶν ἄλλων ἁπάντων κτημάτων, μεθεστηκότων δὲ οἰ-

κατάξαντας, τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας, Λακεδαιμονίοις ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, 21 ὅποι ἂν ἡγῶνται. Θηραμένης δὲ καὶ οἱ σὺν αὐτῷ πρέσβεις ἐπανεφέροντο ταῦτα ἐς τὰς Ἀθήνας. εἰσιόντας δ᾽ αὐτοὺς ὄχλος περιεχεῖτο πολὺς, φοβούμενοι, μὴ ἄπρακτοι ἥκοιεν· οὐ γὰρ ἔτι ἐνεχώρει μένειν, διὰ τὸ πλῆθος τῶν 22 ἀπολλυμένων τῷ λιμῷ. τῇ δὲ ὑστεραίᾳ ἀπήγγελλον οἱ

κειῶν, πορθουμένης δὲ τῆς χώρας ὑπὸ τῶν ἐν Δεκελείᾳ, τοῦ δ᾽ ἐδάφους ὄντος λοιποῦ τῇ πόλει.

§. 21. μένειν. Vitium in hoc verbo ſuſpicatus eſt Fr. Portus. In Steph. et Leonclaviana legitur μέλλειν.

§. 22. τῇ δ᾽ ὑστεραίᾳ. Lyſias p. 428. de Theramene: ὁ δὲ ὧν μὲν ὑπέσχετο οὐδὲν ἔπραξεν—καὶ τὸ τελευταῖον οὐ πρότερον εἴασε τὴν ἐκκλησίαν γενέσθαι ἕως ὁ λεγόμενος ὑπ᾽ ἐκείνου καιρὸς ἐπιμελῶς ὑπ᾽ αὐτοῦ ἐτηρήθη. καὶ μετεπέμψατο μὲν τὰς μετὰ Λυσάνδρου ναῦς ἐκ Σάμου, ἐπεδήμησε δὲ τὸ τῶν πολεμίων στρατόπεδον. τότε δὲ τούτων ὑπαρχόντων καὶ παρόντων Λυσάνδρου καὶ Φιλοχάρους καὶ Μιλτιάδου περὶ τῆς πολιτείας τὴν ἐκκλησίαν ἐποίουν, ἵνα μήτε ῥήτωρ αὐτοῖς μηδεὶς ἐναντιοῖτο μήτε ἀπειλοῖτο, ὑμεῖς τε μὴ τὰ τῇ πόλει συμφέροντα ἕλοισθε. (Ubi legendum ἀπειλοῖτε ὑμεῖς, μήτε τὰ τῇ etc.) ἀναστὰς δὲ Θηραμένης ἐκέλευσεν ὑμᾶς τριάκοντα ἀνδράσιν ἐπιτρέψαι τὴν πόλιν καὶ τῇ πολιτείᾳ χρῆσθαι, ἣν Δρακοντίδης ἀπέφηνεν· ὑμεῖς δ᾽ ὅμως καὶ οὕτω διακείμενοι ἐθορυβεῖτε, ὡς οὐ ποιήσοντες ταῦτα. Deinde Theramenes impudenter dixit, nihil ſe curare tumultum concionis; noſſe enim ſe multos cives eadem ſentientes, atque ita placere Lacedæmoniis. Poſt eum ſurrexit Lyſander, et cum multa alia audacter locutus eſſet, tum Athenienſibus non eſſe jam de forma reipublicæ deliberandum affirmavit, ſed de ipſa ſalute et libertate agi, niſi juſſa a Theramene fecerint. Feciſſe enim eos contra fœdus. Itaque aliqui abierunt, alii tacuerunt, pauci ſuffragia tulerunt, et aſſenſi ſunt Therameni. Παρηγγέλλετο γὰρ αὐτοῖς δέκα μὲν οὓς Θηραμένης ἀπέδειξε χειροτονῆσαι, δέκα δὲ οὓς οἱ καθεστηκότες ἔφοροι κελεύοιεν, δέκα δὲ ἐκ τῶν παρόντων. Orator quæcunque dixerat, credere jubet auditores ipſi Therameni, tum quidem occiſo jam: πάντα γὰρ τὰ ὑπ᾽ ἐμοῦ εἰρημένα ἐν τῇ βουλῇ ἀπολογούμενος ἔλεγεν, ὀνειδίζων μὲν τοῖς φεύγουσιν, ὅτι δι᾽ αὐτὸν κατέλθοιεν, οὐδὲν δὲ φροντίζοιεν τῶν Λακεδαιμονίων, ὀνειδίζων δὲ τοῖς τῆς πολιτείας μετέχουσιν, ὅτι πάντων τῶν πεπραγμένων—αὐτὸς αἴτιος γεγενημένος, τοιούτων τυγχάνοι, πολλὰς πίστεις αὐτῷ ἔργῳ δεδωκὼς καὶ παρ᾽ ἐκείνων ὅρκους εἰληφώς. Ex quo loco apparet, apologiam Theramenis tum ſcriptam circumlatam fuiſſe et vulgatam. De eadem Lyſias p. 425. πυνθάνομαι γὰρ ταῦτα ἀπολογήσασθαι αὐτόν. et p. 426. νῦν δ᾽ ὁρῶ τάσδε ἀπολογίας εἰς ἐκεῖνον ἀναφερομένας. Cum Lyſia facit Plutarchus Lyſandro c. 15. præſentem tamen Lyſandrum non facit: δυσπειθῶς δὲ καὶ τραχέως φερόντων ἀποστείλας πρὸς τὸν δῆμον ἔφη τὴν πόλιν εἰληφέναι παρασπονδοῦσαν. ἑστάναι γὰρ τὰ τείχη τῶν ἡμερῶν ἐν αἷς ἔδει καθῃρῆσθαι παρῳχημένων. ἑτέραν οὖν ἐξ ἀρχῆς προθήσειν γνώμην περὶ αὐτῶν ὡς τὰς ὁμολογίας λελυκότων. ἔνιοι δὲ καὶ προτεθῆναί φασιν ὡς ἀληθῶς ὑπὲρ ἀνδραποδισμοῦ γνώμην ἐν τοῖς συμμάχοις. ὅτε καὶ τὸν Θηβαῖον Ἐριάνθη εἰσηγήσασθαι τὸ μὲν ἄστυ κατασκάψαι, τὴν δὲ χώραν ἀνεῖναι μηλόβοτον. Ex quo apparet, fuiſſe dies ſtatutas aliquot, intra quas muros dirui oportebat. In poſtremis ordinem rerum pervertit Plutarchus; quæ enim de Thebanorum crudeli conſilio refert, ad priora tempora pertinent. Cæterum Philochares et Miltiades fuiſſe videntur inter novem legatos, qui cum Theramene fuerant Lacedæmonem miſſi, auctore Xenophonte. Cæterum non ſolum de eo contentiones erant in concione Athenienſium, an muri diruendi eſſent, ſed multo magis de forma reipublicæ diſceptabatur, quam Theramenes cum aliis ad

πρέσβεις, ἐφ' οἷς οἱ Λακεδαιμόνιοι ποιοῖντο τὴν εἰρήνην· προηγόρει δὲ αὐτῶν Θηραμένης, λέγων, ὡς χρὴ πείθεσθαι Λακεδαιμονίοις, καὶ τὰ τείχη περιαιρεῖν. ἀντειπόντων δέ τινων αὐτῷ, πολλῷ δὲ πλειόνων ξυνεπαινεσάντων, ἔδοξε δέχεσθαι τὴν εἰρήνην. Μετὰ δὲ ταῦτα Λύσανδρός τε 23 κατέπλει ἐς τὸν Πειραιᾶ, καὶ οἱ Φυγάδες κατῄεσαν, καὶ τὰ τείχη κατέσκαπτον ὑπ' αὐλητρίδων πολλῇ προθυμίᾳ, νομίζοντες, ἐκείνην τὴν ἡμέραν τῇ Ἑλλάδι ἄρχειν τῆς ἐλευθερίας.

Καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ μεσοῦντι Διονύσιος ὁ Ἑρμο- 24

paucorum poteſtatem redigere conabatur, adverſantibus aliis, qui democratiam optabant. Quare Theramenes, cum Lacedæmonios oligarchiis ubique favere, et a Lyſandro in Græcia atque Aſia poſt victoriam poſtremam res publicas græcarum urbium omnes in paucorum poteſtatem redactas fuiſſe noſſet, auxilium petiit a Lyſandro, qui prætextu fœderis læſi uſus populum in concione eo adegit, ut triginta viris rem publicam traderet. Turbæ de forma reipublicæ ortæ videntur ex eo, quod Lacedæmonii Athenienſes uti juſſerant porro τῇ πατρίῳ πολιτείᾳ. Ita diſerte Diodorus xiv. 3. etſi de forma reipublicæ ne verbum quidem ineſt decreto, a Plutarcho commemorato, Lyſandr. cap. 14. Patriam rempublicam interpretabantur alii eam, quali ante Solonem uſi fuerant Athenienſes, oligarchiam ſcilicet; plures contra democratiam, a Solone conſtitutam, exoptabant. Vicit tandem cum Lyſandro ſententia Theramenis, et electi ſunt, qui πατρίους νόμους conſcriberent; de quibus deinde dicam ad §. 2. cap. 3. Contentiones de forma reipublicæ per dies aliquot protractas fuiſſe, ait Diodorus l. c. tandem eos, qui oligarchiam optabant, Lyſandrum in ſuas traxiſſe partes, eumque cum navibus centum in Piræeum adduxiſſe, hunc, convocata populi concione, juſſiſſe triginta viris rempublicam tradere; contradixiſſe ei Theramenem, fœderis tabulas opponentem, ex quibus πάτριος πολιτεία permiſſa fuiſſet Athenienſibus; contra Lyſandrum affirmaſſe, hujus fœderis nullam porro eſſe auctoritatem; præteriiſſe enim dies ſtatutas, antequam urbis muri diruti fuiſſent; denique graviter Therameni minatum Lyſandrum tandem eo adegiſſe eum cum populo, ut juſſa facerent et triginta viros legerent. Quæ quidem narratio adverſa fronte pugnat cum Lyſia: niſi ſtatuas, inſidias antea cum Lyſandro compoſitas fuiſſe a Theramene, quod quidem ex Lyſiæ narratione ſuſpicari oportet.

ἀντειπόντων. Vides Xenophontem favere Lyſiæ narrationi. Favet etiam Plutarchus in Lyſandro cap. 14. qui Cleomenis demagogi cum Theramene concertationem ea de re refert.

§. 23. ὑπ' αὐλητρίδων. Plutarch. Lyſandro c. 15. πολλὰς μὲν ἐξ ἄστεος μετεπέμψατο αὐλητρίδας, πάσας δὲ τὰς ἐν τῷ στρατοπέδῳ συναγαγὼν τὰ τείχη κατέσκαπτε καὶ τὰς τριήρεις κατέφλεγε πρὸς τὸν αὐλὸν ἐστεφανωμένων καὶ παιζόντων ἅμα τῶν συμμάχων, ὡς ἐκείνην τὴν ἡμέραν ἄρχουσαν τῆς ἐλευθερίας. Cæterum naves traditas recepit combuſſitque Lyſander et mœnia diruit die 16 menſis Munychionis, auctore Plutarcho l. c.—ὑπ' αὐλητρίδων dicitur ut alias ὑπ' αὐλῶν. Exempla alia attulit Valckenair ad Herodot. p. 521. Latini dicunt ad tibicinem, ad præconem et ſimilia. Huc pertinet, quod narrat Iſocrates Areopag. p. 298. τοὺς νεωσοίκους ἐπὶ καθαιρέσει τριῶν ταλάντων ἀποδιδομένους.

κράτης Συρακούσιος ἐτυράννησε, μάχῃ μὲν πρότερον ἡττηθέντων ὑπὸ Συρακουσίων Καρχηδονίων, σπάνει δὲ σίτου ἑλόντων Ἀκράγαντα, ἐκλιπόντων τῶν Σικελιωτῶν τὴν πόλιν.

## ΚΕΦ. Γ.

Ol. 94 ¼. ΤΩ δ᾽ ἐπιόντι ἔτει, ἐν ᾧ ἦν Ὀλυμπιάς, ᾗ τὸ στάδιον ἐνίκα Κροκίνας Θετταλός, Εὐδίου ἐν Σπάρτῃ ἐφορεύοντος, Πυθοδώρου δ᾽ ἐν Ἀθήναις ἄρχοντος, ὃν Ἀθηναῖοι, ὅτι ἐν ὀλιγαρχίᾳ ᾑρέθη, οὐκ ὀνομάζουσιν· ἀλλ᾽ Ἀναρχίαν τὸν ἐνιαυτὸν καλοῦσιν. ἐγένετο δὲ αὕτη ἡ ὀλιγαρχία ὧδε. 2 Ἔδοξε τῷ δήμῳ, τριάκοντα ἄνδρας ἑλέσθαι, οἳ τοὺς πατρίους νόμους ξυγγράψουσι, καθ᾽ οὓς πολιτεύσουσι. Καὶ ᾑρέθησαν οὗτοι, Πολυάρχης, Κριτίας, Μηλόβιος, Ἱππόλο-

§. 24. Ἀκράγαντα. Vide Casaubon. ad Polybium p. 128.

§. 1. Κροκίνας. Diodoro xiv. 3. Κορκίνας Λαρισσαῖος.

Εὐδίου. In margine L. et St. legitur Εὐδίκου, ut et infra §. 10.

Πυθοδώρου—Ἀθήναις. Castal. Ἀθήνησιν cum Ald. Junt. Quemadmodum vero Athenienses, hunc Archontem non numerantes, annum ipsum ἀναρχίαν appellabant, ita plane Elei Olympiadas aliis ludorum præsidibus actas non numerabant, sed ἀνολυμπιάδας appellabant, ut infra ex Pausania videbimus.

§. 2. ἔδοξε τῷ δήμῳ. Forma quidem decreti erat solennis, sed populus a Lysandro fuit vi adactus, ut antea demonstratum fuit.

πατρίους νόμους. Ejectis demum triginta tyrannis, decreto Tisameni accurate definitum fuisse, quid esset κατὰ τὰ πάτρια πολιτεύεσθαι ex Andocide de Mysteriis p. 39. annotat Morus. Sed is locus est de eo tempore, quo viginti viri post decemviros sunt constituti. Sed jam ab ipso initio tyrannidis Nicomachus τῶν νόμων ἀναγραφεὺς ἐγένετο, cujus nefaria facta commemorat Lysias in Oratione contra eum dicta p. 837. Idem p. 864. ὑμεῖς δὲ Τισαμενὸν τὸν Μηχανίωνος καὶ Νικόμαχον καὶ ἑτέρους ἀνθρώπους, ὑπογραμματέας—καὶ τὸ τελευταῖον Νικόμαχον εἵλεσθε ἀναγράφειν τὰ πάτρια. Sæpius et diversis temporibus idem homo, qui, teste Lysia, negotium usque procrastinaverat, electus fuisse videtur. Cæterum Diodorus etiam ait, legum curam triginta viros variis de causis, quas prætexebant, procrastinasse, senatum et reliquos magistratus ex amicis supplesse et constituisse. xiv. 4. Nescio an ad hanc legum emendandarum curam usque procrastinatam pertineat locus ex Demosthenis oratione Leptinea sect. 74. τοσοῦτοι μὲν οἱ ἐναντίοι σφίσιν αὐτοῖς εἰσὶ νόμοι, ὥστε ἐχειροτονεῖτε ὑμεῖς τοὺς διαλέξοντας τοὺς ἐναντίους ἐπὶ πάμπολυν ἤδη χρόνον, καὶ τὸ πρᾶγμα οὐδὲν μᾶλλον δύναται πέρας σχεῖν. Dicta fuit illa oratio Olymp. 106. 2. Conjecturæ meæ favet, quod, permultum temporis jam curæ legum emendandarum impensum fuisse, ait orator. Interpretes nihil attulerunt, quod ad illustrandum locum faceret; nisi quod de Tisameni psephismate quædam annotavit nuper Cel. Wolf. Prolegom. p. 62.

χος, Εὐκλείδης, Ἱέρων, Μνησίλοχος, Χρέμων, Θηραμένης, Ἀρεσίας, Διοκλῆς, Φαιδρίας, Χαιρέλεως, Ἀνάιτιος, Πείσων, Σοφοκλῆς, Ἐρατοσθένης, Χαρικλῆς, Ὀνομακλῆς, Θέογνις, Αἰσχίνης, Θεογένης, Κλεομήδης, Ἐρασίστρατος, Φείδων, Δρακοντίδης, Εὐμάθης, Ἀριστοτέλης, Ἱππόμαχος, Μνησιθείδης. Τούτων δὴ πραχθέντων, ἀπέπλει Λύσανδρος πρὸς Σάμον· Ἆγις δ᾽ ἐκ τῆς Δεκελείας ἀπαγαγὼν τὸ πεζὸν στράτευμα, διέλυσε κατὰ πόλεις ἑκάστους. 3

Κατὰ δὲ τοῦτον τὸν καιρὸν περὶ ἡλίου ἔκλειψιν Λυκόφρων 4

Θηραμένης. Hunc populi ſuffragiis in numerum triginta virorum adſcitum fuiſſe, ut ceterorum crudelitatem temperaret, ait Diodorus xiv. 4. Chremonem cum Satyro nominat Lyſias contra Callimachum p. 849. De Satyro infra videbimus.

Σοφοκλῆς. De eo vide Ruhnken. Hiſtor. Orat. p. 128. edit. Reiſke.

Ἐρατοσθένης. Contra quem exſtat Lyſiæ oratio, unde res geſtæ hoc tempore optime cognoſci poſſunt, ut etiam ex reliquis Lyſiæ orationibus. Hic igitur p. 386. nominat Piſonem et Theognin; p. 392. Melobium et Mneſithidem; p. 420. Phidonem et Chariclem; p. 430. Dracontidem. Pro Phædria Palmerius Exerc. p. 64. monuit, eſſe in Demoſthenis Orat. de falſa legatione p. 402. Phædimum; Chariclem nominat etiam Iſocrates de Bigis p. 694. ejuſque affinem Tiſiam ſenatorem fuiſſe ſub tyrannis ait.

§. 4. ἡλίου ἔκλειψιν. Quam Septembris 3. tribuunt tabulæ aſtronomicæ, monente Dodwello.

Λυκόφρων. Hæc qui præter noſtrum memoraverit, equidem ignoro. Licebit tamen aliquid de rebus, tunc in Theſſalia geſtis, aliunde arguere. Pertinent ſcilicet hæc ad Olymp. 94. annum 1. Cyrus anno 3. Olympiadis 93. rediit ad patrem moribundum. Unde cum rediiſſet, petiit ab eo Ariſtippus Theſſalus, πιεζόμενος ὑπὸ τῶν οἴκοι ἀντιστασιωτῶν, ut ſibi duo millia militum cum ſtipendio trium menſium concederet, quibus ſuperare contrariam factionem conabatur. Cui Cyrus gratificatus præterea ſuaſit, ne prius cum hoſtibus pacem faceret, quam ipſe Cyri conſilium ea de re ſibi petiiſſet. Deinde vero cum Cyrus expeditionem contra fratrem meditaretur, Ariſtippus copias iſtas Cyro remiſit duce Menone Theſſaloitem, uti refert Xenophon in Anabaſi i. 1. 10. et ii. 6. 28. Ex Platonis Menone diſcimus, Ariſtippum Lariſſæum et regia Aleuadarum familia ortum fuiſſe, Menonem autem, Ariſtippi amaſium, Pharſalium. Quæ quidem loca ſi invicem et cum narratione hac Xenophontis de Lycophrone comparaveris, probabilis inde exiſtet conjectura, ad eaſdem a Lycophrone excitatas turbas Olymp. 94. anno 1. pertinere copias ab Ariſtippo Lariſſæo paulo antea contractas, quas ſcilicet Aleuadarum familia et ſtudioſi Lycophronis conatibus opponere volebant. Midii, Lariſſæorum principis, bellum cum Lycophrone Pheræo obiter memorat Diodorus xiv. 82. illique a Græcis Corinthiaco fœderi adſociatis auxilia ſubmiſſa refert, quibuſcum Pharſalum expugnavit, Lacedæmoniorum præſidium ejecit, atque incolas in ſervitutem redegit. Hæc ille ſub anno 2. Olympiadis 96. Atque huc pertinent etiam οἱ Μηδίου ξένοι ἐν Φαρσάλῳ occiſi, apud Ariſtotelem Animal. ix. 31. quem peſſime vertit Plinius, annotante Victorio V. Lect. 37. cap. 2. Alius eſſe videtur Μήδιος ὁ Θεσσαλὸς, ad quem invitatus Alexander periit, narrante Diodoro xvii. 117.

ὁ Φεραῖος, βουλόμενος ἄρξαι ὅλης τῆς Θετταλίας, τοὺς ἐναντιουμένους αὐτῷ τῶν Θετταλῶν, Λαρισσαίους τε καὶ ἄλλους, ἐνίκησε μάχῃ, καὶ πολλοὺς ἀπέκτεινεν.

5 Ἐν δὲ τῷ αὐτῷ χρόνῳ καὶ Διονύσιος, ὁ Συρακούσιος τύραννος, μάχῃ ἡττηθεὶς ὑπὸ Καρχηδονίων, Γέλαν καὶ Καμαρίναν ἀπώλεσε. μετ᾽ ὀλίγον δὲ καὶ Λεοντῖνοι, Συρακουσίοις ξυνοικοῦντες, ἀπέστησαν ἐς τὴν αὐτῶν πόλιν ἀπὸ Διονυσίου καὶ Συρακουσίων. παραχρῆμα δὲ καὶ οἱ Συρακούσιοι ἱππεῖς ὑπὸ Διονυσίου ἐς Κατάνην ἀπεστάλησαν.

6 Οἱ δὲ Σάμιοι, πολιορκούμενοι ὑπὸ Λυσάνδρου πάντῃ, ἐπεὶ, βουλευομένων αὐτῶν τοπρῶτον ὁμολογεῖν, προσβάλλειν ἤδη ἔμελλεν ὁ Λύσανδρος, ὡμολόγησαν, ἓν ἱμάτιον ἔχων ἕκαστος ἀπιέναι τῶν ἐλευθέρων, τὰ δ᾽ ἄλλα παραδοῦναι· καὶ οὕτως ἐξῆλθον. 7 Λύσανδρος δὲ, τοῖς ἀρχαίοις πολίταις παραδοὺς τὴν πόλιν καὶ τὰ ἐνόντα πάντα, καὶ δέκα ἄρχοντας καταστήσας φρουρούς, ἀφῆκε τὸ τῶν ξυμμάχων ναυτικὸν κατὰ πόλεις· 8 ταῖς δὲ Λακωνικαῖς ναυσὶν ἀπέπλευσεν ἐς Λακεδαίμονα, ἀπάγων τά τε τῶν αἰχμαλώτων νεῶν ἀκρωτήρια, καὶ τὰς ἐκ τοῦ Πειραιῶς τριήρεις, πλὴν δώδεκα, καὶ στεφάνους, οὓς παρὰ τῶν πόλεων ἐλάμβανε δῶρα ἰδίᾳ, καὶ ἀργυρίου τετρακόσια καὶ ἑβδομήκοντα τάλαντα. ἃ περιεγένοντο τῶν φόρων, οὓς αὐτῷ Κῦρος παρέδειξεν ἐς τὸν πόλεμον, καὶ εἴ τι ἄλλο προσεκτήσατο ἐν τῷ πολέμῳ. 9 Ταῦτα δὴ πάντα Λακεδαιμονίοις ἀπέδωκε, τελευτῶντος τοῦ θέρους, ἐς ὃ ὁ ἑξάμηνος καὶ ὀκτὼ καὶ εἴκοσιν

§. 5. Γέλαν. Ita cum margine L. et St. ſcripſi pro Γέλλαν.

§. 7. τοῖς ἀρχαίοις. Articulum omiſit Caſt. Sunt autem hi cives antiqui, qui ab Athenienſibus fuerant ejecti quadringenti, auctore Thucydide viii. 21.

φρουρούς. Fr. Portus emendabat καὶ φόρους, probante Stephano; Leoncl. legebat φρουρεῖν.

§. 8. ἀπέπλευσε. Ipſe in Thraciam abiit profectus, miſſo domum Gylippo cum ſpoliis. Vide Plutarch. c. 16.

τάλαντα. Cum his pecuniis Lacedæmoni primum importatam fuiſſe avaritiam et reliqua ex ea nata vitia, quæ diſciplinam Lycurgi et veteres mores perverterent, auctor eſt cum aliis Plutarchus Lyſand. c. 17.

§. 9. ἑξάμηνος. Scil. χρόνος. Ita in-

ἔτη τῷ πολέμῳ ἐτελεύτα, ἐν οἷς Ἔφοροι ἀριθμούμενοι οἵδε ἐγένοντο· Αἰνησίας πρῶτος, ἐφ᾽ οὗ ἤρξατο ὁ πόλεμος, πέμπτῳ καὶ δεκάτῳ ἔτει τῶν μετ᾽ Εὐβοίας ἅλωσιν τριακονταετίδων σπονδῶν. Μετὰ δὲ τοῦτον οἵδε· Βρασίδας 10 Ἰσάνωρ, Σωστρατίδας, Ἔξαρχος, Ἀγησίστρατος, Ἀγγενίδας, Ὀνομακλῆς, Ζεύξιππος, Πιτύας, Πλειστόλας, Κλεινόμαχος, Ἴλαρχος, Λέων, Χαιρίδας, Πατησιάδας, Κλεοσθένης, Λυκάριος, Ἐπήρατος, Ὀνομάντιος, Ἀλεξιππίδας, Μισγολαΐδας, Ἰσίας, Ἄρακος, Εὐάρχιππος, Παντακλῆς, Πιτύας, Ἀρχύτας, Εὔδικος· ἐφ᾽ οὗ Λύσανδρος, πράξας τὰ εἰρημένα, οἴκαδε κατέπλευσεν.

Οἱ δὲ τριάκοντα ᾑρέθησαν μὲν, ἐπεὶ τάχιστα τὰ μακρὰ 11 τείχη καὶ τὰ περὶ τὸν Πειραιᾶ καθῃρέθη· αἱρεθέντες δὲ, ἐφ᾽ ᾧ τε ξυγγράψαι νόμους, καθ᾽ οὕστινας πολιτεύσοιντο, τούτους μὲν ἀεὶ ἔμελλον ξυγγράφειν τε καὶ ἀποδεικνύναι, βουλὴν δὲ καὶ τὰς ἄλλας ἀρχὰς κατέστησαν, ὡς ἐδόκει αὐτοῖς. Ἔπειτα πρῶτον μὲν, οὓς πάντες ᾔδεσαν ἐν τῇ δη- 12 μοκρατίᾳ ἀπὸ συκοφαντίας ζῶντας, καὶ τοῖς καλοῖς καὶ

fra iii. 4. 3. ἑξαμήνου σῖτον. Utitur eadem forma etiam Ariſtoteles. Quia bellum per annos duodetriginta et ſex menſes tractum eſt, enumerat Xenophon Ephoros, eponymos ſcilicet, undetriginta.

τριακονταετίδων. Factæ ſunt hæ in triginta annos cum Lacedæmoniis, Eubœa ab Athenienſibus capta ; ſed quatuor et decem elapſis annis fœdus fractum fuit et bellum cœptum, auctore Thucydide i. 87. et 115.

§. 10. Χαιρίδας. Margo L. et St. Χαιρίλας. Laconica ſunt Χαρίλαος et Χαρίλλος. Sed in reliquis etiam nominibus vitioſa quædam eſſe ſuſpicor.

ἐφ᾽ οὗ. Caſt. ἐφ᾽ ᾧ.

§. 11. ὡς ἐδόκει. Lyſias contra Eratoſthenem p. 412. ὅθεν τῆς στάσεως ἦρξαν, πέντε ἄνδρες ἔφοροι κατέστησαν ὑπὸ τῶν καλουμένων ἑταίρων, συναγωγεῖς μὲν τῶν πολίτων, ἄρχοντες δὲ τῶν συνωμοτῶν, ὧν Ἐρατοσθένης καὶ Κριτίας ἦσαν. οὗτοι δὲ φυλάρχους ἐπὶ τὰς φυλακὰς (emendant φυλὰς) κατέστησαν, καὶ ὅτι δέοι χειροτονεῖσθαι καὶ οὕστινας χρὴ ἄρχειν παρήγγειλαν καὶ εἴτι ἄλλο πράττειν βούλοιντο κύριοι ἦσαν. Hos igitur quinque ephoros triginta viri ex ſuo cœtu delegerant ; eoſque alibi etiam nominat Lyſias, præterea nemo.

§. 12. συκοφαντίας. Conſentit Diodorus xiv. 4. et ipſe Lyſias contra Eratoſthenem cap. 2. Plutarchus de Carnium eſu p. 152. ed. Reiſke : οὕτω τοι καὶ οἱ τυραννοῦντες—ὥσπερ ἀπέκτειναν Ἀθήνησι τὸν κάκιστον τῶν συκοφαντῶν, ὃς Ἐπιτήδειος προσηγορεύθη, καὶ δεύτερον ὁμοίως καὶ τρίτον· ἐκ δὲ τούτου συνήθεις γενόμενοι Νικήρατον περιεώρων ἀπολλύμενον τὸν Νικίου καὶ Θηραμένη τὸν στρατηγὸν καὶ Πολέμαρχον τὸν φιλόσοφον. Idem de Solertia p. 3. ὥσπερ ἐν Ἀθήναις πρῶτος τις ὑπὸ τῶν τριάκοντα συκοφάντης ἀποθανὼν Ἐπιτήδειος ἐλέχθη. Nomen ſycophantæ vitioſum eſſe, vidit Xylander. Epigenem, Dio-

ἀγαθοῖς βαρεῖς ὄντας, συλλαμβάνοντες ὑπῆγον θανάτου· καὶ ἥ τε βουλὴ ἡδέως αὐτῶν κατεψηφίζετο, οἵ τε ἄλλοι, ὅσοι ξυνῄδεσαν ἑαυτοῖς μὴ ὄντες τοιοῦτοι, οὐδὲν ἤχθοντο.

13 Ἐπεὶ δὲ ἤρξαντο βουλεύεσθαι, ὅπως ἂν ἐξείη αὐτοῖς τῇ πόλει χρῆσθαι, ὅπως βούλοιντο, ἐκ τούτου πρῶτον μὲν, πέμψαντες ἐς Λακεδαίμονα Αἰσχίνην τε καὶ Ἀριστοτέλην, ἔπεισαν Λύσανδρον, φρουροὺς σφίσι ξυμπρᾶξαι ἐλθεῖν, ἕως δὴ, τοὺς πονηροὺς ἐκποδὼν ποιησάμενοι, καταστήσαιντο τὴν πολιτείαν· θρέψειν δὲ αὐτοὶ ὑπισχνοῦντο. ὁ δὲ πεισθεὶς, τούς τε φρουροὺς καὶ Καλλίβιον ἁρμοστὴν ξυνέπραξεν αὐτοῖς

14 πεμφθῆναι. Οἱ δ᾽, ἐπεὶ τὴν φρουρὰν ἔλαβον, τὸν μὲν Καλλίβιον ἐθεράπευον πάσῃ θεραπείᾳ, ὡς πάντα ἐπαινοίη, ἃ πράττοιεν· τῶν δὲ φρουρῶν τούτου ξυμπέμποντος αὐτοῖς, οὓς ἐβούλοντο, ξυνελάμβανον οὐκέτι τοὺς πονηρούς τε καὶ ὀλίγου ἀξίους, ἀλλ᾽ ἤδη οὓς ἐνόμιζον ἥκιστα μὲν παρωθουμένους ἀνέχεσθαι, ἀντιπράττειν δέ τι ἐπιχειροῦντας

15 πλείστους ἂν τοὺς ξυνελθόντας λαμβάνειν. Τῷ μὲν οὖν πρώτῳ χρόνῳ ὁ Κριτίας τῷ Θηραμένει ὁμογνώμων τε καὶ φίλος ἦν· ἔπειτα δὲ αὐτὸς μὲν προπετὴς ἦν ἐπὶ τὸ πολλοὺς ἀποκτεῖναι, ἅτε καὶ φυγὼν ἀπὸ τοῦ δήμου, ὁ δὲ Θη-

phanem, Clisthenem nominat Lysias p. 778.

καλοῖς κἀγαθοῖς. Sunt hi optimates, alibi γνώριμοι dicti.

ἄλλοι ὅσοι. In Al. Junt. deest ὅσοι. Castal. οἵ.

§. 14. ξυμπέμποντος. Ita Margo L. St. pro vulgato ξυμπεσόντος. Palmerius Exercit. p. 65. cum Brodæo malebat τούτων ξυμπεσόντων. De Callibio vide Plutarchi Lysandrum c. 15. Præsidium hoc Lacedæmonium, quot menses adfuerit, nullibi traditum legimus. Locus tamen est Isocratis in Panegyrico cap. 32. qui huc pertinere videtur. Lacedæmonios, ait, objicere Atheniensibus iniquitatem judiciorum, αὐτοὶ πλείους ἐν τρισὶ μησὶν ἀκρίτους ἀποκτείναντες, ὧν ἡ πόλις ἐπὶ τῆς ἀρχῆς ἁπάσης ἔκρινε. Quæ videntur ad præsidium hoc Laconicum pertinere; sed in Panathenaico p. 480. ed. Wolf. eadem repetuntur verba ita: ὅτι πλείους Λακεδαιμόνιοι τῶν ἑλλήνων ἀκρίτους ἀπεκτόνασιν, τῶν παρ᾽ ἡμῖν, ἐξ οὗ τὴν πόλιν οἰκοῦμεν, εἰς ἀγῶνα καὶ κρίσιν καταστάντων, ex quo videntur hæc non ad solos Athenienses et tempus tyrannorum triginta, sed ad reliquos etiam Græcos, ab imperantibus Lacedæmoniis occisos, pertinere.

§. 15. ἔπειτα δέ. Ita recte Cast. reliquæ Edd. ἐπεί. Deinde A. I. Br. Cast. ἐπὶ τῷ πολλούς.

[ἔπειτα δὲ αὐτός—. Lectio hæc Castal. simillima est correctioni, quales sunt in ista edit. plures. Recte animadvertit Morus. *F. A. Wolfius.*]

ἀπὸ τοῦ δήμου. Usitatius est, quod reponi volebat Kœppen ὑπὸ τοῦ δήμου.

ραμένης ἀντέκοπτε, λέγων, ὅτι οὐκ εἰκὸς εἴη θανατοῦν, εἴ τις ἐτιμᾶτο ὑπὸ τοῦ δήμου, τοὺς δὲ καλοὺς καὶ ἀγαθοὺς μηδὲν κακὸν εἰργάζετο· ἐπεὶ καὶ ἐγὼ, ἔφη, καὶ σὺ πολλὰ δὴ τοῦ ἀρέσκειν ἕνεκα τῇ πόλει καὶ εἴπομεν καὶ ἐπράξαμεν· ὁ δὲ (ἔτι γὰρ οἰκείως ἐχρῆτο τῷ Θηραμένει) ἀντέλεγεν, 16 ὅτι οὐκ ἐγχωροίη τοῖς πλεονεκτεῖν βουλομένοις, μὴ οὐκ ἐκποδὼν ποιεῖσθαι τοὺς ἱκανωτάτους διακωλύειν· εἰ δὲ, ὅτι τριάκοντά ἐσμεν, καὶ οὐχ εἷς, ἧττόν τι οἴει, ὥσπερ τυραννίδος, ταύτης τῆς ἀρχῆς χρῆναι ἐπιμελεῖσθαι, εὐήθης εἶ· ἐπεὶ δὲ, ἀποθνησκόντων πολλῶν, καὶ ἀδίκως, πολλοὶ δῆλοι 17 ἦσαν ξυνιστάμενοί τε καὶ θαυμάζοντες, τί ἔσοιτο ἡ πολιτεία, πάλιν ἔλεγεν ὁ Θηραμένης, ὅτι, εἰ μή τις κοινωνοὺς ἱκανοὺς λήψοιτο τῶν πραγμάτων, ἀδύνατον ἔσοιτο τὴν ὀλιγαρχίαν διαμένειν· ἐκ τούτου μέντοι Κριτίας καὶ οἱ ἄλλοι 18 οἱ ἐκ τῶν τριάκοντα, ἤδη φοβούμενοι, καὶ οὐχ ἥκιστα τὸν Θηραμένην, μὴ συῤῥυήσαν πρὸς αὐτὸν οἱ πολῖται, καταλέγουσι τρισχιλίους τοὺς μεθέξοντας δὴ τῶν πραγμάτων. Ὁ δ' 19 αὖ Θηραμένης καὶ πρὸς ταῦτα ἔλεγεν, ὅτι ἄτοπον δοκοίη ἑαυτῷ εἶναι, τὸ πρῶτον μὲν, βουλομένους τοὺς βελτίστους τῶν πολιτῶν κοινωνοὺς ποιήσασθαι, τρισχιλίους,— ὥσπερ τὸν ἀριθμὸν τοῦτον ἔχοντά τινα ἀνάγκην καλοὺς καὶ ἀγαθοὺς εἶναι, καὶ οὔτ' ἔξω τούτων σπουδαίους, οὔτ' ἐντὸς τούτων πονηροὺς οἷόν τε εἴη γενέσθαι. ἔπειτα δ', ἔφη, ὁρῶ ἔγωγε δύο ὑμᾶς τὰ ἐναντιώτατα πράττοντας, βιαίαν τε τὴν ἀρχὴν καὶ ἥττονα τῶν ἀρχομένων κατασκευαζομένους. Ὁ μὲν 20

§. 16. ὥσπερ τυραννίδος. Ald. Junt. τυραννίδα.

§. 18. [Καὶ οἱ ἄλλοι τριάκοντα, quod Leoncl. volebat, mihi vix videtur Græcum eſſe. Si quid mutandum, vel prorſus proſcribenda ſunt verba, οἱ ἐκ τῶν τρ., vel certe alter articulus. Græcitas poſtulat οἱ ἄλλοι ἐκ τῶν τρ. vel οἱ ἄλλοι τῶν τρ. Conf. infra 4. 8. *F. A. Wolfius.*]

οἱ ἐκ τῶν. Hæc verba delenda cenſet Leonclav.

συῤῥύησαν. Recte Fr. Portus emendabat συῤῥυῶσιν.

τρισχιλίους. Poſt hoc verbum deeſſe καταλέξασθαι, aut ſimile aliud, recte cenſet Leonclavius.

§. 19. ἀνάγκην. Ita recte Bryl. et Caſtal. pro ἀνάγκη.

ὁρῶ ἔγωγε. A. I. C. ὁρῶ δ' ἔγωγε. Deinde eædem Edd. τὰ omittunt ante ἐναντιώτατα.

ταῦτ' ἔλεγεν. οἱ δ' ἐξέτασιν ποιήσαντες τῶν μὲν τρισχιλίων ἐν τῇ ἀγορᾷ, τῶν δὲ ἔξω τοῦ καταλόγου ἄλλων ἀλλαχοῦ, ἔπειτα κελεύσαντες ἐπὶ τὰ ὅπλα, ἐν ᾧ ἐκεῖνοι ἀπεληλύθεισαν, πέμψαντες τοὺς φρουροὺς καὶ τῶν πολιτῶν τοὺς ὁμογνώμονας αὐτοῖς, τὰ ὅπλα πάντων, πλὴν τῶν τρισχιλίων, παρείλοντο· καὶ ἀνακομίσαντες ταῦτα ἐς τὴν
21 ἀκρόπολιν, ξυνέθηκαν ἐν τῷ ναῷ. Τούτων δὲ γενομένων, ὡς ἐξὸν ἤδη ποιεῖν αὐτοῖς, ὅ τι βούλοιντο, πολλοὺς μὲν ἔχθρας ἕνεκα ἀπέκτεινον, πολλοὺς δὲ χρημάτων. ἔδοξε δ' αὐτοῖς, ὅπως ἔχοιεν καὶ τοῖς φρουροῖς χρήματα διδόναι, καὶ τῶν μετοίκων ἕνα ἕκαστον λαβεῖν, καὶ αὐτοὺς μὲν ἀποκτεῖ-
22 ναι, τὰ δὲ χρήματα αὐτῶν ἀποσημήνασθαι. Ἐκέλευον δὴ καὶ τὸν Θηραμένην λαβεῖν, ὅντινα βούλοιτο. Ὁ δ' ἀπεκρίνατο· Ἀλλ' οὐ δοκεῖ μοι, ἔφη, καλὸν εἶναι, φάσκοντας βελτίστους εἶναι, ἀδικώτερα τῶν συκοφαντῶν ποιεῖν. ἐκεῖνοι μὲν γὰρ, παρ' ὧν χρήματα λαμβάνοιεν, ζῆν εἴων· ἡμεῖς δὲ ἀποκτενοῦμεν μηδὲν ἀδικοῦντας, ἵνα χρήματα λαμβά-
23 νωμεν; πῶς οὐ ταῦτα τῷ παντὶ ἐκείνων ἀδικώτερα; Οἱ δ', ἐμποδὼν νομίζοντες αὐτὸν εἶναι τῷ ποιεῖν, ὅ τι βούλοιντο, ἐπιβουλεύουσιν αὐτῷ, καὶ ἰδίᾳ πρὸς τοὺς βουλευτὰς ἄλλος πρὸς ἄλλον διέβαλλον, ὡς λυμαινόμενον τὴν πολιτείαν. καὶ παραγγείλαντες νεανίσκοις, οἳ ἐδόκουν αὐτοῖς

§. 20. ἔξω τοῦ καταλόγου. Hos Isocrates, ait, pertinuisse ad τὸν μετὰ Πεισάνδρου κατάλογον. Ita contra Lochiten p. 782. edit. Wolf. Νικίας γὰρ οὑτοσὶν, ἐπειδὴ οἱ τριάκοντα κατέστησαν, καὶ αὐτὸν οἱ ἐχθροὶ ἐκ μὲν τῶν μετεχόντων τῆς πολιτείας ἐξήλειφον, εἰς δὲ τὸν μετὰ Πεισάνδρου κατάλογον ἀνέγραφον—αὐτὸς δὲ εἰς ἀγρὸν ἐλθὼν διητᾶτο. Idem contra Callimachum p. 732. οὔτ' ἐκ τῶν μετεχόντων τῆς πολιτείας ἐξαλείψας εἰς δὲ τὸν μετὰ Πεισάνδρου κατάλογον ἐγγράψας. Videtur intelligi deterrimus ille demagogus Pisander, de quo multa Thucydides. Is postea gratia populari exciderat. Hunc eundem catalogum dicit Lysias p. 773. οὐδ' εἰς τὸν κατάλογον Ἀθηναίων καταλέξας οὐδένα φανήσομαι, quem locum pessime interpretatur Reiske.

§. 21. μετοίκων. Vide infra ad §. 40.

ἀποσημήνασθαι. Proscriptione publicare. Infra cap. 4. est: τοὺς φιλτάτους τῶν ἡμετέρων ἀπεσημαίνοντο.

§. 23. παραγγέλλοντες. Ald. Junt. παρήγγειλαν τοῖς νεανίσκοις. Nostram lectionem exhibent Bryl. Cast. St. Leonclav. Cæterum senatores tum plerique fuerant et ante triginta viros in senatu et favebant illis, teste Lysia p. 457. Idem p. 467. senatum

θρασύτατοι εἶναι, ξιφίδια ὑπὸ μάλης ἔχοντας παραγενέσθαι, ξυνέλεξαν τὴν βουλήν. ἐπεὶ δ' ὁ Θηραμένης παρῆν, ἀναστὰς ὁ Κριτίας ἔλεξεν ὧδε· 24

Ὦ ἄνδρες βουλευταὶ, εἰ μέν τις ὑμῶν νομίζει πλέονας τοῦ καιροῦ ἀποθνήσκειν, ἐννοησάτω, ὅτι, ὅπου πολιτεῖαι μεθίστανται πανταχοῦ ταῦτα γίγνεται· πλείστους δ' ἀνάγκη πολεμίους εἶναι,—τοῖς ἐς ὀλιγαρχίαν μεθιστᾶσι, διά τε τὸ πολυανθρωποτάτην τῶν Ἑλληνίδων τὴν πόλιν εἶναι, καὶ διὰ τὸ πλεῖστον χρόνον ἐν ἐλευθερίᾳ τὸν δῆμον τετράφθαι. Ἡμεῖς δὲ, γνόντες μὲν, τοῖς, οἵοις περ ἡμῖν καὶ ὑμῖν, χαλεπὴν πολιτείαν εἶναι δημοκρατίαν, γνόντες δὲ, ὅτι Λακεδαιμονίοις τοῖς περισώσασιν ἡμᾶς ὁ μὲν δῆμος οὔποτ' ἂν φίλος γένοιτο, οἱ δὲ βέλτιστοι ἀεὶ ἂν πιστοὶ διατελοῖεν, διὰ ταῦτα σὺν τῇ Λακεδαιμονίων γνώμῃ τήνδε τὴν πολιτείαν καθίσταμεν. Καὶ ἐάν τινα αἰσθανώμεθα ἐναντιᾶν τῇ ὀλιγαρχίᾳ, ὅσον δυνάμεθα, ἐκποδὼν ποιούμεθα· πολὺ δὲ μάλιστα ἡμῖν δοκεῖ δίκαιον εἶναι, εἴ τις ἡμῶν αὐτῶν λυμαίνεται ταύτῃ τῇ καταστάσει, δίκην αὐτὸν διδόναι. Νῦν οὖν αἰσθανόμεθα Θηραμένην τουτονὶ, οἷς δύναται, ἀπολλύντα ἡμᾶς τε καὶ ὑμᾶς. ὡς δὲ ταῦτα ἀληθῆ, ἢν κατανοῆτε, εὑρήσετε οὔτε ψέγοντα οὐδένα μᾶλλον Θηραμένους τουτουὶ τὰ παρόντα, οὔτε ἐναντιούμενον, ὅταν τινὰ ἐκποδὼν βουλώμεθα ποιήσασθαι τῶν δημαγωγῶν. Εἰ μὲν τοίνυν ἐξ ἀρχῆς ταῦτα ἐγίγνωσκε, πολέμιος μὲν ἦν, οὐ μέντοι 25 26 27

præſidibus 30. viris ita pingit: οἱ μὲν γὰρ τριάκοντα ἐκάθηντο ἐπὶ τῶν βάθρων οὗ νῦν οἱ πρυτάνεις καθίζονται, δύο δὲ τράπεζαι ἐν τῷ πρόσθεν τῶν τριάκοντα ἐκείσθην. τὴν δὲ ψῆφον οὐκ εἰς καδίσκους ἀλλὰ φανερὰν ἐπὶ τὰς τραπέζας ταύτας ἔδει τίθεσθαι. Talis erat tum forma ſenatus, ſeu τῶν δισχιλίων, hæc ſentiendi libertas.

§. 24. εἶναι. Morus inſerendum cenſet ἡμῖν.

§. 25. οἵοις περ. Ita ſcripſi pro vulgato οἵοις τε, ut ſupra i. 4. 6. Ceterum μὲν poſt γνόντες omittunt A. I. Br. Caſt. [τοῖς οἵοις τε ἡμῖν καὶ ὑμῖν. Unum καὶ vix ſufficiat tali ſententiæ, ut nec Latine ſimplex *et*. Exſpectatur *et—et*. Corr. ergo vel οἵοις καὶ ἡμῖν καὶ ὑμῖν, vel potius, cum Reizio, οἵοις ἡμῖν τε καὶ ὑμῖν. Vulgare, οἷοίς τε, ſcribas fallere potuit. *F. A. Wolfius.*]

§. 26. ἐναντιᾶν. Ita recte Bryl. et Caſtal. pro vulgato ἐναντία. Margo L. et St. habet ἐναντίον intellecto τινά.

§. 27. ταῦτα ἐγίγνωσκε. A. I. Br. Caſt. omittunt ταῦτα.

28 πονηρός γ᾽ ἂν δικαίως ἐνομίζετο· νῦν δὲ, αὐτὸς μὲν ἄρξας τῆς πρὸς Λακεδαιμονίους πίστεως καὶ φιλίας, αὐτὸς δὲ τῆς τοῦ δήμου καταλύσεως, μάλιστα δὲ ἐξορμήσας ἡμᾶς, τοῖς πρώτοις ὑπαγομένοις ἐς ἡμᾶς δίκην ἐπιτιθέναι, νῦν, ἐπεὶ καὶ ὑμεῖς καὶ ἡμεῖς φανερῶς ἐχθροὶ τῷ δήμῳ γεγενήμεθα, οὐκέτ᾽ αὐτῷ τὰ γιγνόμενα ἀρέσκει, ὅπως αὐτὸς μὲν αὖ ἐν τῷ ἀσφαλεῖ καταστῇ, ἡμεῖς δὲ δίκην δῶμεν τῶν πεπραγ-
29 μένων. Ὥστε οὐ μόνον ὡς ἐχθρῷ αὐτῷ προσήκει, ἀλλὰ καὶ ὡς προδότῃ ὑμῶν τε καὶ ἡμῶν, διδόναι τὴν δίκην. Καίτοι τοσούτῳ μὲν δεινότερον προδοσία πολέμου, ὅσῳ χαλεπώτερον, φυλάξασθαι τὸ ἀφανὲς τοῦ φανεροῦ· τοσούτῳ δ᾽ ἔχθιον, ὅσῳ πολέμιοι μὲν ἄνθρωποι καὶ σπένδονται αὖθις, καὶ πιστοὶ γίγνονται· ὃν δ᾽ ἂν προδιδόντα λαμβάνωσι, τούτῳ οὔτε ἐσπείσατο πώποτε οὐδεὶς, οὔτ᾽ ἂν σπείσαιτο τοῦ
30 λοιποῦ. Ἵνα δὲ εἰδῆτε, ὅτι οὐ καινὰ ταῦτα οὗτος ποιεῖ, ἀλλὰ φύσει προδότης ἐστὶν, ἀναμνήσω ὑμᾶς τὰ τούτῳ πεπραγμένα. Οὗτος γὰρ ἐξ ἀρχῆς μὲν τιμώμενος ὑπὸ τοῦ δήμου, κατὰ τὸν πατέρα Ἅγνωνα, προπετέστατος ἐγένετο τὴν δημοκρατίαν μεταστῆσαι ἐς τοὺς τετρακοσίους, καὶ ἐπρώτευεν ἐν ἐκείνοις. ἐπεὶ δ᾽ ᾔσθετο ἀντίπαλόν τι τῇ ὀλιγαρχίᾳ ξυνιστάμενον, πρῶτος αὖ ἡγεμὼν τῷ δήμῳ ἐπ᾽

§. 29. *πολέμιοι μέν.* Morus emendat *πολεμίῳ.*

*οὔτ᾽ ἂν σπείσαιτο.* Margo Leonclav. *οὔτε πιστεύσαι.* Atque hoc poſtulat concinnitas orationis.

§. 30. *οὗτος γάρ.* A. I. Br. Caſt. *μὲν,* altero *μὲν* omiſſo.

*κατὰ τὸν πατέρα.* Ad exemplum patris. Lyſias p. 426. de Theramene: *πείσας ὑμᾶς τὴν ἐπὶ τῶν τετρακοσίων πολιτείαν ἑλέσθαι, καὶ ὁ μὲν πατὴρ αὐτοῦ τῶν προβούλων ὢν ταῦτ᾽ ἔπραττε.* De Theramene, Nicia et Thucydide Plutarchus in Nicia cap. 2. *καὶ πατρικὴν ἔχοντες εὔνοιαν καὶ φιλίαν πρὸς τὸν δῆμον.*

[*Ἅγνωνα.* De Theramene Xenophontis narrationem excerpſit auctor ſcholii ad Ariſtoph. Ranas verſu 546. Hagnonis filium adoptione, non natu fuiſſe, et ex Ceo inſula oriundum, annotat; ſed neſcio quid ſit, quod addit: *δοκεῖ καὶ οὗτος καὶ ταῦτα τὰ τρία ἐπιψηφίσασθαι ἐπὶ ζημίᾳ ἢ δεσμεύεσθαι ἐν τῷ ξύλῳ, ἢ πιεῖν κώνειον, ἢ ἐκφυγεῖν.* Quæ forte ad judicium de imperatoribus, qui mortuos in mari tollere non potuerunt, pertinent. Ab Hagnone adoptatum fuiſſe, auctore Eupoli comico in fabula *Πόλεις* affirmant ſcholia ad Ranas verſu 1001. *Ex Addendis.*]

*ἐν ἐκείνοις.* A. I. Br. Caſt. *ἐν* omittunt.

ἐκείνους ἐγένετο. ὅθεν δήπου γὰρ καὶ κόθορνος ἐπικαλεῖται· (καὶ γὰρ ὁ κόθορνος ἁρμόττειν μὲν τοῖς ποσὶν ἀμφοτέροις δοκεῖ, ἀποβλέπει δ' ἐπ' ἀμφότερον.) 31 Δεῖ δή, ὦ Θηράμενες, ἄνδρα τὸν ἄξιον ζῆν οὐ προάγειν μὲν δεινὸν εἶναι τοὺς ξυνόντας ἐς πράγματα, ἢν δέ τι ἀντικόπτῃ, εὐθὺς μεταβάλλεσθαι· ἀλλ' ὥσπερ ἐν νηῒ διαπονεῖσθαι, ἕως ἂν ἐς οὖρον καταστῶσιν· εἰ δὲ μή, πῶς ἀφίκοιντό ποτε, ἔνθα δεῖ, εἰ, ἐπειδάν τι ἀντικόψῃ, εὐθὺς ἐς τἀναντία πλέοιεν; 32 Καὶ εἰσὶ μὲν δήπου πᾶσαι μεταβολαὶ πολιτειῶν θανατηφόροι· σὺ δέ, διὰ τὸ εὐμετάβολος εἶναι, πλείστοις μὲν μεταίτιος εἶ ἐξ ὀλιγαρχίας ὑπὸ τοῦ δήμου ἀπολωλέναι, πλείστοις δ' ἐκ δημοκρατίας ὑπὸ τῶν βελτιόνων. Οὗτος δέ τοι ἐστίν, ὅς, ταχθεὶς ἀνελέσθαι ὑπὸ τῶν στρατηγῶν τοὺς καταδύντας Ἀθηναίων ἐν τῇ περὶ Λέσβον ναυμαχίᾳ, αὐτὸς οὐκ ἀνελόμενος, ὅμως τῶν στρατηγῶν κατηγορῶν ἀπέκτεινεν αὐτούς, ἵνα αὐτὸς περισωθείη. 33 Ὅστις γεμὴν φανερός ἐστι τοῦ μὲν πλεονεκτεῖν ἀεὶ ἐπιμελούμενος, τοῦ δὲ καλοῦ καὶ τῶν φίλων μηδὲν ἐντρεπόμενος, πῶς τούτου χρή ποτε φείσασθαι; πῶς δ' οὐ φυλάξασθαι, εἰδότας αὐτοῦ τὰς μεταβολάς, ὡς μὴ καὶ ἡμᾶς ταὐτὸ δυνασθῇ ποιῆσαι; Ἡμεῖς οὖν τοῦτον ὑπάγομεν καὶ ὡς ἐπιβουλεύοντα, καὶ ὡς προδιδόντα ἡμᾶς τε καὶ ὑμᾶς. 34 Ὡς δ' εἰκότα ποιοῦμεν, καὶ τάδ' ἐννοήσατε. καλλίστη μὲν γὰρ δήπου δοκεῖ πολιτεία εἶναι ἡ Λακεδαιμονίων· εἰ δὲ ἐκείνῃ ἐπιχειρήσειέ τις

§. 31. ὅθεν δήπου. Quod sequebatur γὰρ suadente Steph. et Moro delevi.

καὶ γὰρ ὁ. Verba inclusa delenda censet Morus veluti glossam, et ante eum Ruhnken. Dissert. de Antiphonte p. 816. in Orat. Græc. Reisk. vol. vii. quamvis Scholiastes Aristophanis ad Ranas versu 47. eadem in suo libro repererit.

ἀμφότερον. Ita jam Fr. Portus, approbante St. et Leonclav. scribendum censuit pro vulgato ἀμφοτέρων. Brodæus ἀμφοτέρου malebat. Vel sic tamen sensu caret verbum ἀποβλέπει. Plutarchus Præcept. reipubl. gerendæ p. 277. δεῖ τὸν Θηραμένους κόθορνον ὑποδεόμενον ἀμφοτέροις ὁμιλεῖν καὶ μηδετέροις προστίθεσθαι.

ἐς οὖρον. Dum ventum secundum nacti fuerint.

§. 32. Λέσβον. Prœlium ad Arginussas intelligit.

§. 34. εἰ δὲ ἐκείνῃ. Steph. et margo Leoncl. ἐν ἐκείνῃ. recte.

τῶν Ἐφόρων, ἀντὶ τοῦ τοῖς πλείοσι πείθεσθαι, ψέγειν τε τὴν ἀρχὴν, καὶ ἐναντιοῦσθαι τοῖς πραττομένοις, οὐκ ἂν οἴεσθε αὐτὸν καὶ ὑπ' αὐτῶν τῶν Ἐφόρων καὶ ὑπὸ τῆς ἄλλης ἁπάσης πόλεως τῆς μεγίστης τιμωρίας ἀξιωθῆναι; Καὶ ὑμεῖς οὖν, ἐὰν σωφρονῆτε, οὐ τούτου ἀλλ' ὑμῶν φείσεσθε. Ὡς οὗτος, σωθεὶς μὲν, πολλοὺς ἂν μέγα φρονεῖν ποιήσειε τῶν ἐναντία γιγνωσκόντων ὑμῖν· ἀπολόμενος δὲ, πάντων καὶ τῶν ἐν τῇ πόλει καὶ τῶν ἔξω ὑποτέμοι ἂν τὰς ἐλπίδας.

35 Ὁ μὲν ταῦτ' εἰπὼν ἐκαθέζετο· Θηραμένης δὲ ἀναστὰς ἔλεξεν·

Ἀλλὰ πρῶτον μὲν μνησθήσομαι, ὦ ἄνδρες, ὃ τελευταῖον κατ' ἐμοῦ εἶπε. Φησὶ γάρ με τοὺς στρατηγοὺς ἀποκτεῖναι κατηγοροῦντα. ἐγὼ δὲ οὐκ ἦρχον κατ' ἐκείνων λόγου, ἀλλ' ἐκεῖνοι ἔφασαν, προσαχθέντα με ὑφ' ἑαυτῶν οὐκ ἀνελέσθαι τοὺς δυστυχοῦντας ἐν τῇ περὶ Λέσβον ναυμαχίᾳ. ἐγὼ δὲ ἀπολογούμενος, ὡς διὰ τὸν χειμῶνα οὐδὲ πλεῖν, μὴ ὅτι ἀναιρεῖσθαι τοὺς ἄνδρας, δυνατὸν ἦν, ἔδοξα τῇ πόλει εἰκότα λέγειν, ἐκεῖνοι δὲ ἑαυτῶν κατηγορεῖν ἐφαίνοντο. Φάσκοντες γὰρ, οἷόν τε εἶναι σῶσαι τοὺς ἄνδρας, προέμενοι αὐτοὺς 36 ἀπολέσθαι, ἀποπλέοντες ᾤχοντο. Οὐ μέντοι θαυμάζω γε τὸ Κριτίαν παρανενομηκέναι· ὅτε γὰρ ταῦτα ἦν, οὐ παρὼν ἐτύγχανεν, ἀλλ' ἐν Θετταλίᾳ μετὰ Προμηθέως δημοκρατίαν κατασκευασείων, καὶ τοὺς πενέστας ὥπλιζεν

ἀλλ' ὑμῶν. Poſt hæc in St. L. additum αὐτῶν, notatur tamen ut ſpurium.

§. 35. ἦρχον. Stephan. et Leoncl. addiderunt δήπου.

προσαχθέντα με. Margo St. Leoncl. προσαχθέν μοι. Recte. Dicitur enim προσάττειν τινί τι. Si eſſet ταχθέντα, probarem με.

[προσαχθέντα με. Unice verum hoc. Atticis in uſu ſunt verba ex partic. πρὸς compoſita pro ſimplicibus. Neceſſe autem erat addi μέ. Alioquin ἀνέλεσθαι ad perſonam verbi ἔφασαν pertineret. *F. A. Wolfius.*]

§. 36. τὸ Κριτίαν. Caſt. St. Leoncl. τὸν Κρ.

παρανενομηκέναι. Injuſte accuſare me.

[παρανενομηκέναι num ſatis aptum Tibi videtur ſententiæ? An ſcripſit παρανενοηκέναι? *Non miror, Critiam hac de re ſecus ſtatuere.* Sed forſan ipſe παραπαίω. *F. A. Wolfius.*]

κατασκευασείων. A. Junt. κατασκευαζείων. Br. Caſtal. κατασκευάζων. In St. et Leoncl. legitur editum κατεσκεύαζε. Noſtrum excogitavit Mo-

ἐπὶ τοὺς δεσπότας. Ὧν μὲν οὖν οὗτος ἐκεῖ ἔπραττε, μηδὲν 37 ἐνθάδε γένοιτο· τάδε γε μέντοι ὁμολογῶ ἐγὼ τούτῳ, εἴ τις ὑμᾶς μὲν τῆς ἀρχῆς βούλεται παῦσαι, τοὺς δ' ἐπιβουλεύοντας ὑμῖν ἰσχυροὺς ποιεῖν, δίκαιον εἶναι τῆς μεγίστης αὐτὸν τιμωρίας τυγχάνειν· ὅστις μέντοι ὁ ταῦτα πράττων ἐστίν, οἶμαι ἂν ὑμᾶς κάλλιστα κρίνειν, τά τε πεπραγμένα, καὶ ἃ νῦν πράττει ἕκαστος ἡμῶν, εἰ κατανοήσετε. Οὐκοῦν μέχρι 38 μὲν τοῦ ὑμᾶς τε καταστῆσαι τὴν βουλήν, καὶ ἀρχὰς ἀποδειχθῆναι, καὶ τοὺς ὁμολογουμένως συκοφάντας ὑπάγεσθαι, πάντες ταὐτὰ ἐγιγνώσκομεν· ἐπεὶ δὲ οὗτοι ἤρξαντο ἄνδρας καλοὺς τε καὶ ἀγαθοὺς ξυλλαμβάνειν, ἐκ τούτου κἀγὼ ἠρξάμην τἀναντία τούτοις γιγνώσκειν. Ἠίδειν γάρ, ὅτι, 39 ἀποθνήσκοντος μὲν Λέοντος τοῦ Σαλαμινίου, ἀνδρὸς καὶ ὄντος καὶ δοκοῦντος ἱκανοῦ εἶναι, ἀδικοῦντος δ' οὐδὲ ἕν, οἱ ὅμοιοι τούτῳ φοβήσοιντο, φοβούμενοι δὲ ἐναντίοι τῇδε τῇ πολιτείᾳ ἔσοιντο. Ἐγίγνωσκον δέ, ὅτι, ξυλλαμβανομένου Νικηράτου τοῦ Νικίου, καὶ πλουσίου, καὶ οὐδὲν πώποτε δημοτικὸν οὔτε αὐτοῦ οὔτε τοῦ πατρὸς πράξαντος, οἱ τούτῳ ὅμοιοι δυσμενεῖς ὑμῖν γενήσοιντο. Ἀλλὰ μήν, καὶ Ἀντιφῶντος ὑφ' ὑμῶν 40

rus, equidem *κατασκευάζων* præferrem.

*πενέστας*. Hunc locum velut ex tertio libro laudat Harpocratio fub voce hac. Sunt eadem apud Theffalos conditione, qua Spartanorum Helotes. Vide Ruhnken. ad Timæi Gloffar. p. 212. ed. fecund. Critiæ fugam in Theffaliam et nefarias molitiones obiter memorat Nofter in Memorabil. i. 2. 24. Quæ Cicero de N. D. iii. 28. de Jafone Pheræo, eadem de Prometheo Theffalo narrant Plutarchus et Simplicius, annotante Victorio V. Lect. vii. c. 10.

§. 38. *καταστῆσαι τὴν βουλήν*. A. I. Br. Caft. *ἐς τὴν βουλήν*. Male hinc effecerunt Steph. et Leoncl. *καταστῆναι ἐς τὴν βουλ.* Noftra lectio debetur Moro. Margo Leoncl. habet *βούλειαν*.

*ὁμολογουμένως*. Caftal. *ὁμολογουμένους*.

§. 39. *Λέοντος*. Cædem ejus memorat Plato Apolog. cap. 20. Melitus eum inauditum interfecerat, auctore Andocide de Myfteriis p. 46.

*φοβήσοιντο*. Margo Leoncl. *φοβηθήσοιντο*.

*ἐναντίοι*. A. I. Br. Caftal. *ἐναντία*. Articulum *τῇ* poft *τῇδε* omifit Junt. Caftal.

*Νικηράτου*. Hujus cædem commemorat Lyfias contra Poliuchum p. 602.

§. 40. *Ἀντιφῶντος*. Lyfias p. 427. de Theramene: *Ἀντιφῶντα καὶ Ἀρχεπτόλεμον φιλτάτους ὄντας αὐτῷ κατηγορῶν ἀπέκτεινε.* Antiphon hic a Rhamnufio rhetore diverfus fuit, Lyfidonidæ filius, ut ex Plutarcho docet Ruhnken. de Antiphonte Differt. p. 819. ed. Reifke.

ἀπολλυμένου, ὃς ἐν τῷ πολέμῳ δύο τριήρεις εὖ πλεούσας παρείχετο, ἠπιστάμην, ὅτι καὶ οἱ πρόθυμοι τῇ πόλει γεγενημένοι πάντες ὑπόπτως ὑμῖν ἕξοιεν. Ἀντεῖπον δὲ καὶ, ὅτε τῶν μετοίκων ἕνα ἕκαστον λαβεῖν ἔφασαν χρῆναι· εὔδηλον γὰρ ἦν, ὅτι, τούτων ἀπολομένων, καὶ οἱ μέτοικοι ἅπαντες 41 πολέμιοι τῇ πολιτείᾳ ἔσοιντο. Ἀντεῖπον δὲ καὶ, ὅτε τὰ ὅπλα τοῦ πλήθους παρῃροῦντο, οὐ νομίζων χρῆναι ἀσθενῆ τὴν πόλιν ποιεῖν· οὐδὲ γὰρ τοὺς Λακεδαιμονίους ἑώρων τούτου ἕνεκα βουλομένους περισῶσαι ἡμᾶς, ὅπως, ὀλίγοι γενόμενοι, μηδὲν δυναίμεθα αὐτοὺς ὠφελεῖν· ἐξῆν γὰρ αὐτοῖς, εἰ τούτου γε δέοιντο, καὶ μηδένα λιπεῖν, ὀλίγον ἔτι χρόνον τῷ 42 λιμῷ πιέσαντας. Οὐδέ γε τὸ φρουροὺς μισθοῦσθαι ξυνήρεσκέ μοι, ἐξὸν, αὐτῶν τῶν πολιτῶν τοσούτους προσλαμβάνειν, ἕως ῥᾳδίως οἱ ἄρχοντες ἐμέλλομεν τῶν ἀρχομένων κρατήσειν. Ἐπεὶ γεμὴν πολλοὺς ἑώρων ἐν τῇ πόλει τῇ ἀρχῇ τῇδε δυσμενεῖς, πολλοὺς δὲ φυγάδας γενομένους, οὐκ ἂν ἐδόκει μοι, οὔτε Θρασύβουλον, οὔτε Ἄνυτον, οὔτε Ἀλκι-

εὖ πλεούσας. Edd. veteres ἐσπλεούσας. Emendata lectio eſt in margine L. et St.

ἕνα ἕκαστον. Lyſias contra Eratoſth. p. 386. Θέογνις καὶ Πείσων ἔλεγον ἐν τοῖς τριάκοντα περὶ τῶν μετοίκων, ὡς εἶεν τινες τῇ πολιτείᾳ ἀχθόμενοι. καλλίστην οὖν εἶναι πρόφασιν τιμωρεῖσθαι μὲν δοκεῖν, τῷ δ' ἔργῳ χρηματίζεσθαι, πάντως δὲ τὴν μὲν πόλιν πένεσθαι, τὴν δὲ ἀρχὴν δεῖσθαι χρημάτων—ἔδοξεν οὖν αὐτοῖς δέκα συλλαβεῖν, τούτων δὲ δύο πένητας, ἵν' αὐτοῖς ᾖ πρὸς τοὺς ἄλλους ἀπολογία ὡς οὐ χρημάτων ἕνεκα ταῦτα πέπρακται, ἀλλὰ συμφέροντα γεγένηται. διαλαβόντες δὲ τὰς οἰκίας ἐβάδιζον, καὶ ἐμὲ μὲν ξένους ἑστιῶντα κατέλαβον, οὓς ἐξελάσαντες Πείσωνί με παραδιδόασιν. Xenophon ſupra §. 21. eadem locutione μετοίκων ἕνα ἕκαστον uſus eſt, ubi Morus unum quemlibet, quiſquis demum eſſet, primum quemque, interpretatus eſt. Male; ex Lyſiæ enim διαλαβόντες apparet, eſſe ſenſum: ut quivis e triginta tyrannis unum ſibi inquilinum divitem interficiendum deligeret.

§. 41. πιέσαντας. Caſt. πιέσαντες.

§. 42. μισθοῦσθαι. A. I. Br. Caſt. μισθοῦσαι. Deinceps αὐτῷ pro αὐτῶν. A. Junt.

Ἄνυτον. Thraſybulum et Anytum, recuperata libertate, plurimum auctoritate valuiſſe, refert Iſocrates contra Callimachum p. 236. Alcibiadem in Aſia interfectum dolis tyrannorum triginta, refert Diodorus. Anytum ducem exſulum appellat Lyſias Oratione contra Agorat. p. 497. ubi narrat Agoratum transfugiſſe ad exſules, quos appellat τοὺς ἐπὶ Φυλὴν, etſi bene noverat, eorum quoſdam in exſilium per ſe actos εἰδὼς ὅτι εἰσί τινες ἐπὶ Φυλὴν τῶν ὑπὸ τούτου ἐκπεπτωκότων, ἐτόλμησεν ἐλθεῖν ὡς τούτους. Exſules eum comprehenſum ἄγουσιν ἄντικρυς ὡς ἀποκτενοῦντες οὗπερ καὶ τοὺς ἄλλους ἀπέσφαττον, εἴ τινα λῃστὴν ἢ κακοῦργον συλλάβοιεν, στρατηγῶν δ' Ἄνυτος ἐπὶ Φυλὴν (lege τῶν ἐπὶ Φυλὴν ut dicuntur οἱ ἑπτὰ ἐπὶ Θήβας) οὐκ ἔφη χρῆναι

βιάδην φυγαδεύειν· ᾔδειν γὰρ, ὅτι οὕτω γε τὸ ἀντίπαλον ἰσχυρὸν ἔσοιτο, εἰ τῷ μὲν πλήθει ἡγεμόνες ἱκανοὶ προσγενήσοιντο, τοῖς δὲ ἡγεῖσθαι βουλομένοις ξύμμαχοι πολλοὶ φανήσοιντο. Ὁ ταῦτ᾽ οὖν νομοθετῶν ἐν τῷ φανερῷ, πότερα εὐμενὴς ἂν δικαίως, ἢ προδότης νομίζοιτο; Οὐχ οἱ ἐχθροὺς, ὦ Κριτία, κωλύοντες πολλοὺς ποιεῖσθαι, οὐδὲ οἱ ξυμμάχους πλείστους διδάσκοντες κτᾶσθαι, οὗτοι τοὺς πολεμίους ἰσχυροὺς ποιοῦσιν· ἀλλὰ πολὺ μᾶλλον οἱ ἀδίκως τε χρήματα ἀφαιρούμενοι, καὶ τοὺς οὐδὲν ἀδικοῦντας ἀποκτείνοντες, οὗτοί εἰσιν οἱ καὶ πολλοὺς τοὺς ἐναντίους ποιοῦντες, καὶ προδιδόντες οὐ μόνον τοὺς φίλους, ἀλλὰ καὶ ἑαυτοὺς, δι᾽ αἰσχροκέρδειαν. Εἰ δὲ μὴ ἄλλως γνωστὸν, ὅτι ἀληθῆ λέγω, ὧδε ἐπισκέψασθε. Πότερον οἴεσθε, Θρασύβουλον, καὶ Ἄνυτον, καὶ τοὺς ἄλλους φυγάδας, ἃ ἐγὼ λέγω, μᾶλλον ἂν ἐνθάδε βούλεσθαι γίγνεσθαι, ἢ ἃ οὗτοι πράττουσιν; Ἐγὼ μὲν γὰρ οἶμαι, νῦν μὲν αὐτοὺς νομίζειν, ξυμμάχων πάντα μεστὰ εἶναι· εἰ δὲ τὸ κράτιστον τῆς πόλεως προσφιλῶς ἡμῖν εἶχε, χαλεπὸν ἂν ἡγεῖσθε εἶναι καὶ τὸ ἐπιβαίνειν ποι τῆς χώρας. Ἃ δ᾽ αὖ εἶπεν, ὡς ἐγώ εἰμι οἷος ἀεί ποτε μεταβάλλεσθαι, κατανοήσατε καὶ ταῦτα. Τὴν μὲν γὰρ τῶν τετρακοσίων πολιτείαν καὶ αὐτὸς δήπου ὁ δῆμος ἐψηφίσατο, διδασκόμενος, ὡς οἱ Λακεδαιμόνιοι πάσῃ πολιτείᾳ μᾶλλον ἂν, ἢ δημοκρατίᾳ, πιστεύσειαν. Ἐπεὶ δέ γε ἐκεῖνοι μὲν οὐδὲν ἀνίεσαν, οἱ δὲ ἀμφὶ Ἀριστο- 43 44 45 46

ποιεῖν αὐτοὺς ταῦτα, λέγων, ὅτι οὔπω οὕτω διακέοιντο, ὥστε τιμωρεῖσθαί τινας τῶν ἐχθρῶν. ἀλλὰ νῦν μὲν δεῖν αὐτοὺς ἡσυχίαν ἔχειν· εἰ δέ ποτε οἴκαδε κατέλθοιεν, τότε καὶ τιμωρήσοιντο τοὺς ἀδικοῦντας. ταῦτα λέγων αἴτιος ἐγένετο τοῦ ἀποφυγεῖν τοῦτον ἐπὶ Φυλὴν, (lege τοὺς ἐπὶ Φ.) ἀνάγκη δὲ ἦν τοῦ στρατηγοῦ ἀνδρὸς ἀκροᾶσθαι εἴπερ ἔμελλον σωθήσεσθαι.

§. 43. νομοθετῶν. Margo L. et St. νουθετῶν. Quod magis ſententiæ aptum eſt.

§. 44. οἶμαι. Ald. Junt. εἶναι. In Bryl. eſt: ἐγὼ μὲν γὰρ ἡγεῖσθαι νῦν μὲν αὐτοὺς νομίζων. In Caſtal. eadem eſt lectio, ſed rectius νομίζω.

ἡγεῖσθαι. Ita recte Caſt. probante Leon. pro vulgato ἡγεῖσθε.

καὶ τό. Articulum omiſit Caſtal. cum A. et Junt.

§. 46. ἀνίεσαν. De tyrannis quadringentis legatis Thraſybuli et exercitui non cedentibus interpretatur Morus ex Thucydide viii. 81—90. Sed

τέλην καὶ Μελάνθιον καὶ Ἀρίσταρχον, στρατηγοῦντες, φανεροὶ ἐγένοντο ἐπὶ τῷ χώματι ἔρυμα τειχίζοντες, ἐς ὃ ἐβούλοντο τοὺς πολεμίους δεξάμενοι ὑφ᾽ αὑτοῖς καὶ τοῖς ἑτέροις τὴν πόλιν ποιήσασθαι· εἰ ταῦτ᾽ αἰσθανόμενος ἐγὼ διεκώ-
47 λυσα, τοῦτ᾽ ἐστὶ προδότην εἶναι τῶν φίλων; Ἀποκαλεῖ δὲ Κόθορνόν με, ὡς ἀμφοτέροις πειρώμενον ἁρμόττειν. Ὅστις δὲ μηδετέροις ἀρέσκει, τοῦτον, ὦ πρὸς τῶν Θεῶν, τί ποτε καὶ καλέσαι χρή; σὺ γὰρ δὴ ἐν μὲν τῇ δημοκρατίᾳ πάντων μισοδημότατος ἐνομίζου, ἐν δὲ τῇ ἀριστοκρατίᾳ πάντων μι-
48 σοχρηστότατος γεγένησαι. Ἐγὼ δ᾽, ὦ Κριτία, κείνοις μὲν ἀεί ποτε πολεμῶ, τοῖς οὐ πρόσθεν οἰομένοις καλὴν ἂν δημοκρατίαν εἶναι, πρὶν ἂν καὶ οἱ δοῦλοι, καὶ οἱ δι᾽ ἀπορίαν δραχμῆς ἂν ἀποδόμενοι τὴν πόλιν, δραχμῆς μετέχοιεν· καὶ τοῖς δέ γ᾽ αὖ ἀεὶ ἐναντίος εἰμὶ, οἳ οὐκ οἴονται καλὴν ἂν ἐγγενέσθαι ὀλιγαρχίαν, πρὶν ἂν ἐς τὸ ὑπ᾽ ὀλίγων τυραννεῖσθαι τὴν πόλιν καταστήσειαν. Τὸ μέντοι σὺν τοῖς δυναμένοις, καὶ μεθ᾽ ἵππων καὶ μετ᾽ ἀσπίδων ὠφελεῖν διὰ τοῦτο τὴν πολιτείαν, πρόσθεν ἄριστον ἡγούμην εἶναι, καὶ νῦν οὐ

præfero lectionem Castal. *ἤνυσαν*, ut Lacedæmonii moras traxisse dicantur.

*χώματι.* Agger seu moles mari opposita, italica vocabuli flexione *Molo.* Memorat hunc Piræei aggerem Demosth. contra Polycletum p. 1208. et 1229. ubi Scholiastes ait fuisse *οἰκοδόμημα ἐν τῷ λιμένι προβεβλημένον προσορμίσεως ἕνεκα καὶ ἀγορᾶς ναυτῶν.* Theophrastus Charact. c. 24. in Piræeo vocat *διάζευγμα.* In Lechæo Corinthiorum portu similem aggerem Pausanias *τὸ ζεῦγμα τὸ διὰ θαλάσσης* appellat ii. 2. p. 114. De re ipsa Demosth. contra Theocrin. p. 1343. *Ἀριστοκράτης ὁ Σκελλίου θεῖος ὢν Ἐπιχάρους κατασκάψας τὴν Ἠετιώνειαν, εἰς ἣν τοὺς Λακεδαιμονίους ἔμελλον οἱ περὶ Κριτίαν ὑποδέχεσθαι, καθεῖλε μὲν τὸ ἐπιτείχισμα, κατήγαγε δὲ τὸν δῆμον.*

§. 48. *καλήν.* A. I. *καλλήν.* Br. Cast. *καλλίστην.*

*δραχμῆς μετέχοιεν.* Hoc erat salarium diurnum senatorum Atheniensium, docente Hesychio in verbis *Βουλῆς λαχεῖν.—καὶ δραχμὴν τῆς ἡμέρας λαχεῖν.* Huc respexit Demosth. contra Timocrat. p. 731. *ἄμισθος ὁ δῆμος* (qui *θεωρικὸν* accipiebat) *καὶ ἡ βουλὴ καὶ τὰ δικαστήρια ἔσται.* Lucianus in encomio Demosthenis munera publica devenisse tum ait ad drachmam et triobolum.

*αὖ ἀεί.* A. I. Br. Cast *ἂν ἀεί.* Deinceps Castal. iterum *καλλίστην.* A. I. *καλλήν.*

*τὸ μέντοι.* Leoncl. emendabat *ὅτι μέντοι.* Steph. *τῷ μέντοι εἶναι τοὺς δυναμένους.*

*διὰ τοῦτο τὴν πολιτείαν.* Castal. *τὴν διὰ τοῦτο πολιτείαν.*

*ἡγούμην.* Hoc pro vulgato *ἡγουμένην* e margine St. L. receperat Morus, qui locum salebrosum et lacunosum ita extricare conatur, ut ante *σὺν τοῖς δυναμένοις* excidisse putet talia quædam : *societatem et amicitiam inire.*

μεταβάλλομαι. Εἰ δ' ἔχεις εἰπεῖν, ὦ Κριτία, ὅπου ἐγὼ 49
ξὺν τοῖς δημοτικοῖς ἢ τυραννικοῖς τοὺς καλοὺς τε κἀγαθοὺς
ἀποστερεῖν πολιτείας ἐπεχείρησα, λέγε· ἐὰν γὰρ ἐλεγχθῶ
ἢ νῦν ταῦτα πράττων, ἢ πρότερον πώποτε [ταῦτα] πεποιη-
κὼς, ὁμολογῶ, τὰ πάντων ἐσχατώτατα παθὼν ἂν δικαίως
ἀποθνήσκειν.

Ὡς δ' εἰπὼν ταῦτα ἐπαύσατο, καὶ ἡ βουλὴ δήλη 50
ἐγένετο εὐμενῶς ἐπιθορυβήσασα, γνοὺς ὁ Κριτίας, ὅτι, εἰ
ἐπιτρέψει τῇ βουλῇ διαψηφίζεσθαι περὶ αὐτοῦ, ἀναφεύ-
ξοιτο, καὶ τοῦτο οὐ βιωτὸν ἡγησάμενος, προσελθὼν καὶ δια-
λεχθείς τι τοῖς τριάκοντα ἐξῆλθε, καὶ ἐπιστῆναι ἐκέλευσε
τοὺς τὰ ἐγχειρίδια ἔχοντας φανερῶς τῇ βουλῇ ἐπὶ τοῖς
δρυφάκτοις. πάλιν δ' εἰσελθὼν, εἶπεν· Ἐγὼ, ὦ βουλὴ, 51
νομίζω, προστάτου ἔργον εἶναι οἵου δεῖ, ὃς ἂν, ὁρῶν τοὺς φί-
λους ἐξαπατωμένους, μὴ ἐπιτρέπῃ. καὶ ἐγὼ οὖν τοῦτο ποι-
ήσω. καὶ γὰρ οἵδε οἱ ἐφεστηκότες οὔ φασιν ἡμῖν ἐπι-
τρέψειν, εἰ ἀνήσομεν ἄνδρα, τὸν φανερῶς τὴν ὀλιγαρχίαν
λυμαινόμενον. ἔστι δὲ ἐν τοῖς καινοῖς νόμοις, τῶν μὲν ἐν
τοῖς τρισχιλίοις ὄντων μηδένα ἀποθνήσκειν ἄνευ τῆς ὑμετέ-
ρας ψήφου· τῶν δ' ἔξω τοῦ καταλόγου κυρίους εἶναι τοὺς
τριάκοντα θανατοῦν. ἐγὼ οὖν, ἔφη, Θηραμένην τουτονὶ ἐξα-
λείφω ἐκ τοῦ καταλόγου, ξυνδοκοῦν ἅπασιν ὑμῖν. καὶ τοῦτον,

Deinde τοὺς δυναμένους interpretatur, qui satis opum, nobilitatis atque auctoritatis habent ad juvandam patriam. Equidem verba διὰ τοῦτο spuria censeo; reliqua satis sana putaverim; hoc sensu: equidem et olim boni civis esse putabam cum iis, quicunque possint, rempublicam juvare et equis et viris. Proverbialis enim est locutio, similis latinæ *equis viris, velis remis.*

§. 50. ἀναφεύξοιτο. Margo Leoncl. ἀποφεύξοιτο. Sed infra vi. 5. ἀναφεύγειν etiam est. Diodorus: ἅπασαν ἔσχε τὴν βουλὴν εὔνουν.

ἔχοντας φανερῶς. Diodorus: περιέστησαν στρατιώτας ἔχοντας ἐσπασμένα τὰ ξίφη.

δρυφάκτοις. Cancelli sunt, quibus curia circumsepta est. Ex consilio et emendatione Leonclavii ita vulgatam δρυφράκτοις mutavit Steph.

§. 51. καινοῖς νόμοις. Hos suggerere solebat ex tempore et loco Nicomachus, ut Lysias in oratione contra eum scripta annotavit. Ita, cum Cleophontem, electioni triginta tyrannorum qui obstiterat, interficerent, ταῦτα διεπράξαντο διὰ τὸν νόμον, ὃν Νικόμαχος ἀπέδειξεν. Lysias contra Nicom. p. 849.

52 ἔφη, ἡμεῖς θανατοῦμεν. Ἀκούσας ταῦτα ὁ Θηραμένης, ἀνεπήδησεν ἐπὶ τὴν Ἑστίαν, καὶ εἶπεν· Ἐγὼ δ', ἔφη, ὦ ἄνδρες, ἱκετεύω τὰ πάντων ἐννομώτατα, μὴ ἐπὶ Κριτίᾳ εἶναι ἐξαλείφειν μήτε ἐμὲ, μήτε ὑμῶν, ὃν ἂν βούληται, ἀλλ', ὅνπερ νόμον οὗτοι ἔγραψαν περὶ τῶν ἐν τῷ καταλόγῳ,
53 κατὰ τοῦτον καὶ ὑμῖν καὶ ἐμοὶ τὴν κρίσιν εἶναι. καὶ τοῦτο μὲν, ἔφη, μὰ τοὺς θεοὺς, οὐκ ἀγνοῶ, ὅτι οὐδέν μοι ἀρκέσει ὅδε ὁ βωμός· ἀλλὰ βούλομαι καὶ τοῦτο ἐπιδεῖξαι, ὅτι οὗτοι οὐ μόνον εἰσὶ περὶ ἀνθρώπους ἀδικώτατοι, ἀλλὰ καὶ περὶ θεοὺς ἀσεβέστατοι. ὑμῶν μέντοι, ἔφη, ὦ ἄνδρες καλοὶ κἀγαθοὶ, θαυμάζω, εἰ μὴ βοηθήσετε ὑμῖν αὐτοῖς, καὶ ταῦτα γιγνώσκοντες, ὅτι οὐδὲν τὸ ἐμὸν ὄνομα εὐεξαλειπτό-
54 τερον, ἢ τὸ ὑμῶν ἑκάστου. Ἐκ δὲ τούτου ἐκέλευσε μὲν ὁ τῶν τριάκοντα κήρυξ τοὺς ἕνδεκα ἐπὶ τὸν Θηραμένην. ἐκεῖνοι δὲ εἰσελθόντες σὺν τοῖς ὑπηρέταις, ἡγουμένου αὐτῶν Σατύρου, τοῦ θρασυτάτου αὐτῶν καὶ ἀναιδεστάτου, εἶπε μὲν ὁ Κριτίας· παραδίδομεν ὑμῖν, ἔφη, Θηραμένην τουτονὶ κατακεκριμένον κατὰ τὸν νόμον· ὑμεῖς δὲ λαβόντες καὶ ἀπαγαγόντες, οἱ
55 ἕνδεκα, οὗ δεῖ, τὰ ἐκ τούτων πράσσετε. Ὡς δὲ ταῦτα εἶπεν, εἷλκε μὲν ἀπὸ τοῦ βωμοῦ ὁ Σάτυρος, εἷλκον δὲ οἱ ὑπηρέται. ὁ δὲ Θηραμένης, ὥσπερ εἰκὸς, καὶ θεοὺς ἐπεκαλεῖτο καὶ ἀνθρώπους, καθορᾷν τὰ γιγνόμενα. ἡ δὲ βουλὴ

§. 52. Ἑστίαν. Diodorus: βουλαίαν Ἑστίαν. Ad eam ſupplices ſæpe fugiſſe legimus in Andocide de Myſteriis p. 22. et de reditu p. 82.

τὰ—ἐννομώτατα. Margo L. τοὺς—ἐννομωτάτους.

§. 53. ἀλλὰ βούλομαι. Diodorus: ἔφησε δὲ πρὸς τοὺς θεοὺς καταφεύγειν οὐ σωθήσεσθαι νομίζων, ἀλλὰ σπεύδων τοῖς ἀνελοῦσιν αὐτὸν περιποιήσασθαι τὴν εἰς τοὺς θεοὺς ἀσέβειαν.

§. 54. ἐκέλευσε. Niſi ἰέναι excidit, cum Leoncl. et Stephan. legendum ἐκάλεσε.

[ἐκέλευσε μὲν ὁ τῶν τρ. κήρυξ τοὺς ἕνδεκα ἐπὶ τὸν Θ. Nihil mutandum, ut recte vidit Vir doctus in Obſſ. Miſc. T. iv. p. 282. Subaudiri in hac locutione ſolet ἰέναι. Conf. Intpp. ad Thucyd. vi. 54. *Er beorderte ſie gegen den Theramenes. F. A. Wolfius.*]

Σατύρου. Lyſias contra Nicomachum p. 847. Σάτυρος ὁ Κηφισιεὺς βουλεύων ἔπεισε τὴν βουλήν. De eodem p. 849. Σάτυρος καὶ Χρέμων οἱ τῶν τριάκοντα γενόμενοι. et p. 850. ταύτην τὴν βουλὴν ἐν ᾗ Σάτυρος μὲν καὶ Χρέμων μέγιστα ἐδύναντο. Videtur igitur in locum Theramenis fuiſſe ſuffectus Satyrus: Idem ergo fuit antea in ſenatu et inter undecim viros, neſcio an eodem tempore.

ἡσυχίαν εἶχεν, ὁρῶσα καὶ τοὺς ἐπὶ τοῖς δρυφάκτοις ὁμοίως Σατύρῳ, καὶ τὸ ἔμπροσθεν τοῦ βουλευτηρίου πλῆρες τῶν φρουρῶν, καὶ οὐκ ἀγνοοῦντες, ὅτι ἐγχειρίδια ἔχοντες παρῆσαν. Οἱ δ᾽ ἀπήγαγον τὸν ἄνδρα διὰ τῆς ἀγορᾶς, μάλα μεγάλῃ τῇ φωνῇ δηλοῦντα, οἷα ἔπασχε. Λέγεται δὲ ἓν ῥῆμα καὶ τοῦτο αὐτοῦ. Ὡς εἶπεν ὁ Σάτυρος, ὅτι οἰμώξειεν, εἰ μὴ σιωπήσειεν, ἐπήρετο· ἂν δὲ σιωπῶ, οὐκ ἄρα, ἔφη, οἰμώξομαι; Καὶ ἐπεί γε ἀποθνήσκειν ἀναγκαζόμενος τὸ κώνειον ἔπιε, τὸ λειπόμενον ἔφασαν ἀποκοτταβίσαντα εἰπεῖν αὐτόν· Κριτίᾳ τοῦτ᾽ ἔστω τῷ καλῷ. καὶ τοῦτο μὲν οὐκ ἀγνοῶ, ὅτι ταῦτα ἀποφθέγματα οὐκ ἀξιόλογα· ἐκεῖνο δὲ κρίνω τοῦ ἀνδρὸς ἀγαστὸν, τὸ, τοῦ θανάτου παρεστηκότος, μήτε τὸ φρόνιμον, μήτε τὸ παιγνιῶδες ἀπολιπεῖν ἐκ τῆς ψυχῆς. 56

## ΚΕΦ. Δ.

ΘΗΡΑΜΕΝΗΣ μὲν δὴ οὕτως ἀπέθανεν· οἱ δὲ τριάκοντα, ὡς ἐξὸν ἤδη αὐτοῖς τυραννεῖν ἀδεῶς, προεῖπον μὲν τοῖς ἔξω τοῦ καταλόγου, μὴ εἰσιέναι ἐς τὸ ἄστυ, ἦγον δὲ ἐκ τῶν χωρίων, ἵνα αὐτοὶ καὶ οἱ φίλοι τοὺς τούτων ἀγροὺς ἔχοιεν. Φευγόντων δὲ ἐς τὸν Πειραιᾶ, καὶ ἐντεῦθεν πολλοὺς ἄγοντες ἐνέπλησαν καὶ τὰ Μέγαρα καὶ τὰς Θήβας τῶν ὑποχωρούντων.

§. 55. ὁμοίους. A. Junt. ὁμοίως. Bryl. Caſt. ὁμοίων. Correxit Brodæus.

§. 56. οἰμώξειεν. Margo L. St. οἰμώξοιτο. Futuro tempore hic opus eſſe conſentit etiam Morus. Equidem aſſentior Leonclavio. Cæterum Diodorus xiv. 5. ait, Socratem cum duobus aliis ſolum in ſenatu reſtitiſſe Critiæ, ſed rogatos a Theramene ipſo deſtitiſſe a conatibus. Iſocratem ſolum nominat Plutarchus in ejus vita.

ἀποκοτταβίσαντα. Imitatur morem conviviorum, in quibus ex cottabo augurium capiebant amantes. Cicero interpretatus eſt: reliquum ſic ejecit e poculo, ut id reſonaret. Quæſt. Tuſ. i. 40.

τοῦτ᾽ ἔστω. Propino hoc pulcro Critiæ. Ita Cicero. Cæterum Plutarchus in Conſolat. ad Apollon. p. 399. de Theramene: καταστρεβλωθεὶς ὑπὸ τῶν συντυράννων ἐτελεύτησεν.

ἀγαστόν. Caſtal. ἀγαθόν.

παιγνιῶδες. Cicero l. c. luſit vir egregius extremo ſpiritu. Cæterum Plutarchus Ageſ. c. 2. junxit τὸ παιγνιῶδες καὶ εὔθυμον. Ex noſtro loco vocem commemoravit Pollux ii. 20. Cf. Valckenair ad Herodotum p. 188.

§. 1. καὶ ἐντεῦθεν. Hujus crudelitatis et reliquorum hic memoratorum facinorum exempla multa collecta leges in orationibus Lyſiæ.

Μέγαρα—Θήβας. Argivos ſupra r

2 Ἐκ δὲ τούτου Θρασύβουλος, ὁρμηθεὶς ἐκ Θηβῶν ὡς σὺν ἑβδομήκοντα, Φυλὴν χωρίον καταλαμβάνει ἰσχυρόν. οἱ δὲ τριάκοντα ἐβοήθουν ἐκ τοῦ ἄστεος σύν τε τοῖς τρισχιλίοις καὶ σὺν τοῖς ἱππεῦσι, [καὶ] μάλ' εὐημερίας οὔσης. ἐπεὶ δὲ ἀφίκοντο, εὐθὺς μὲν θρασυνόμενοί τινες τῶν νέων προσέβαλον πρὸς τὸ χωρίον, καὶ ἐποίησαν μὲν οὐδέν, τραύματα 3 δὲ λαβόντες ἀπῆλθον. Βουλομένων δὲ τῶν τριάκοντα ἀποτειχίζειν, ὅπως ἐκπολιορκήσειαν αὐτούς, ἀποκλείσαντες αὐτοῖς τὰς ἐφόδους τῶν ἐπιτηδείων, ἐπιγίγνεται τῆς νυκτὸς χιὼν παμπληθής· καὶ τῇ ὑστεραίᾳ οἱ δὲ νιφόμενοι ἀπῆλθον

minavit ii. 4. Item Juftinus v. 9. Oropum nominat Lyfias p. 873. Lacedæmonii nempe infultantes Athenienfium infortunio edixerant ἐξ ἁπάσης τῆς Ἑλλάδος ἀγωγίμους τοῖς τριάκοντα εἶναι τοὺς Ἀθηναίων φυγάδας, τὸν δὲ κωλύσαντα πέντε ταλάντοις ἔνοχον εἶναι. Nihilo tamen minus Argivi primi exfules humane exceperunt, auctore Diodoro xiv. 6. Quin adeo cum legati Lacedæmoniorum exfules aliquot dedi fibi ab Argivis poftularent, Argivi contra decreverunt, ni ante folis ortum urbe excederent legati, hoftium in numero habendos effe, uti narrat Demofthenes de Rhodior. libert. p. 197. De Thebanis ita Diodorus: ἐψηφίσαντο πρόστιμον τῷ θεασαμένῳ μὲν ἀγόμενον φυγάδα μὴ βοηθήσαντι δὲ κατὰ τὸ δυνατόν. Plutarchus in Lyfandro c. 27. Lacedæmoniorum decretum ita refert: τοὺς φεύγοντας ἐξ Ἀθηνῶν ἀγωγίμους εἶναι πανταχόθεν, ἐκσπόνδους δὲ τοὺς ἐνισταμένους τοῖς ἄγουσι. Thebani contra dicuntur decreviffe: οἰκίαν μὲν ἀνοῖχθαι πᾶσαν καὶ πόλιν ἐν Βοιωτίᾳ τοῖς δεομένοις Ἀθηναίων, τὸν δὲ τῷ ἀγομένῳ φυγάδι μὴ βοηθήσαντα ζημίαν ὀφείλειν τάλαντον. ἂν δέ τις Ἀθήναζε διὰ τῆς Βοιωτίας ἐπὶ τοὺς τυράννους ὅπλα κομίζῃ μήτε ὁρᾶν τινα Θηβαίων μήτ' ἀκούειν. Idem repetit in Pelopida cap. 6. In Dinarcho contra Demofthenem p. 18. Lacedæmonii dicuntur edixiffe μηδένα Ἀθηναίων ὑποδέχεσθαι μηδ' ἐκπέμπειν. Ibidem p. 19. decretum Thebanum his verbis refertur: μὴ περιορᾶν ἐάν τις ὅπλα διὰ τῆς χώρας τῆς Ἀθηναίων ἔχων πορεύηται· ubi legendum eft: μηδέν' ὁρᾶν ἐάν τις Ἀθηναίων ὅπλα ἔχων διὰ τῆς χώρας πορεύηται. Reifkii emendatio vana eft.

§. 2. Θηβῶν. Ariftides Leuctrica Oratione ii. p. 152. παρασχόντες οἰκείαν καὶ φίλην τὴν σφετέραν αὐτῶν πόλιν, ἀζήμιον καὶ ἄλυπον τὸ μετοικεῖν ἀπέφηναν Ἀρχίνῳ, Θρασυβούλῳ, τοῖς ἄλλοις, οἳ πολλοὶ καθ' ἡμέραν ἐγίγνοντο.

ἑβδομήκοντα. Plutarchus ex Cratippo τοὺς ἀπὸ Φυλῆς ἑβδομήκοντα habet de Gloria Athenienf. p. 360. Cæterum Ariftoteles Rhetor. ad Alexandr. c. 9. nominat 50. Paufanias i. 29. ponit 60. Cornelius in Thrafybulo c. 2. non plus habuiffe fecum, ait, Thrafybulum, quam triginta de fuis. Scilicet numerus inter eundum paulatim accrevit, recte monente Weffelingio. Caftellum Phylen ab urbe diffitum fuiffe ftadiis centum, annotat Diodorus xiv. 32.

τοῖς τρισχιλίοις. Articulum omittunt A. J. Caft.

καὶ μάλ'. Copulam καὶ deleri malebat Morus.

[Καὶ μάλα rectiffime habet. Καὶ jam non eft copula, fed intendit, ut καὶ πάνυ et fimil. Cf. iii. 1. 22. iv. 5. 7. et 7. 2. *F. A. Wolfius.*]

§. 3. ἐκπολιορκήσειαν. Juntina ἐκπολιορκησείαντες. Caft. ἐκπολιορκήσαντες.

νιφόμενοι ἀπῆλθον. Diodorus l. c. ἐπεγενήθη πολὺς νιφετός. καί τινων ἐπιχειρησάντων μετασκηνοῦν, οἱ πολλοὶ φεύγειν αὐτοὺς ὑπέλαβον καὶ πλησίον τινὰ πολεμίαν δύναμιν εἶναι. Itaque, terrore

ἐς τὸ ἄστυ, μάλα συχνοὺς τῶν σκευοφόρων ἀπὸ τῶν ἐκ Φυλῆς ἀποβαλόντες. γιγνώσκοντες δὲ, ὅτι καὶ ἐκ τῶν 4 ἀγρῶν λεηλατήσοιεν, εἰ μή τις φυλακὴ ἔσοιτο, διαπέμπουσιν ἐς τὰς ἐσχατιὰς, ὅσον πεντεκαίδεκα στάδια ἀπὸ Φυλῆς, τούς τε Λακωνικοὺς πλὴν ὀλίγων φρουροὺς, καὶ τῶν ἱππέων δύο φυλάς. οὗτοι δὲ στρατοπεδευσάμενοι ἐν χωρίῳ λασίῳ, ἐφύλαττον. Ὁ δὲ Θρασύβουλος, ἤδη συνειλεγμένων ἐς τὴν Φυλὴν περὶ ἑπτακοσίους, λαβὼν αὐτοὺς, καταβαίνει τῆς νυκτός. θέμενος δὲ τὰ ὅπλα ὅσον τρία ἢ τέτταρα στάδια ἀπὸ τῶν φρουρῶν, ἡσυχίαν εἶχεν. 5 ἐπεὶ δὲ 6 πρὸς ἡμέραν ἐγίγνετο, καὶ ἤδη ἀνίσταντο, ὅποι ἐδεῖτο ἕκαστος, ἀπὸ τῶν ὅπλων, καὶ οἱ ἱπποκόμοι ψήχοντες τοὺς ἵππους ψόφον ἐποίουν, ἐν τούτῳ ἀναλαβόντες οἱ περὶ Θρασύβουλον τὰ ὅπλα, δρόμῳ προσέπιπτον· καὶ ἔστι μὲν οὓς αὐτῶν

panico ſparſo in caſtra, in alium ea transferunt locum. Poſtero demum die abiiſſe, apparet ex Xenophonte.

ἀπὸ τῶν. Dictum pro ὑπὸ defendit Morus.

§. 4. χωρίῳ λασίῳ. Loco ſilvis denſo. Cæterum hanc expeditionem intelligit Diodorus xiv. 32. ubi poſt narratam Eleuſiniorum cædem, legationemque a triginta viris Lacedæmonem miſſam, ita pergit: αὐτοὶ δ' ὅσους ἠδύναντο πλείστους ἀθροίσαντες ἐν ὑπαίθρῳ περιεστρατοπέδευσαν περὶ τὰς ὀνομαζομένας Ἀχαρνάς. Deinde cap. 33. ait, Thraſybulum cum exſulibus 1200. ſubito nocte impetum feciſſe in hoſtes (τῇ τῶν ἐναντίων παρεμβολῇ ἐπιθέμενος) multoſque occidiſſe atque omnes in urbem compuliſſe. Poſt hanc pugnam Thraſybulum occupaſſe Piræeum addit. Vides igitur de eadem Diodorum pugna loqui. Aberravit igitur a vero Weſſelingius in nota ad illum locum, qui pugnam infra deſcriptam ait intelligi. Cæterum ordinem rerum geſtarum verum nec hic in Diodoro præſtare auſim.

§. 5. τὴν Φυλήν. Ita cum Brodæo, Leoncl. et Stephano ſcribendum erat pro vulgato βουλήν.

εἶχεν. Leonclav. emendabat ἦγεν. Sed vide Valcken. ad Herodot. p. 515.

§. 6. ὅποι ἐδεῖτο ἕκαστος. Morus interpretatur: quilibet ſurrexerat a caſtris, quo uſus vocabat, ad ſua quiſque negotia. Verum ſi comparaveris locum ſimillimum infra vii. 1. 16. αἱ μὲν νυκτεριναὶ φυλακαὶ ἤδη ἔληγον, ἐκ δὲ τῶν στιβάδων ἀνίσταντο, ὅπου ἔκειτο ἕκαστος· ubi Leonclavii emendationem pro vulgato ἐδεῖτο recepit Morus. Quodſi ibi vulgatam cum Stephano defendere velis, ſaltem ὅποι ἐδεῖτο erit legendum. Sed utroque in loco legendum cenſeo ὅπου ἔκειτο. Verba ἀπὸ ὅπλων interpretatur Morus a caſtris. Atque ita etiam explicat Zeune in Anabaſi locutiones iſtas πρὸ τῶν ὅπλων ii. 4. 15. ἔξωθεν τῶν ὅπλων v. 7. 21. εἰς τὸ πρόσθεν τῶν ὅπλων iii. 1. 33. et ii. 2. 20. iii. 1. 3. et 40. Rationem hujus ſignificationis ſi bene explicaveris, multis etiam locis faciliorem interpretationem ut h. l. accommodabis. Igitur ponam notam prudentiſſimi Anabaſeos Interpretis, Equitis *de la Luzerne* p. 219: *Il reſulte de ces paſſages que le mot ὅπλα eſt pris ici dans ſon ſens naturel, pour les armes du Soldat, et quelles étoient placées chez les Grecs en avant des tentes, comme le ſont les faiſceaux dans nos camps.*

κατέλαβον, πάντας δὲ τρεψάμενοι ἐδίωξαν ἓξ ἢ ἑπτὰ στάδια· καὶ ἀπέκτειναν τῶν μὲν ὁπλιτῶν πλέον ἢ εἴκοσι καὶ ἑκατὸν, τῶν δὲ ἱππέων Νικόστρατόν τε, τὸν Καλὸν ἐπικαλούμενον, καὶ ἄλλους δὲ δύο, ἔτι καταλαβόντες ἐν ταῖς 7 εὐναῖς. ἐπαναχωρήσαντες δὲ, καὶ τρόπαιον στησάμενοι, συσκευασάμενοι ὅπλα τε, ὅσα ἔλαβον, καὶ σκεύη, ἀπῆλθον ἐπὶ Φυλῆς. Οἱ δὲ ἐξ ἄστεος ἱππεῖς βοηθήσαντες, τῶν μὲν πολεμίων οὐδένα ἔτι εἶδον· προσμείναντες δὲ, ἕως τοὺς νεκροὺς ἀνείλοντο οἱ προσήκοντες, ἀνεχώρησαν ἐς τὸ ἄστυ.

8 Ἐκ δὲ τούτου οἱ τριάκοντα, οὐκέτι νομίζοντες ἀσφαλῆ σφίσι τὰ πράγματα, ἐβουλήθησαν Ἐλευσῖνα ἐξιδιώσασθαι, ὥστε εἶναι σφίσι καταφυγὴν, εἰ δεήσοι. καὶ παραγγείλαντες τοῖς ἱππεῦσιν, ἦλθον ἐς Ἐλευσῖνα Κριτίας τε καὶ οἱ ἄλλοι τῶν τριάκοντα· ἐξέτασίν τε ποιήσαντες ἐν τοῖς ἱππεῦσι, φάσκοντες εἰδέναι βούλεσθαι, πόσοι εἶεν καὶ πόσης φυλακῆς προσδεήσοιντο, ἐκέλευον ἀπογράφεσθαι πάντας· τὸν δὲ ἀπογραψάμενον ἀεὶ διὰ τῆς πυλίδος ἐπὶ τὴν θάλατταν ἐξιέναι. ἐπὶ δὲ τῷ αἰγιαλῷ τοὺς μὲν ἱππέας ἔνθεν καὶ

ἔτι καταλαβόντες. Ita scripsi suadente Leoncl. pro ἐπικαταλαβόντες.

§. 8. ἐκ δὲ τούτου. Ante abitum tyrannorum ex urbe videtur accidisse, quod narrat Diodorus xiv. 32. tentatum a tyrannis Thrasybulum, ut in urbem rediret, in locum Theramenis succederet et decem exsules secum reduceret. Justinus v. 9. Post hæc Thrasybulum corrumpere, imperii societatem pollicentes, conantur. Quod cum non contigisset, auxilia a Lacedæmoniis petivere, quibus accitis iterato præliantur. Facit igitur cum Diodoro xiv. 32. qui legationem 30. virorum memorat ante occupatum a Thrasybulo Piræeum missam Lacedæmonem, deinde alteram a decemviris missam §. 33. Vide infra ad 4. §. 19.

Ἐλευσῖνα. Lysias contra Eratosth. p. 418. ἐλθὼν μετὰ τῶν συναρχόντων εἰς Σαλαμῖνα καὶ Ἐλευσῖνάδε τριακοσίους τῶν πολιτῶν ἀπήγαγεν ἐς τὸ δεσμωτήριον καὶ μιᾷ ψήφῳ αὐτῶν ἁπάντων θάνατον κατεψηφίσατο. Idem contra Agoratum p. 470. ἴστε μὲν γὰρ τοὺς ἐκ Σαλαμῖνος τῶν πολιτῶν κομισθέντας οἷοι ἦσαν καὶ ὅσοι καὶ οἵῳ ὀλέθρῳ—ἀπώλοντο. ἴστε δὲ τοὺς ἐξ Ἐλευσῖνος etc. Diodorus objectum Eleusiniis et Salaminiis, ait, fuisse in crimine consensum cum exsulibus, itaque omnes interfectos fuisse xiv. 32.

ἐν τοῖς ἱππεῦσι. Palmerius Exercit. p. 66. scribi voluit σὺν, adstante equitatu. Ita saltem vulgatam interpretari maluit Morus. Equidem nihil muto. Fingebant hanc equitum recensionem, eamque prætexebant consilio deterrimo. Loquendi formula eadem est in Anabasi v. 3. 3. ἐξέτασις ἐν τοῖς ὅπλοις γίγνεται καὶ ἀριθμὸς, ubi recte gallicus interpres vidit esse recensionem τῶν ὁπλιτῶν.

πόσης. A. Junt. πόσοι.

ἔνθεν κατέστησαν, τὸν δ᾽ ἐξιόντα ἀεὶ οἱ ὑπηρέται ξυνέδουν. ἐπεὶ δὲ πάντες ξυνειλημμένοι ἦσαν, Λυσίμαχον τὸν ἵππαρχον ἐκέλευσαν ἀναγαγόντα παραδοῦναι αὐτοὺς τοῖς ἕνδεκα. Τῇ δὲ ὑστεραίᾳ ἐς τὸ Ὠδεῖον παρεκάλεσαν τοὺς ἐν τῷ καταλόγῳ ὁπλίτας καὶ τοὺς ἄλλους ἱππέας. 9 Ἀναστὰς δὲ Κριτίας ἔλεξεν· Ἡμεῖς, ἔφη, ὦ ἄνδρες, οὐδὲν ἧττον ὑμῖν κατασκευάζομεν τὴν πολιτείαν, ἢ ἡμῖν αὐτοῖς. δεῖ οὖν ὑμᾶς, ὥσπερ καὶ τιμῶν μεθέξετε, οὕτω καὶ τῶν κινδύνων μετέχειν. τῶν οὖν ξυνειλεγμένων Ἐλευσινίων καταψηφιστέον ἐστὶν, ἵνα ταὐτὰ ἡμῖν καὶ θαῤῥῆτε καὶ φοβῆσθε. Δείξας δέ τι χωρίον, ἐς τοῦτο ἐκέλευσε φανερὰν φέρειν τὴν ψῆφον. Οἱ δὲ Λακωνικοὶ φρουροὶ ἐν τῷ ἡμίσει τοῦ Ὠδείου ἐξωπλισμένοι ἦσαν· 10 ἦν δὲ ταῦτα ἀρεστὰ καὶ τῶν πολιτῶν, ὅσοις τὸ πλεονεκτεῖν μόνον ἔμελεν.

Ἐκ δὲ τούτου λαβὼν ὁ Θρασύβουλος τοὺς ἀπὸ Φυλῆς, περὶ χιλίους ἤδη ξυνειλεγμένους, ἀφικνεῖται τῆς νυκτὸς ἐς τὸν Πειραιᾶ. Οἱ δὲ τριάκοντα, ἐπεὶ ᾔσθοντο ταῦτα, ἐβοήθουν εὐθὺς αὐτοῖς ξύν τε τοῖς Λακωνικοῖς, καὶ ξὺν τοῖς ἱππεῦσι καὶ τοῖς ὁπλίταις· ἔπειτα ἐχώρουν κατὰ τὴν ἐς τὸν Πειραιᾶ ἁμαξιτὸν ἀναφέρουσαν. Οἱ δὲ ἀπὸ Φυλῆς ἔτι 11 μὲν ἐπεχείρησαν μὴ ἀνιέναι αὐτούς· ἐπεὶ δὲ μέγας ὁ κύκλος ὢν πολλῆς φυλακῆς ἐδόκει δεῖσθαι, οὔπω πολλοῖς

*ἀναγαγόντα.* Morus emendabat: *ἀπαγαγόντα.* Sed qui ſunt in litore, dicuntur *ἀνάγεσθαι*, ut contra qui in litus deſcendunt, *καταβαίνειν, κατάγεσθαι.* Antea Margo Leoncl. *ἐκέλευον.*

§. 9. *ξυνειλεγμένων.* Morus malebat *ξυνειλημμένων.*

*φανερὰν—ψῆφον.* Hoc, quid ſit, vide ſupra ad cap. 3. §. 23.

§. 10. *Ὠδείου.* Cum et infra §. 24. equites *ἐν τῷ Ὠδείῳ* inſtructi ſtetiſſe dicantur, aream circa Odeum interpretatur Morus. De Odeo locus eſt claſſicus Plutarchi in Pericle cap. 13. *τὸ δ᾽ Ὠδεῖον τῇ μὲν ἐντὸς διαθέσει πολύεδρον καὶ πολύστυλον, τῇ δ᾽ ἐρέψει περικλινὲς καὶ κάταντες ἐκ μιᾶς ὀροφῆς πεποιημένον εἰκόνα λέγουσιν γενέσθαι καὶ μίμημα τῆς βασιλέως σκηνῆς.* De ſitu Odei bene nuper diſputavit *Barthelémy* in notis ſubjectis vol. i. libri egregii *Voyage du jeune Anacharſis.*

*ὅσοις.* Margo L. *οἷς.*

*εὐθὺς αὐτοῖς.* St. et Leoncl. *αὐτοῖς* delendum cenſuerunt; Kœppen in Specim. Emend. in Hellenica malebat *αὐτοὶ*, quod equidem præfero.

§. 11. *ἔτι μέν.* Vitium in lectione ſuſpicatur Morus. Forte *τέως* legendum eſt.

*ἀνιέναι.* Aditu prohibere eos. Similiter infra vii. 2. 12.

ὄσι, ξυνεσπειράθησαν ἐπὶ τὴν Μουνυχίαν. Οἱ δὲ ἐκ τοῦ ἄστεος ἐς τὴν Ἱπποδάμειον ἀγορὰν ἐλθόντες, πρῶτον μὲν ξυνετάξαντο, ὥστε ἐμπλῆσαι τὴν ὁδὸν, ἣ φέρει πρός τε τὸ ἱερὸν τῆς Μουνυχίας Ἀρτέμιδος καὶ τὸ Βενδίδειον· καὶ ἐγένοντο βάθος οὐκ ἔλαττον, ἢ ἐπὶ πεντήκοντα ἀσπίδων· οὕτω δὲ

12 ξυντεταγμένοι ἐχώρουν ἄνω. Οἱ δ᾽ ἀπὸ Φυλῆς ἀντανέπλησαν μὲν τὴν ὁδὸν, βάθος δὲ οὐ πλέον ἢ ἐς δέκα ὁπλίτας ἐγένοντο. ἐτάχθησαν μέντοι ἐπ᾽ αὐτοῖς πελτοφόροι τε καὶ ψιλοὶ ἀκοντισταὶ, ἐπὶ δὲ τούτοις οἱ πετροβόλοι. οὗτοι μέντοι συχνοὶ ἦσαν· καὶ γὰρ αὐτόθεν προσεγένοντο. Ἐν ᾧ δὲ προσήεσαν οἱ ἐναντίοι, Θρασύβουλος τοὺς μετ᾽ αὐτοῦ θέσθαι κελεύσας τὰς ἀσπίδας, καὶ αὐτὸς θέμενος, τὰ δ᾽ ἄλλα ὅπλα ἔχων, κατὰ μέσον στὰς, ἔλεξεν·

13 Ἄνδρες πολῖται, τοὺς μὲν διδάξαι, τοὺς δὲ ἀναμνῆσαι ὑμῶν βούλομαι, ὅτι εἰσὶ τῶν προσιόντων οἱ μὲν τὸ δεξιὸν ἔχοντες, οὓς ὑμεῖς ἡμέρα πέμπτῃ τρεψάμενοι ἐδιώξατε· οἱ δ᾽ ἐπὶ τοῦ εὐωνύμου ἔσχατοι, οὗτοι δὲ οἱ τριάκοντα, οἳ ἡμᾶς

Μουνυχίαν. Locum fuiſſe editum ſuſpiceris ex verbis §. 19. *κατεδίωξαν μέχρι τοῦ ὁμαλοῦ*, et §. 15. *ἡμεῖς δὲ ἐς τὸ κάταντες.* Diſerte Diodorus xiv. 33. *μετὰ δὲ τὴν μάχην—ὥρμησεν ἐπὶ τὸν Πειραιᾶ καὶ κατελάβετο Μουνυχίαν, λόφον ἔρημον καὶ καρτερόν.* Cæterum Lyſ. etiam p. 418. poſt Eleuſiniorum cædem memorat Piræeum occupatum. Ipſam pugnam Diodorus ita narrat, ut poſt Critiæ mortem exercitum urbanum in loca plana deſcendiſſe dicat; quo progredi non ſint auſi exſules. Cum multi ad exſules transfugiſſent, ſubito hos aggreſſos urbanum exercitum viciſſe atque ita Piræeo potitos fuiſſe. Ex Xenophonte apparet, de una eademque pugna hæc eſſe intelligenda.

Ἱπποδάμειον. Hippodamus Mileſius, idem Thurius dictus, architectus et philoſophus ætate Periclis primus urbium plateas dirigere docuit, Piræeum ordinavit atque forum ibi exornavit, auctore Ariſtotele Polit. ii. p. 127. ed. Victorii et Scholiaſte Ariſtophan. ad Equites verſu 327. Novam architectonicæ artis rationem *τὸν νεώτερον καὶ Ἱπποδάμειον τρόπον* appellat Ariſtoteles Politic. vii. 11.

[*ἐς τὴν Ἱπποδάμειον ἀγοράν.* Correxit neſcio quis *Ἱπποδάμειαν*, quam conjecturam margini meo adſcripſi. Vere, ut docet Harpocratio et alii. Conf. Palmer. Exercitt. p. 646. *F. A. Wolfius.*]

Βενδίδειον. De Dianæ hoc cognomine, templo et ſacris vide quos laudavit Ruhnken. ad Timæum Gloſſ. p. 62.

§. 12. *ἐπ᾽ αὐτοῖς.* Ita jubente Leoncl. ſcripſi pro *αὐτοὺς*.

*αὐτόθεν.* A. J. Br. Caſt. *αὐτόθι.*

§. 13. *ἡμέρα πέμπτῃ.* Margo Leonclav. *ἡμέραν πέμπτην.* In Cyrop. vi. 3. 11. *καὶ χθὲς δὲ καὶ τρίτην ἡμέραν τὸ αὐτὸ τοῦτο ἔπραττον·* ubi ineptiſſime interpretatur *τρεῖς ἡμέρας* Grammaticus ineditus, cujus lautitiarum partem appoſuit nobis Ruhnken. Diſſert. de Antiphonte p. 824. ed. Reiſke.

*οὗτοι δέ.* Morus *οὗτοι δὴ* malebat.

καὶ πόλεως ἀπεστέρουν οὐδὲν ἀδικοῦντας, καὶ οἰκιῶν ἐξήλαυνον, καὶ τοὺς φιλτάτους τῶν ἡμετέρων ἀπεσημαίνοντο. ἀλλὰ νῦν τοι παραγεγένηνται, οὗ οὗτοι μὲν οὔποτε ᾤοντο, ἡμεῖς δὲ ἀεὶ εὐχόμεθα. Ἔχοντες γὰρ ὅπλα μὲν ἐναντίοι αὐτοῖς 14 καθέσταμεν· οἱ δὲ Θεοὶ, ὅτι ποτὲ καὶ δειπνοῦντες ξυνελαμβανόμεθα καὶ καθεύδοντες καὶ ἀγοράζοντες, οἱ δὲ καὶ οὐχ ὅπως ἀδικοῦντες, ἀλλ' οὐδ' ἐπιδημοῦντες ἐφυγαδευόμεθα, νῦν φανερῶς ἡμῖν ξυμμαχοῦσι. καὶ γὰρ ἐν εὐδίᾳ χειμῶνα ποιοῦσιν, ὅταν ἡμῖν ξυμφέρῃ· καὶ ὅταν ἐπιχειρῶμεν, πολλῶν ὄντων ἐναντίων, ὀλίγοις οὖσι τρόπαια ἵστασθαι διδόασι. Καὶ νῦν δὲ κεκομίκασιν ἡμᾶς ἐς χωρίον, ἐν ᾧ 15 οὗτοι μὲν οὔτε βάλλειν οὔτε ἀκοντίζειν ὑπὲρ τῶν προτεταγμένων, διὰ τὸ πρὸς ὄρθιον ἰέναι, δύναιντ' ἄν· ἡμεῖς δὲ, ἐς τὸ κάταντες καὶ δόρατα ἀφιέντες καὶ ἀκόντια καὶ πέτρους, ἐξιξόμεθά τε αὐτῶν, καὶ πολλοὺς κατατρώσομεν. Καὶ 16 ᾤετο μὲν ἄν τις δεήσειν τοῖς γε πρωτοστάταις ἐκ τοῦ ἴσου μάχεσθαι· νῦν δὲ, ἂν ὑμεῖς, ὥσπερ προσήκει, προθύμως ἀφιῆτε τὰ βέλη, ἁμαρτήσεται μὲν οὐδεὶς, ὧν γε μεστὴ ἡ ὁδὸς, φυλαττόμενοι δὲ δραπετεύσουσιν ἀεὶ ὑπὸ ταῖς ἀσπίσιν· ὥστε ἐξέσται ὥσπερ τυφλοὺς καὶ τύπτειν, ὅπου ἂν βουλοίμεθα, καὶ ἐναλλομένους ἀνατρέπειν. Ἀλλ', ὦ ἄνδρες, οὕτω χρὴ 17 ποιεῖν, ὅπως ἕκαστός τις ἑαυτῷ ξυνείσεται τῆς νίκης αἰτιώτατος ὤν. αὕτη γὰρ ἡμῖν, ἂν Θεὸς θέλῃ, νῦν ἀποδώσει

*πόλεως*. Edd. veteres *πόλεων*.

*τοὺς φιλτάτους*. Fr. Portus emendabat *τὰ φιλτάτα*, quam conjecturam nuper repetiit Kœppen, aut *ἀπελυμαίνοντο*.

§. 14. *οἱ δὲ Θεοί*. Poſt hæc Bryl. Caſt. et Leonclavius inſerunt *εἰδότες*. Quæ, ſi codicis conſenſu approbetur, acceſſio, mihi placeret. Deinceps *ποτὲ* in *τότε* mutandum ſuſpicatur Morus.

*οἱ δὲ καί*. Verba *οἱ δὲ* ut plane ſupervacua delenda cenſet Morus; equidem ad ſenſum et oppoſitionem neceſſaria cenſeo.

*οὐχ ὅπως*. Ita recte Bryl. et Caſt. probante Leoncl. pro *οὐχ οὕτως*. In Diodoro xiii. 102. eſt: *οὐχ' οἷον ἠδικηκότες τε τὴν πόλιν, ἀλλὰ ναυμαχίαν νενικηκότας*. Sed ibi legendum, ut alibi, *οὐχ ὅπως*.—Deinceps Marg. Leoncl. *ἐγχειρῶμεν*.

§. 15. *ἐξιξόμεθα*. In Bryl. Caſt. eſt *ἀψόμεθα*; ex quo Brodæus monſtroſe *ἀξιομαχισόμεθα* efficiebat.

§. 16. *πρωτοστάταις*. Recte hoc ſubſtituit vulgato *προστάταις* Morus. Eadem vocabula permutata fuerant in Hipparchico ii. 3. et 6.

*βουλοίμεθα*. L. et St. *βουλώμεθα*.

καὶ πατρίδα, καὶ οἴκους, καὶ ἐλευθερίαν, καὶ τιμὰς, καὶ παῖδας, οἷς εἰσι, καὶ γυναῖκας. Ὦ μακάριοι δῆτα, οἳ ἂν ἡμῶν νικήσαντες ἐπίδωσι τὴν πασῶν ἡδίστην ἡμέραν. Εὐδαίμων δὲ καὶ, ἄν τις ἀποθάνῃ. μνημείου γὰρ οὐδεὶς οὕτω πλούσιος ὢν καλοῦ τεύξεται. ἐξάρξω μὲν οὖν ἐγὼ, ἡνίκ᾽ ἂν καιρὸς ᾖ, παιᾶνα· ὅταν δὲ τὸν Ἐνυάλιον παρακαλέσωμεν, τότε πάντες ὁμοθυμαδὸν, ἀνθ᾽ ὧν ὑβρίσθημεν, τιμωρώμεθα τοὺς ἄνδρας.

18 Ταῦτα δ᾽ εἰπὼν, καὶ μεταστραφεὶς πρὸς τοὺς ἐναντίους, ἡσυχίαν εἶχε· καὶ γὰρ ὁ μάντις παρήγγειλεν αὐτοῖς, μὴ πρότερον ἐπιτίθεσθαι, πρὶν ἂν τῶν σφετέρων ἢ πέσοι τὶς, ἢ τρωθείη· ἐπειδὰν μέντοι τοῦτο γένηται, ἡγησόμεθα μὲν, ἔφη, ἡμεῖς· νίκη δὲ ἡμῖν ἔσται ἑπομένη, ἐμοὶ μέντοι θάνα-19τος, ὥς γε μοὶ δοκεῖ. Καὶ οὐκ ἐψεύσατο, ἀλλ᾽ ἐπεὶ ἀνέλαβον τὰ ὅπλα, αὐτὸς μὲν, ὥσπερ ὑπὸ μοίρας τινὸς ἀγόμενος, ἐκπηδήσας πρῶτος, ἐμπεσὼν τοῖς πολεμίοις ἀποθνήσκει, καὶ τέθαπται ἐν τῇ διαβάσει τοῦ Κηφισσοῦ· οἱ δ᾽ ἄλλοι ἐνίκων, καὶ κατεδίωξαν μέχρι τοῦ ὁμαλοῦ. ἀπέθανον δ᾽ ἐνταῦθα τῶν μὲν τριάκοντα Κριτίας τε καὶ Ἱππόμαχος, τῶν δ᾽ ἐν Πειραιεῖ δέκα ἀρχόντων Χαρμίδης ὁ Γλαύκωνος,

§. 17. οὐδεὶς οὕτω. Emendabat hæc Kœppen: οὐδεὶς οὐδὲ πλούσιος ὢν οὕτω καλοῦ. Poſſis etiam καὶ ante πλούσιος inſerere.

ἐξάρξω μὲν οὖν. Hanc lectionem ex margine L. et St. ſubſtitui vulgatæ ἐξάρξομαι οὖν. Ita enim ubique loquitur Xenophon.

§. 19. ἀνέλαβον. Hanc ex margine L. et St. ſubſtitui iterum vulgatæ ἀνέλαβε. Sed reliquis militibus, qui arma ceperant, opponitur αὐτός.

Ἱππόμαχος. Juſtinus v. 9. Critiam et Hippolochum nominat.

τῶν δ᾽ ἐν Πειραιεῖ δέκα. De decem his Piræei archontibus mira commentus eſt Morus, qui a nullo præterea ſcriptore commemoratos fuiſſe putabat. At clare Plutarchus in Lyſandro cap. 15. τριάκοντα μὲν ἐν ἄστει δέκα δ᾽ ἐν Πειραιεῖ καταστήσας ἄρχοντας. Ex horum numero fuit Molpis etiam, ut ex Lyſia et Androtione annotavit Harpocratio. Charmides Glauconis eſt idem, de quo dixi ad Memorab. iii. 7. Ipſum Glauconem aquæ potorem inter decem Piræei tyrannos recenſet Pythermus apud Athenæum ii. p. 44. De decem Piræei archontibus bene etiam docuit Taylor in vita Lyſiæ p. 132. et locum ex epiſtola Platonis vii. attulit clariſſimum hunc: καὶ τῆς μεταβολῆς εἷς καὶ πεντήκοντά τινες ἄνδρες προέστησαν ἄρχοντες, ἕνδεκα μὲν ἐν ἄστει, δέκα δ᾽ ἐν Πειραιεῖ, περί τε ἀγορὰν ἑκάτεροι τούτων ὅσα τ᾽ ἐν τοῖς ἄστεσι διοικεῖν ἔδει, τριάκοντα δὲ πάντων ἄρχοντες κατέστησαν αὐτοκράτορες. De his iterum Noſter infra §. 38.

τῶν δ᾽ ἄλλων περὶ ἑβδομήκοντα. καὶ τὰ μὲν ὅπλα ἔλαβον, τοὺς δὲ χιτῶνας οὐδενὸς τῶν πολιτῶν ἐσκύλευσαν. ἐπεὶ δὲ τοῦτο ἐγένετο, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπεδίδοσαν, προσιόντες ἀλλήλοις πολλοὶ διελέγοντο. Κλεόκριτος 20 δὲ, ὁ τῶν Μυστῶν κῆρυξ, μάλ᾽ ἔμφωνος ὢν, κατασιωπησάμενος ἔλεξεν· Ἄνδρες πολῖται, τί ἡμᾶς ἐξελαύνετε; τί ἀποκτεῖναι βούλεσθε; ἡμεῖς γὰρ ὑμᾶς κακὸν οὐδεπώποτε ἐποιήσαμεν, μετεσχήκαμεν δὲ ὑμῖν καὶ ἱερῶν τῶν σεμνοτάτων, καὶ θυσιῶν, καὶ ἑορτῶν τῶν καλλίστων, καὶ ξυγχορευταὶ καὶ ξυμφοιτηταὶ γεγενήμεθα, καὶ ξυστρατιῶται, καὶ πολλὰ μεθ᾽ ὑμῶν κεκινδυνεύκαμεν κατὰ γῆν καὶ κατὰ θάλατταν, ὑπὲρ τῆς κοινῆς ἀμφοτέρων ἡμῶν σωτηρίας τε καὶ ἐλευθερίας. Πρὸς θεῶν πατρῴων καὶ μητρῴων, καὶ 21 ξυγγενείας, καὶ κηδεστίας, καὶ ἑταιρίας, (πάντων γὰρ τούτων πολλοὶ κοινωνοῦμεν ἀλλήλοις) αἰδούμενοι καὶ θεοὺς καὶ ἀνθρώπους, παύσασθε ἁμαρτάνοντες ἐς τὴν πατρίδα, καὶ μὴ πείθεσθε τοῖς ἀνοσιωτάτοις τριάκοντα, οἳ ἰδίων κερδέων ἕνεκα ὀλίγου δεῖν πλείους ἀπεκτόνασιν Ἀθηναίων ἐν ὀκτὼ

χιτῶνας. Cornelius Nepos Thrasyb. c. 2. neminem jacentem veste spoliavit, nil attigit nisi arma, quorum indigebat, et quæ ad victum pertinebant.

προσιόντες. Margo L. addit τε.

§. 20. [Κλεόκριτος. Cleocritum ut magnum et pinguem hominem cum Cinesia exili ridet Aristophanes in Ranis versu 1485. Deinde in seriore dramate Avium versu 877. Cybelem matrem Cleocriti appellat; quod varie interpretantur scholia, quæ monent, Cleocritum etiam ab Eupoli in dramate Κόλαξι irrisum fuisse. *Ex Addendis.*]

ἔμφωνος. Margo L. εὔφωνος; quod equidem probo, etsi ex Polluce ii. 111. vulgatam formam affert Morus.

κατασιωπησάμενος. Infra v. 4. 7. est φοβήσαντες κατεσιώπησαν.

τί ἡμᾶς. Orationem hanc convertit et Lysandro tribuit Justinus v. 10. Cur se victorem fugiant potius quam ut vindicem communis libertatis adjuvent? Civilem illam meminerint aciem, non hostium esse; nec se ideo arma cepisse, ut aliqua victis adimat, sed ut ademta restituat; triginta se dominis, non civitati, se bellum inferre. Admonet deinde cognationis, legum, sacrorum communium, tum vetusti per tot bella commilitii; orat, misereantur civium exsulum, si tam patienter ipsi serviant, reddant sibi patriam, accipiant libertatem etc.

ὑμᾶς κακόν. Post κακὸν St. et L. insertum habent μὲν, quod mihi post ἡμεῖς collocandum videtur.

μετεσχήκαμεν. Morus συμμετεσχήκαμεν emendat; quod probo.

§. 21. ὀκτὼ μησί. Ex hoc loco conficitur, triginta viros imperium integrum annum non tenuisse, quod contra Diodorum docuit Dodwell, Taylor in vita Lysiæ et Wesseling ad Diodori xiv. 33.

μησὶν, ἢ πάντες Πελοποννήσιοι, δέκα ἔτη πολεμȣ̃ντες.
22 ἐξὸν δ' ἡμῖν ἐν εἰρήνῃ πολιτεύεσθαι, ȣ̃τοι τῶν πάντων αἴσχιϛόν τε καὶ χαλεπώτατον, καὶ ἀνοσιώτατον, ϗ ἔχθιϛον καὶ θεοῖς καὶ ἀνθρώποις πόλεμον ἡμῖν πρὸς ἀλλήλȣς παρέχουσιν. ἀλλ' εὖ γε μέντοι ἐπίϛασθε, ὅτι καὶ τῶν νῦν ὑφ' ἡμῶν ἀποθανόντων οὐ μόνον ὑμεῖς, ἀλλὰ καὶ ἡμεῖς ἔϛιν ȣ̃ς πολλὰ κατεδακρύσαμεν.

Ὁ μὲν τοιαῦτα ἔλεγεν. οἱ δὲ λοιποὶ ἄρχοντες, ϗ διὰ τὸ τοιαῦτα προσακηκόειν, τȣ̀ς μεθ' ἑαυτῶν ἀπήγαγον ἐς
23 τὸ ἄϛυ. τῇ δ' ὑϛεραίᾳ οἱ μὲν τριάκοντα πάνυ δὴ ταπεινοὶ καὶ ἔρημοι ξυνεκάθηντο ἐν τῷ ξυνεδρίῳ· τῶν δε τρισχιλίων ὅπου ἕκαϛοι τεταγμένοι ἦσαν, πανταχȣ̃ διεφέροντο πρὸς ἀλλήλους. ὅσοι μὲν γὰρ ἐπεποιήκεσάν τι βιαιότερον, καὶ ἐφοβȣ̃ντο, ἐντόνως ἔλεγον, ὡς οὐ χρὴ καθυφίεσθαι τοῖς ἐν Πειραιεῖ· ὅσοι δὲ ἐπίϛευον μηδὲν ἠδικηκέναι, αὐτοί τε ἀνελογίζοντο, ϗ τȣ̀ς ἄλλȣς ἐδίδασκον, ὡς ȣ̓δὲν δέοιντο τȣ́των τῶν κακῶν, καὶ τοῖς τριάκοντα ȣ̓κ ἔφασαν χρῆναι πείθεσθαι, ȣ̓δ' ἐπιτρέπειν ἀπολλύναι τὴν πόλιν. Καὶ τὸ τελευταῖον ἐψηφίσαντο, ἐκείνȣς μὲν καταπαῦσαι, ἄλλȣς δὲ
24 Ol. 94. 2. ἑλέσθαι. Καὶ εἵλοντο δέκα, ἕνα ἀπὸ Φυλῆς. ϗ οἱ μὲν

δέκα ἔτη. Longum tempus fimpliciter fignificari putat Morus; ego vero in hiftoria rationem numeri exquirendam puto.

§. 22. καὶ ἔχθιϛον. Copulam omittunt A. J. Br. Caft.

ὑφ' ἡμῶν. Caftal. ὑμῶν.

οἱ δὲ λοιποί. Reliquos 28. tyrannos intelligit Morus; contra Fr. Portus fuperftites novem Piræei archontes. Male.

καὶ διά. Quoniam aliquid deeffe videbatur Fr. Porto, inferebat poft ϗ hæc: οἱ τριάκοντα. Ordinem rerum geftarum ita narrat Lyfias contra Eratofth. p. 419. οἱ μὲν γὰρ ἐκ Πειραιῶς κρείττους ὄντες εἴασαν αὐτȣ̀ς ἀπελθεῖν, οἱ δὲ εἰς τὸ ἄϛυ ἐλθόντες τοὺς μὲν τριάκοντα ἐξέβαλον πλὴν Φείδωνος καὶ Ἐρατοσθένȣς, ἄρχοντας δὲ τοὺς ἐκείνοις ἐχθίϛȣς εἵλοντο ἡγȣ́μενοι δικαίως ἂν ὑπὸ τῶν αὐτῶν τȣ́ς τε τριάκοντα μισεῖσθαι ϗ τȣ̀ς ἐν Πειραιεῖ φιλεῖσθαι. τȣ́των τοίνυν Φείδων ὁ τῶν τριάκοντα γενόμενος καὶ Ἱπποκλῆς καὶ Ἐπιχάρης ὁ Λαμπρεὺς καὶ ἕτεροι οἱ δοκȣ̃ντες εἶναι ἐναντιώτατοι Χαρικλεῖ καὶ Κριτίᾳ καὶ τῇ ἐκείνων ἑταιρείᾳ ἐπεὶ δὴ αὐτοὶ εἰς τὴν ἀρχὴν κατέϛησαν, πολὺ μείζω ϛάσιν καὶ πόλεμον ἐπὶ τοὺς ἐν Πειραιεῖ ἢ τȣ̀ς ἐξ ἄϛεος ἐποίησαν.

§. 23. διεφέροντο. Lyfias p. 776. ἐπειδὴ δὲ πυνθάνοισθε τȣ̀ς μὲν τρισχιλίȣς ϛασιάζοντας ἐκ τοῦ ἄϛεος, τοὺς ἄλλους δὲ πολίτας ἐκκεκηρυγμένȣς, τȣ̀ς δὲ τριάκοντα μὴ τὴν αὐτὴν γνώμην ἔχοντας, πλείȣς δ' ὄντας τȣ̀ς ὑπὲρ ὑμῶν δεδιότας, ἢ τȣ̀ς ὑμῖν πολεμȣ̃ντας, τότ' ἤδη καὶ κατιέναι προσεδοκᾶτε.

χρῆναι. A. J. Br. Caft. χρῆν.

τριάκοντα Ἐλευσῖνάδε ἀπῆλθον· οἱ δὲ δέκα, τῶν ἐν ἄστει καὶ μάλα τεταραγμένων καὶ ἀπιστούντων ἀλλήλοις, ξὺν τοῖς ἱππάρχοις ἐπεμέλοντο. ἐξεκάθευδον δὲ καὶ οἱ ἱππεῖς ἐν τῷ Ὠδείῳ, τούς τε ἵππους καὶ τὰς ἀσπίδας ἔχοντες, καὶ δι' ἀπιστίαν ἐφώδευον μὲν ἀφ' ἑσπέρας ξὺν ταῖς ἀσπίσι κατὰ τὰ τείχη, τὸ δὲ πρὸς ὄρθρον ξὺν τοῖς ἵπποις, ἀεὶ φοβούμενοι, μὴ ἐπεισπέσοιέν τινες αὐτοῖς τῶν ἐκ τοῦ Πειραιῶς. Οἱ δὲ, πολλοὶ ὄντες καὶ παντοδαποὶ, ὅπλα ἐποιοῦντο, οἱ μὲν ξύλινα, οἱ δὲ οἰσύϊνα, καὶ ταῦτα ἐλευκοῦντο. πρὶν δὲ ἡμέρας δέκα γενέσθαι, πιστὰ δόντες, οἵτινες ξυμπολεμήσειαν, καὶ εἰ ξένοι εἶεν, ἰσοτέλειαν ἔσεσθαι, ἐξῄεσαν πολλοὶ μὲν ὁπλῖται, πολλοὶ δὲ γυμνῆτες, (ἐγένοντο δὲ αὐτοῖς καὶ ἱππεῖς ὡσεὶ ἑβδομήκοντα) προνομὰς δὲ ποιούμενοι, καὶ λαμβάνοντες ξύλα καὶ ὀπώραν, ἐκάθευδον πάλιν ἐν Πειραιεῖ. Τῶν δ' ἐκ τοῦ ἄστεος ἄλλος μὲν οὐδεὶς ξὺν ὅπλοις ἐξῄει, οἱ δὲ ἱππεῖς ἔστιν ὅτε καὶ λῃστὰς ἐχειροῦντο τῶν

25 26

§. 24. Ἐλευσῖνάδε. Diodorus xiv. 33. τοῖς δ' εὐλαβουμένοις μήτι πάθωσι διὰ τὰ γενόμενα κατὰ τὸ συνεχὲς αὐτῶν ἀδικήματα, τὴν Ἐλευσῖνα κατοικεῖν συνεχώρησαν.

οἱ δὲ δέκα. Hos alii Δεκαδούχους appellarunt, auctore Harpocratione. Nominat ex iis Lyſias Eratoſthenem, Phidonem, Hippoclem, Epicharem: ex Lyſia Molpin Harpocratio. Iſocrates contra Callimachum p. 728. Rhinonem; ita enim legit Harpocratio, ubi vulgo Œnon nominatur. De Rhinone fragmentum Politianum Heraclidis Pontici: τούτων δὲ καταλυθέντων Θρασύβουλος καὶ Ῥίνων προεστήκεσαν, ὃς ἦν ἀνὴρ καλὸς κἀγαθός.

§. 25. πολλοί. Margo Leonclavii πολλοί τε ἤδη ὄντες. Exſulibus Lyſias orator, qui fabricam aſpidum Athenis exercebat, drachmas 2000. præbuit, aſpides 200, milites mercede conduxit 302. et a Thraſydæo Eleo talenta duo mutuatus eundem in uſum convertit, auctore Plutarcho in vita Lyſiæ p. 322. Alios, qui exſules adjuvarunt, nominat Lyſias p. 881. Gelarchum quendam quinque talenta ſuppeditaſſe, a populo deinde ſuadente Ariſtophonte reddita ei refert Demoſth. contra Leptinem ſect. 128.

ἐλευκοῦντο. Polire interpretatur Morus. Ita quidem infra libro vii. eſt λευκοῦσθαι τὰ κράνη. Sed h. l. lignea ſcuta (quæ ſunt ὅπλα) aut viminea non poſſunt poliri, ſed dealbantur creta aut calce inducta. Ita γραμματεῖον λελευκωμένον et λεύκωμα dicitur tabula dealbata apud Demoſthenem. Qui alibi λευκάσπιδες et λευκοθώρακες ſunt, quo ſenſu dicantur, ignoro.

ἰσοτέλειαν. Inquilini, μέτοικοι, qui nullum μετοίκιον ſolvunt, ſed æquo ſunt cum civibus jure in tributis pendendis, ἰσοτελεῖς dicuntur. Ita Lyſias, qui Thraſybulum adjuverat, poſt reditum exſulum a jure civitatis repulſus, τὸν λοιπὸν χρόνον ᾤκησεν ἰσοτελὴς ὢν, auctore Plutarcho in Lyſia p. 323. Accurate de ἰσοτελείᾳ tradidit nuper V. C. Wolf. ad Demoſth. Leptineam Prolog. p. 70.

ἐκ τοῦ Πειραιῶς, καὶ τὴν φάλαγγα αὐτῶν ἐκακούργουν. περιέτυχον δὲ καὶ τῶν Αἰξωνέων τισὶν, ἐς τοὺς αὐτῶν ἀγροὺς ἐπὶ τὰ ἐπιτήδεια πορευομένοις· καὶ τούτους Λυσίμαχος ὁ ἵππαρχος ἀπέσφαξε, πολλὰ λιτανεύοντας, καὶ πολλῶν 27 χαλεπῶς φερόντων ἱππέων. Ἀνταπέκτειναν δὲ καὶ οἱ ἐν Πειραιεῖ τῶν ἱππέων ἐπ᾽ ἀγροῦ λαβόντες Καλλίστρατον, φυλῆς Λεοντίδος· καὶ γὰρ ἤδη μέγα ἐφρόνουν, ὥστε καὶ πρὸς τὸ τεῖχος τοῦ ἄστεος προσέβαλον. εἰ δὲ καὶ τοῦτο δεῖ εἰπεῖν τοῦ μηχανοποιοῦ, τοῦ ἐν τῷ ἄστει, ὃς, ἐπεὶ ἔγνω, ὅτι κατὰ τὸν ἐκ Λυκείου δρόμον μέλλοιεν τὰς μηχανὰς προσάγειν, τὰ ζεύγη ἐκέλευσε πάντα ἁμαξιαίους λίθους ἄγειν, καὶ καταβάλλειν, ὅπου ἕκαστος βούλοιτο τοῦ δρόμου. ὡς δὲ τοῦτο ἐγένετο, πολλὰ εἷς ἕκαστος τῶν λίθων πράγματα 28 παρεῖχε. Πεμπόντων δὲ πρέσβεις ἐς Λακεδαίμονα, τῶν μὲν τριάκοντα ἐξ Ἐλευσῖνος, τῶν δ᾽ ἐν καταλόγῳ ἐξ ἄστεος, καὶ βοηθεῖν κελευόντων, ὡς ἀφεστηκότος τοῦ δήμου ἀπὸ Λακεδαιμονίων, Λύσανδρος λογισάμενος, ὅτι οἷόν τε εἴη, ταχὺ ἐκπολιορκῆσαι τοὺς ἐν τῷ Πειραιεῖ κατά τε γῆν

§. 26. Αἰξωνέων. Ita emendavit vulgatum ἔξω νέων Palmerius Exercit. p. 66. et egregius Valckenair. in Diatribe Euripid. p. 292. Cur οἱ ἔξω νέοι dicantur, nec ſimpliciter τισὶν, ſi non voluit demum ſimul indicare, non indicavit Morus, qui Palmerii emendationem ſprevit.

§. 27. πρὸς τὸ τεῖχος. Lyſias pro Polyſtrato p. 688. καταδρομῆς γενομένης τῶν φυγάδων, οἳ οὐ μόνον ἐνθάδε, ὅ, τι οἷοί τε ἦσαν, κακὸν ἠργάζοντο, ἀλλὰ καὶ ἀπὸ τοῦ τείχους ἔφερον καὶ ἦγον ὑμᾶς, ἐξελάσας ἐκ τῶν ἄλλων ἱππέων ἕνα ἀπέκτεινεν. Graviora memorat Iſocrates de Bigis p. 682. καταλαβόντες τὸν Πειραιᾶ καὶ τὸν σῖτον τὸν ἐν τῇ χώρᾳ διεφθείρετε; καὶ τὴν γῆν ἐτέμνετε; καὶ τὰ προάστεια ἐνεπρήσατε; καὶ τελευτῶντες τοῖς τείχεσι προσεβάλετε;

εἰ δὲ καὶ τοῦτο. Uſque ad ὃς deeſſe apodoſin monuit Morus.

μηχανοποιοῦ. Plutarchus in Arato c. 6. Euphranorem μηχανοποιὸν habet, qui ſcalas compingebat.

ζεύγη. Hanc Atticam formam vulgatæ ζεύγεα ſubſtituere juſſit Leoncl.

§. 28. πεμπόντων. Diodorus xiv. 32. legationem 30. tyrannorum memorat ante occupatum a Thraſybulo Piræeum; alteram §. 33. a decemviris miſſam. Lyſias contra Eratoſth. p. 422. Φείδων αἱρεθεὶς ὑμᾶς διαλλάξαι καὶ καταγαγεῖν, τῶν αὐτῶν ἔργων Ἐρατοσθένει μετεῖχε—ἀλλ᾽ ἐλθὼν εἰς Λακεδαίμονα ἔπειθεν αὐτοὺς στρατεύεσθαι, διαβάλλων ὅτι Βοιωτῶν ἔσται ἡ πόλις καὶ ἄλλα λέγων—οὐ δυνάμενος δὲ τούτων τυχεῖν—ἑκατὸν τάλαντα ἐδανείσατο, ἵνα ἔχῃ ἐπικούρους μισθοῦσθαι, καὶ Λύσανδρον ἄρχοντα ᾐτήσαντο—μισθωσάμενοι δὲ πάντας ἀνθρώπους ἐπ᾽ ὀλέθρῳ τῆς πόλεως, καὶ πόλεις ἐπάγοντες καὶ τελευτῶντες Λακεδαιμονίους καὶ τῶν συμμάχων ὁπόσους ἐδύναντο πεῖσαι.

καὶ κατὰ θάλατταν, εἰ τῶν ἐπιτηδείων ἀποκλεισθείησαν, ξυνέπραξεν, ἑκατόν τε τάλαντα αὐτοῖς δανεισθῆναι, καὶ αὐτὸν μὲν κατὰ γῆν ἁρμοστὴν, Λίβυν δὲ τὸν ἀδελφὸν ναυαρχοῦντα ἐκπεμφθῆναι. καὶ ἐξελθὼν αὐτὸς μὲν Ἐλευσῖνάδε, ξυνελέγετο ὁπλίτας πολλοὺς Πελοποννησίων· ὁ δὲ ναύαρχος 29 κατὰ θάλατταν ἐφύλαττεν, ὅπως μηδὲν ἐσπλέοι αὐτοῖς τῶν ἐπιτηδείων· ὥστε ταχὺ πάλιν ἐν ἀπορίᾳ ἦσαν οἱ ἐν Πειραιεῖ, οἱ δ᾽ ἐν τῷ ἄστει πάλιν αὖ μέγα ἐφρόνουν ἐπὶ τῷ Λυσάνδρῳ. Οὕτω δὲ προχωρούντων, Παυσανίας ὁ βασιλεὺς, φθονήσας Λυσάνδρῳ, εἰ κατειργασμένος ταῦτα ἅμα μὲν εὐδοκιμήσοι, ἅμα δὲ ἰδίας ποιήσαιτο τὰς Ἀθήνας, πείσας τῶν Ἐφόρων τρεῖς, ἐξάγει φρουράν. ξυνείποντο 30 δὲ καὶ οἱ ξύμμαχοι πάντες, πλὴν Βοιωτῶν καὶ Κορινθίων. οὗτοι δ᾽ ἔλεγον μὲν, ὅτι οὐ νομίζοιεν εὐορκεῖν ἂν στρατευόμενοι ἐπ᾽ Ἀθηναίους, μηδὲν παράσπονδον ποιοῦντας· ἔπραττον δὲ ταῦτα, ὅτι ἐγίγνωσκον Λακεδαιμονίους βουλομένους τὴν τῶν Ἀθηναίων χώραν οἰκείαν καὶ πιστὴν ποιήσασθαι. Ὁ δὲ Παυσανίας ἐστρατοπεδεύσατο μὲν ἐν τῷ Ἁλιπέδῳ καλουμένῳ πρὸς τῷ Πειραιεῖ, δεξιὸν ἔχων κέρας, Λύσανδρος δὲ ξὺν τοῖς μισθοφόροις τὸ εὐώνυμον. πέμπων δὲ πρέσβεις 31

ἑκατὸν τάλαντα. Hæc deinde poſt reditum exſulum populus miro humanitatis exemplo ſolvit, teſtante Demoſthene contra Leptin. pag. 460. Iſocrate Areopag. p. 298. Summam argenti poſuit etiam Plutarch. Lyſandri c. 21. Præter hæc centum talenta, duo etiam talenta a Bœotis mutuati fuerant exſules, ut puto, auctore Lyſia contra Nicomach. p. 860. —Deinceps A. J. Br. Caſt. δανισθῆναι.

ξυνελέγετο. In edit. L. et St. eſt ξυνέλεγεν. In margine L. ξυνελέγετο Πελοποννησίους πολλούς. Lyſandrum milites mille et naves 40 adduxiſſe ait Diodorus xiv. 33.

προχωρούντων. Sc. τῶν πραγμάτων.

§. 30. Κορινθίων. Huc refert Morus Κορινθίους τοὺς ἀφεστῶτας in Plutarchi Lyſandro c. 22. ſed expeditio illa obſcura eſt et dubia.

Ἁλιπέδῳ. De hac expeditione Lyſias contra Poliuchum p. 604. ἐπειδὴ δὲ τάχιστα ἦλθον εἰς τὴν Ἀκαδημίαν Λακεδαιμόνιοι καὶ Παυσανίας. Tum Eucrates ſuos et liberos Nicerati occiſi in fidem tradidit Pauſaniæ utpote ξένῳ et populo faventem reddidit. Pauſanias oblata ſibi a triginta tyrannis ξένια repudiavit, ſed ab Eucrate ſeu potius a populo et exſulibus (παρ᾽ ἡμῶν) accepit. Tum Poliuchus propoſuit ſententiam, ut Eucratis agri publicarentur, ſed fuit multatus χιλίαις δραχμαῖς. Ex hoc Lyſiæ et Xenophontis loco accuratius definiri poteſt ſitus Halipedi, quod Harpocration cum Etymol. et Suida Piræeum interpretatur.

ὁ Παυσανίας πρὸς τοὺς ἐν Πειραιεῖ, ἐκέλευεν ἀπιέναι ἐπὶ τὰ ἑαυτῶν· ἐπεὶ δ' οὐκ ἐπείθοντο, προσέβαλλεν ὅσον ἀπὸ βοῆς ἕνεκεν, ὅπως μὴ δῆλος εἴη εὐμενὴς αὐτοῖς ὤν. Ἐπεὶ δ' οὐδὲν τῆς προσβολῆς πράξας ἀπῆλθε, τῇ ὑστεραίᾳ, λαβὼν τῶν μὲν Λακεδαιμονίων δύο μόρας, τῶν δὲ Ἀθηναίων ἱππέων τρεῖς φυλὰς, παρῆλθεν ἐπὶ τὸν κωφὸν λι-
32 μένα, σκοπῶν, πῇ εὐαποτείχιστος εἴη ὁ Πειραιεύς. ἐπεὶ δὲ ἀπιόντος αὐτοῦ προσέθεόν τινες, καὶ πράγματα αὐτῷ παρεῖχον, ἀχθεσθεὶς παρήγγειλε, τοὺς μὲν ἱππέας ἐλαύνειν ἐς αὐτοὺς ἀνέντας, καὶ τοὺς τὰ δέκα ἀφ' ἥβης ξυνέπεσθαι· ξὺν δὲ τοῖς ἄλλοις αὐτὸς ἐπηκολούθει. καὶ ἀπέκτειναν μὲν ἐγγὺς τριάκοντα τῶν ψιλῶν, τοὺς δ' ἄλλους
33 κατεδίωξαν πρὸς τὸ ἐν Πειραιεῖ θέατρον. Ἐκεῖ δὲ ἔτυχον ἐξοπλιζόμενοι οἵ τε πελτασταὶ πάντες, καὶ οἱ ὁπλῖται τῶν ἐκ Πειραιῶς. καὶ οἱ μὲν ψιλοὶ εὐθὺς ἐκδραμόντες ἠκόντι-

§. 31. *προσέβαλλεν.* A. J. Br. Caſt. *προσέβαλλον.*

*οὐδὲν τῆς.* In Ed. St. Leoncl. *οὐδὲν ἀπὸ τῆς.*

*κωφὸν λιμένα.* Hunc ignoro.

§. 32. *Πειραιεῖ θέατρον.* Margo L. *τὸ Πειραιοῖ θέατρον.* Ibidem exſtat *ἐλᾷν* pro *ἐλαύνειν* in antecedentibus. Lyſias contra Agoratum p. 479. *ὅτε ἡ ἐκκλησία Μουνυχιᾶσιν ἐν τῷ θεάτρῳ ἐγένετο.* Neſcio, an idem ſit theatrum hoc. De Piræei theatro vide Inſcriptionem CIX. a Chandlero editam inter Atticas Parte ii. quem librum nunc inſpicere non licet.

[Nota de theatro Piræei. In prioris ſeditionis hiſtoria Thucydides viii. c. 93. *ἐς τὸ πρὸς τῇ Μουνυχίᾳ Διονυσιακὸν θέατρον ἐλθόντες καὶ θέμενοι τὰ ὅπλα ἐξεκκλησίασάν τε καὶ δόξαν αὐτοῖς.* Ubi Codex habet: *Διονυσιακόν· τὸ ἐν τῷ Πειραιεῖ θέατρον.* Unde manifeſtum eſſe videtur, idem eſſe theatrum, de quo Xenophon et Lyſias loquuntur. Lyſiæ locum eundem, alterumque ex cap. 13. ejuſdem orationis poſuit Ducker ad Thucydidem, addiditque de concionibus ibi habitis locum Pollucis viii. 133. ſed ibi ſimpliciter *Διονυσιακὸν θέατρον* nominatur, quod diverſum a noſtro eſſe ſuſpicor. Cæterum comitia magiſtratibus creandis in *Πνυκὶ*, loco juxta acropolin, haberi ſolita fuiſſe, monet Pollux: atque ibidem comitia habuerunt Athenienſes in priore ſeditione, cum quadringentis viris imperium abrogarent, teſte Thucydide viii. 97. Eundemque locum intelligi voluit Xenophon ii. 4. ſ. 39. cum peracta pompa in acropolin ducta *ἐπεὶ κατέβησαν οἱ στρατηγοί. ἔνθα δὴ ὁ Θρασύβουλος ἔλεξεν*—et ſect. 42. *ἀνέστησε τὴν ἐκκλησίαν.* Unde apparet, locum *Πνῦκα* in depreſſo ſeu declivi juxta Acropolin fuiſſe. Cæterum theatrum Dionyſiacum urbicum ordinariis comitiis inſerviſſe habendis, arguere licet ex verbo *ἐξεκκλησιάζειν*, quo utitur Thucydides, et notat: extra locum ſolitum concionem habere, ut *ἐκκαθεύδειν*, quo utitur Xenophon ii. 4. docente Valckenair. ad Herodot. p. 683. Verbo *ἐξεκκλησιάζειν* manifeſto hac notione uſus eſt Xenophon v. 3. 16. etſi negabat Morus, ſe alibi, quam in Xenophonte et interpretibus LXX. reperiſſe hoc verbum. *Ex Addendis.*]

ζον, ἔβαλλον, ἐτόξευον, ἐσφενδόνων· οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ αὐτῶν πολλοὶ ἐτιτρώσκοντο, μάλα πιεζόμενοι ἀνεχώρησαν ἐπὶ πόδα· οἱ δ᾽ ἐν τούτῳ πολὺ μᾶλλον ἐπέκειντο. ἐνταῦθα δὲ ἀποθνήσκει Χαίρων τε καὶ Θίβραχος, ἄμφω πολεμάρχω, καὶ Λακράτης ὁ ὀλυμπιονίκης, καὶ ἄλλοι οἱ τεθαμμένοι Λακεδαιμονίων πρὸ τῶν πυλῶν ἐν Κεραμεικῷ. Ὁρῶν δὲ ταῦτα ὁ Θρασύβουλος καὶ οἱ ἄλλοι ὁπλῖται, ἐβοήθουν, καὶ ταχὺ παρετάξαντο πρὸ τῶν ἄλλων ἐπ᾽ ὀκτώ. 34 ὁ δὲ Παυσανίας, μάλα πιεσθεὶς, καὶ ἀναχωρήσας ὅσον στάδια τέτταρα ἢ πέντε πρὸς λόφον τινὰ, παρήγγειλε τοῖς Λακεδαιμονίοις καὶ τοῖς ἄλλοις ξυμμάχοις, ἐπιχωρεῖν πρὸς ἑαυτόν. ἐκεῖ δὲ ξυνταξάμενος βαθεῖαν παντελῶς τὴν φάλαγγα, ἦγεν ἐπὶ τοὺς Ἀθηναίους. οἱ δ᾽ ἐς χεῖρας μὲν ἐδέξαντο, ἔπειτα δὲ οἱ μὲν ἐξεώσθησαν ἐς τὸν ἐν ταῖς Ἁλαῖς πηλὸν, οἱ δὲ ἐνέκλιναν. καὶ ἀποθνήσκουσιν αὐτῶν ὡς πεντήκοντα καὶ ἑκατόν. 35 Ὁ δὲ Παυσανίας τρόπαιον στησάμενος ἀνεχώρησε· καὶ οὐδ᾽ ὡς ὠργίζετο αὐτοῖς, ἀλλὰ λάθρα πέμπων ἐδίδασκε τοὺς ἐν Πειραιεῖ, οἷα χρὴ λέγοντας πρέσβεις πέμπειν πρὸς ἑαυτὸν καὶ τοὺς παρόντας ἐφόρους. οἱ δ᾽ ἐπείθοντο. Διΐστη δὲ καὶ τοὺς ἐν τῷ ἄστει, καὶ ἐκέλευε, πρὸς σφᾶς προσιέναι ὡς πλείστους ξυλλεγομένους, λέγοντας, ὅτι οὐδὲν δέονται τοῖς ἐν τῷ Πειραιεῖ πολεμεῖν, ἀλλὰ, διαλυθέντες κοινῇ ἀμφότεροι, Λακεδαιμονίοις φίλοι εἶναι. 36 Ἡδέως ταῦτα καὶ Ναυκλείδας ἔφορος ὢν ξυνήκουεν· (ὥσπερ γὰρ νομίζεται, ξὺν βασιλεῖ δύο τῶν Ἐφόρων ξυστρατεύεσθαι, καὶ τότε παρῆν οὗτός τε καὶ ἄλλος, ἀμφότεροι τῆς μετὰ Παυσανίου γνώμης ὄντες μᾶλλον, ἢ τῆς

§. 33. ἀνεχώρησαν. Margo Leoncl. ἀνεχώρουν.

Λακράτης. Hunc ab aliis nominari non memini. Λακρατίδαν Lyſandro ſuperſtitem habet Plutarchus Lyſ. c. 31.

§. 34. ἐπιχωρεῖν. Forte ἐπαναχωρεῖν.

Ἁλαῖς. Geminæ fuerunt agri Attici Ἁλαὶ ſcilicet Αἰξωνίδες et Ἀραφηνίδες. Utræ hoc loco intelligantur, ignoro.

§. 36. νομίζεται. Vide Noſtrum de Rep. Lacedæm. c. 13.

μετὰ Λυσάνδρου.) διὰ ταῦτα οὖν καὶ ἐς τὴν Λακεδαίμονα προθύμως ἔπεμπον τούς τ' ἐκ Πειραιῶς, ἔχοντας τὰς πρὸς Λακεδαιμονίους σπονδὰς, καὶ τοὺς ἀπὸ τῶν ἐν τῷ ἄστει 37 ἰδιώτας, καὶ Κηφισοφῶντά τε καὶ Μέλιτον. Ἐπεὶ μέντοι οὗτοι ᾤχοντο ἐς Λακεδαίμονα, ἔπεμπον δὴ καὶ οἱ ἀπὸ τοῦ κοινοῦ ἐκ τοῦ ἄστεος λέγοντας, ὅτι αὐτοὶ μὲν παραδιδόασι καὶ τὰ τείχη, ἃ ἔχουσι, καὶ σφᾶς αὐτοὺς Λακεδαιμονίοις, χρῆσθαι ὅ τι βούλονται· ἀξιοῦν δ' ἔφασαν, καὶ τοὺς ἐν Πειραιεῖ, εἰ φίλοι φασὶν εἶναι Λακεδαιμονίοις, παραδιδόναι τόν τε 38 Πειραιᾶ καὶ τὴν Μουνυχίαν. Ἀκούσαντες δὲ πάντων αὐτῶν οἱ ἔφοροι καὶ οἱ ἔκκλητοι, ἐξέπεμψαν πεντεκαίδεκα ἄνδρας ἐς τὰς Ἀθήνας, καὶ ἐπέταξαν, ξὺν Παυσανίᾳ διαλλάξαι, ὅπῃ δύναιντο κάλλιστα. οἱ δὲ διήλλαξαν, ἐφ' ᾧ τε εἰρήνην μὲν ἔχειν ὡς πρὸς ἀλλήλους, ἀπιέναι δὲ ἐπὶ τὰ ἑαυτῶν ἑκάστους, πλὴν τῶν τριάκοντα, καὶ τῶν ἕνδεκα, καὶ τῶν ἐν τῷ Πειραιεῖ ἀρξάντων δέκα. εἰ δέ τινες φοβοῖντο 39 τῶν ἐξ ἄστεος, ἔδοξεν αὐτοῖς τὴν Ἐλευσῖνα κατοικεῖν. Τούτων δὲ περανθέντων, Παυσανίας μὲν διῆκε τὸ στράτευμα· οἱ δὲ ἐκ τοῦ Πειραιῶς, ἀνελθόντες ξὺν τοῖς ὅπλοις ἐς τὴν ἀκρόπολιν, ἔθυσαν τῇ Ἀθηνᾷ. ἐπεὶ δὲ κατέβησαν οἱ 40 στρατηγοὶ, ἔνθα δὴ ὁ Θρασύβουλος ἔλεξεν· Ὑμῖν, ἔφη, ὦ

§. 37. οἱ ἀπὸ τοῦ κοινοῦ. Videntur eſſe decemviri ſeu δεκαδοῦχοι, ut monuit Morus.

§. 38. ἐφ' ᾧ τε. A. J. Bryl. Caſtal. omittunt τε. Sed infra iii. 5. ſimiliter eſt ἐφ' ᾧ τε.

ἑκάστους. Margo Leoncl. ἕκαστον. Cæterum de re ipſa Cornelius in Thraſybulo: ne qui præter 30. tyrannos et 10. qui poſtea prætores creati ſuperioris more crudelitatis erant uſi, adficerentur exilio: neve bona publicarentur: reipublicæ procuratio populo redderetur. Ubi male decem Piræei archontes cum decemviris poſtea conſtitutis permutari monuit Taylor in vita Lyſiæ p. 105. Doctiſſimus etiam Morus a ſenſu hujus loci aberravit, triginta virorum auctoritatem a Pauſania munitam putans.

τὴν Ἐλευσῖνα. Articulum ex A. Junt. Br. Caſt. addidi.

§. 39. περανθέντων. Ita ſcripſi cum V. D. in Bibl. Critic. Amſtelod. p. 94. Ita infra iii. 2. δόξαντα ταῦτα καὶ περανθέντα. Vulgo περαιωθέντων.

§. 39. ἔθυσαν. Lyſias contra Agorat. p. 499. ἐπειδὴ δὲ διαλλαγαὶ πρὸς ἀλλήλους ἐγένοντο καὶ ἔπεμψαν οἱ πολῖται ἐκ Πειραιῶς τὴν πομπὴν εἰς τὴν πόλιν, ἡγεῖτο μὲν Αἴσιμος τῶν πολιτῶν, οὗτος δὲ συνηκολούθει λαβὼν τὰ ὅπλα—ἐπειδὴ δὲ πρὸς ταῖς πύλαις ἦσαν καὶ ἔθεντο τὰ ὅπλα πρὶν εἰσίεναι εἰς τὸ ἄστυ—οὐ γὰρ ἔφη δεῖν ἀνδροφόνον αὐτὸν ὄντα συμπέμπειν τὴν πομπὴν τῇ Ἀθηνᾷ.

ἐκ τοῦ ἄστεος ἄνδρες, ξυμβουλεύω ἐγὼ, γνῶναι ὑμᾶς αὐτούς. μάλιστα δ' ἂν γνοίητε, εἰ ἀναλογίσαισθε, ἐπὶ τίνι ὑμῖν μέγα φρονητέον ἐστὶν, ὥστε ἡμῶν ἄρχειν ἐπιχειρεῖν. Πότερον δικαιότερον ἔσται; Ἀλλ' ὁ μὲν δῆμος, πενέστερος ὑμῶν ὢν, οὐδὲν πώποτε ἕνεκα χρημάτων ὑμᾶς ἠδίκησεν· ὑμεῖς δὲ, πλουσιώτεροι πάντων ὄντες, πολλὰ καὶ αἰσχρὰ ἕνεκα κερδέων πεποιήκατε. Ἐπεὶ δὲ δικαιοσύνης οὐδὲν ὑμῖν προσήκει, σκέψασθε, εἰ ἄρα ἐπ' ἀνδρείᾳ ὑμῖν μέγα φρονητέον. Καὶ τίς ἂν καλλίων κρίσις τούτου γένοιτο, ἢ ὡς ἐπολεμή- 41 σαμεν πρὸς ἀλλήλους; Ἀλλὰ γνώμῃ φαίητ' ἂν προέχειν, οἳ, ἔχοντες καὶ τεῖχος καὶ ὅπλα καὶ χρήματα καὶ ξυμμάχους Πελοποννησίους, ὑπὸ τῶν οὐδὲν τούτων ἐχόντων περιεληλύθατε; Ἀλλ' ἐπὶ Λακεδαιμονίοις δὴ οἴεσθε μέγα φρονητέον εἶναι; πῶς; οἵ γε τοὺς δάκνοντας κύνας ὥσπερ κλοιῷ δήσαντες παραδιδόασιν, οὕτω κἀκεῖνοι ὑμᾶς, παραδόντες τῷ ἠδικημένῳ τούτῳ δήμῳ, οἴχονται ἀπιόντες. οὐ 42 μέντοι γε ὑμᾶς, ὦ ἄνδρες, ἀξιῶ ἐγὼ, ὧν ὀμωμόκατε, παραβῆναι οὐδὲν, ἀλλὰ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις καλοῖς ἐπιδεῖξαι, ὅτι καὶ εὔορκοι καὶ ὅσιοι ἐστέ. Εἰπὼν δὲ ταῦτα καὶ ἄλλα τοιαῦτα, καὶ ὅτι οὐδὲν δέοι ταράττεσθαι, ἀλλὰ τοῖς νόμοις τοῖς ἀρχαίοις χρῆσθαι, ἀνέστησε τὴν ἐκκλησίαν. Καὶ τότε μὲν ἀρχὰς καταστησάμενοι ἐπολιτεύοντο· ὑστέρῳ 43 δὲ χρόνῳ ἀκούσαντες, ξένους μισθοῦσθαι τοὺς ἐν Ἐλευσῖνι,

§. 40. ἀναλογίσαισθε. A. I. Br. Caſt. ἀναλογίσεσθε.

δικαιότεροι ἐστέ. Ita cum Stephan. ſcripſi pro δικαιότερον ἔσται.

ἀνδρείᾳ. A. I. Br. Caſtal. ἀνδρίᾳ.

§. 41. περιεληλύθατε. Fr. Portus ante hoc verbum inſerebat ἐς τοῦτο, probantibus Leoncl. et Stephano. Contra V. D. in Biblioth. Critica Amſtel. geminam emendationem propoſuit, aut περιείληφθε, circumventi eſtis, aut τούτων ὑπὸ τῶν οὐδὲν ἐχόντων παραλέλυσθε. Vulgatam ſcripturam etſi Morus defendit et interpretari conatur, vitioſam tamen equidem affirmo eſſe. Breviſſima emendationis via mihi videbatur hæc eſſe ut legeremus: περιῃρέθητε, i. e. ſpoliati eſtis his.

δάκνοντας κύνας. Addidi κύνας, ſuadente jam olim Fr. Porto. Leonclavius legebat ὥσπερ οἱ τοὺς δάκνοντας κύνας. Reſpicit ad legem Solonis apud Plutarchum 24. κύνα δάκνοντα παραδοῦναι κελεύει κλοιῷ τετραπήχει δεδεμένον, ubi Steph. ait in alio libro legi τριπήχει. Miram vulgatæ lectionis defendendæ viam iniit Morus.

στρατευσάμενοι πανδημεὶ ἐπ' αὐτοὺς, τοὺς μὲν στρατηγοὺς αὐτῶν ἐς λόγους ἐλθόντας ἀπέκτειναν, τοῖς δὲ ἄλλοις, ἐσπέμψαντες τοὺς φίλους καὶ ἀναγκαίους, ἔπεισαν ξυναλλαγῆναι· καὶ ὀμόσαντες ὅρκους, ἦ μὴν μὴ μνησικακήσειν, ἔτι καὶ νῦν ὁμοῦ γε πολιτεύονται, καὶ τοῖς ὅρκοις ἐμμένει ὁ δῆμος.

§. 43. ἐς λόγους ἐλθόντας. Justinus v. 11. Sed ad colloquium, veluti dominationem recepturi, progressi, per insidias comprehensi ut pacis victimæ trucidantur. Cæterum Plutarchus de Gloria Athen. p. 379. ait exsules rediisse in urbem die xii mensis Boedromionis, eaque die cives χαριστήρια τῆς ἐλευθερίας agere. Moderationem belli, cum tyrannis, Eleusine potitis, gesti, laudat Plato in Menexeno p. 294. edit. Bipont.

μνησικακήσειν. Formulam jurisjurandi ex parte servavit Andocides de Mysteriis p. 43. His ita constitutis eodem auctore constituti sunt viginti viri, qui, restituta auctoritate legum Solonis et Draconis, adderent, si quas temporum conditio necessarias fecisset. De his Valesius ad Harpocrat. p. 107. interpretatur locum Pollucis libro viii. οἱ εἴκοσι. τούτους εἵλοντο μετὰ τοὺς τριάκοντα τῆς πολιτείας καὶ τῶν νόμων ἐπιμελητάς. Quo melius lites opprimerentur, quæ ἀμνηστίαν impedirent, Archino auctore lex lata est de judiciis, quam habet Isocrates contra Callimachum ab initio. Partem ejus legis aliam servavit Andocides p. 42. Cum hac reipublicæ et legum magna etiam litteraturæ conversio et mutatio Athenis facta fuit. Litteris enim Ionicis in monumentis publicis uti cœperunt, cum antea diphthongi non essent in usu publico. Leges etiam quasdam correxerunt, alias addiderunt. Quædam attigit Taylor in vita Lysiæ p. 147 sqq. sed res illa accuratiore disputatione indigebat. Inscriptiones utroque genere litterarum ex antiquissima reipublicæ Atticæ memoria editas publicavit Chandler.

ὁμοῦ γε. An ὁμοῦ τι?

# ΞΕΝΟΦΩΝΤΟΣ

## ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

## ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

### ΚΕΦ. Α.

Η ΜΕΝ δὴ Ἀθήνησι στάσις οὕτως ἐτελεύτησεν. Ἐκ δὲ τούτου πέμψας Κῦρος ἀγγέλους ἐς Λακεδαίμονα ἠξίου, οἷόσπερ αὐτὸς Λακεδαιμονίοις ἦν ἐν τῷ πρὸς Ἀθηναίους πολέμῳ, τοιούτους καὶ Λακεδαιμονίους αὐτῷ γίγνεσθαι. οἱ δ' ἔφοροι, δίκαια νομίσαντες λέγειν αὐτὸν, Σαμίῳ τῷ τότε ναυάρχῳ ἐπέστειλαν, ὑπηρετεῖν Κύρῳ, εἴ τι δέοιτο. κα-

§. 1. Κῦρος. Cyrus minor, frater Artaxerxis, cujus expeditionem celebravit Xenophontis Anabaſis Cyri. Xenophontem cum Cyro in Perſiam aſcendiſſe, archonte Xenæneto, hoc eſt Olympiade 94. anno 4. monet Diodorus et Diogenes Laert. ii. 55. Contra vir doctus, *Larcher*, hanc Cyri expeditionem ad annum 3 ineuntem referendam eſſe cenſet Præfat. ad interpretationem gallicam Anabaſ. p. 29. cujus opinionis argumenta alio loco ſe editurum eſſe promiſit.

πέμψας ἀγγέλους. Hujus legationis non meminit in Anabaſi Noſter; at vero Diodorus xiv. 19. Ex epiſtola Cyri plura refert Plutarchus in Artaxerxe c. 6.

Σαμίῳ. Diodorus Σάμον appellat. Plutarchus ſcytalem ad Clearchum miſſam memorat, ὑπηρετεῖν Κύρῳ πάντα jubentem cap. 6. Scilicet Clearchus Byzantiorum ut civitatem contineret, miſſus fuerat; ſed tyrannidem moliens, ſubmiſſo Panthoide, ejectus, deinde ad Selybriam victus ad Cyrum in Ioniam profugit, narrante Diodoro xiv. 12. et ex parte Polyæno ii. 2. 7. Aliter rem narrat Anabaſis Cyri ab initio libri ſecundi. Cæterum eadem Anabaſis i. 4. Cyro, dum Iſſis, maritima Ciliciæ urbe, verſabatur cum copiis, adveniſſe ex Peloponneſo naves 32 duce Pythagora Lacedæmonio, refert; quas demum ſubmiſſas fuiſſe recte ſuſpicatur Morus, cum Samius in Aſia jam adfuiſſet ab initio cum paucioribus forte navibus, cum Cyrus expeditionem moliretur. Iſocrates de pace p. 348. edit. Wolf. Clearchum cum exercitu adverſus Perſas miſſum ait; nec antea imperium geſſiſſe ullum, ſed ἐκ τῆς ἀτυχίας τῆς συμβάσης αὐτῷ περὶ τὴν ἤπειρον ὀνομαστὸν γενόμενον Græcos ſervaſſe ex Perſia redeuntes, Orat. ad Philipp. p. 198.

κεῖνος μέντοι προθύμως, ὅπερ ἐδεήθη ὁ Κῦρος, ἔπραξεν· ἔχων γὰρ τὸ ἑαυτοῦ ναυτικὸν σὺν τῷ Κύρου, περιέπλευσεν ἐς Κιλικίαν, καὶ ἐποίησε, τὸν τῆς Κιλικίας ἄρχοντα Συέννεσιν μὴ δύνασθαι κατὰ γῆν ἐναντιοῦσθαι Κύρῳ, πορευομένῳ ἐπὶ βασιλέα.

2 Ὡς μὲν οὖν Κῦρος στράτευμά τε συνέλεξε, καὶ τοῦτ' ἔχων ἀνέβη ἐπὶ τὸν ἀδελφὸν, καὶ ὡς ἡ μάχη ἐγένετο, καὶ ὡς ἀπέθανε, καὶ ὡς ἐκ τούτου ἀπεσώθησαν οἱ Ἕλληνες ἐπὶ θάλατταν, Θεμιστογένει τῷ Συρακουσίῳ γέγραπται.

Ol. 94. $\frac{3}{4}$.

3 Ἐπεὶ μέντοι Τισσαφέρνης, πολλοῦ ἄξιος βασιλεῖ δόξας

ἐς Κιλικίαν. Fingebat Cyrus perfidiam et defectionem aliquam regulorum Ciliciæ a rege Perfarum, annotante Diodoro. Tangit confilium Anabafis fed fubobfcure.

Συέννεσιν. Proprium fere omnibus Ciliciæ regulis nomen, ut poft Stanleium annotavit Weffeling. ad Diodorum.

§. 2. Θεμιστογένει. Plutarchus de Gloria Athenienfium p. 361. Ξενοφῶν αὐτὸς ἑαυτοῦ γέγονεν ἱστορία, γράψας ἃ ἐστρατήγησε καὶ κατώρθωσε, καὶ Θεμιστογένη (λέγει, addit Leonclav.) περὶ τούτων συντετάχθαι τὸν Συρακούσιον, ἵνα πιστότερος ᾖ διηγούμενος ἑαυτὸν ὡς ἄλλον, ἑτέρῳ τὴν τῶν λόγων δόξαν χαριζόμενος. Hæc ita fimpliciter pofita, nullo argumento confirmata, fidem vix reperient, certe non merentur magis, quam quæ Suidas habet in Θεμιστογένης Συρακούσιος ἱστορικὸς γέγραφε Κύρου ἀνάβασιν, ἥτις ἐν τοῖς Ξενοφῶντος ἑλληνικοῖς φέρεται, fi fcilicet hunc locum interpreteris, ut olim factum: *quæ inferta legitur græcis hiftoriis.* Verum Suidas fimpliciter teftimonium Xenophontis de Themiftogene repetere voluit ex h. l. igitur græca funt vertenda: *quæ nominatur aut laudatur in Hiftoriis græcis.* Cum Plutarcho facit auctor Scholii a Küftero editi ad Suidam; is enim, ait, Xenophontem operi fuo de Expeditione Cyri præfcripfiffe quidem Themiftogenis nomen, fed pofthæc rurfus obtinuiffe, ut Xenophon auctor ejus perhiberetur. Ignoramus primum auctorem hujus fententiæ, quam Plutarchus ipfe excogitaffe non videtur; nec definire licet, Scholii auctor innominatus nam fua ex Plutarcho, an aliunde repetierit. Auctoritas certe ejus in hac re non major eft quam Plutarchi, fed fere par, id eft nulla. Simpliciter credendum eft, Xenophonti exftitiffe tum opus Themiftogenis de Cyri expeditione. Xenophontem igitur abfoluta demum hiftoria græca Anabafin fcribere aggreffum fuiffe, hinc fequitur aperto argumento. Quare omifit in Anabafi de legatione ad Lacedæmonios monere, et alia quædam non attigit, quæ fuerant in Hiftoria græca annotata. Quæ quidem omnia fatis eleganter difputavit Morus, qui fimul docte expedivit notas illas interiores ex rerum et dictionis argumentis ductas, in quibus alienum auctorem Anabafeos agnoviffe fibi vifi funt quidam viri eruditi. Explicavit enim locos illos omnes, in quibus diffentire Anabafis ab Hiftoria græca vifa fuit; omifit tamen locum graviffimum, quem indicaverat Weffeling ad Herodotum p. 64. Scilicet Expeditio Cyri iii. 4. 7. tradit, Medorum imperium tranfiiffe ad Perfas non pacto nuptiali, ut Cyropædia refert viii. 5. 19. fed bello fubactos Medos fubiiffe jugum Perfarum. Atque ita etiam Herodotus i. 53. 54. Verum hoc argumentum pertinet potius ad fidem Cyropædiæ hiftoricam, aliis jam documentis labefactatam, magis etiam infringendam, quam ad Anabafeos auctoritatem inveftigandam.

γεγενῆσθαι ἐν τῷ πρὸς τὸν ἀδελφὸν πολέμῳ, σατράπης κατεπέμφθη, ὧν τε αὐτὸς πρόσθεν ἦρχε, καὶ ὧν Κῦρος· εὐθὺς ἠξίου τὰς Ἰωνικὰς πόλεις ἁπάσας ἑαυτῷ ὑπηκόους εἶναι. αἱ δὲ, ἅμα μὲν ἐλεύθεραι βουλόμεναι εἶναι, ἅμα δὲ φοβούμεναι τὸν Τισσαφέρνην, ὅτι Κῦρον, ὅτ' ἔζη, ἀντ' ἐκείνου ᾑρημέναι ἦσαν, ἐς μὲν τὰς πόλεις οὐκ ἐδέχοντο αὐτόν· ἐς Λακεδαίμονα δὲ ἔπεμπον πρέσβεις, καὶ ἠξίουν, ἐπεὶ πάσης τῆς Ἑλλάδος προστάται εἰσὶν, ἐπιμεληθῆναι καὶ σφῶν, τῶν ἐν τῇ Ἀσίᾳ Ἑλλήνων, ὅπως ἥ τε Ἀσία μὴ δῃοῖτο [αὐτῶν], καὶ αὐτοὶ ἐλεύθεροι εἶεν. Οἱ οὖν Λακεδαιμόνιοι 4 πέμπουσιν αὐτοῖς Θίμβρωνα ἁρμοστὴν, δόντες στρατιώτας, τῶν μὲν νεοδαμωδῶν ἐς χιλίους, τῶν δὲ ἄλλων Πελοποννησίων ἐς τετρακισχιλίους. ᾐτήσατο δ' ὁ Θίμβρων καὶ παρ' Ἀθηναίων τριακοσίους ἱππέας, εἰπὼν, ὅτι αὐτὸς μισθὸν παρέξει. οἱ δ' ἔπεμψαν τῶν ἐπὶ τῶν τριάκοντα ἱππευσάντων, νομίζοντες κέρδος τῷ δήμῳ, εἰ ἐναποδημοῖεν καὶ ἐναπόλοιντο. ἐπεὶ δ' ἐς τὴν Ἀσίαν ἀφίκοντο, συνήγαγε 5 μὲν στρατιώτας καὶ ἐκ τῶν ἐν τῇ ἠπείρῳ Ἑλληνίδων πόλεων· πᾶσαι γὰρ τότε αἱ πόλεις ἐπείθοντο, ὅ τι Λακεδαιμόνιος

§. 3. Ἀσία μή. Ita A. I. Br. Caſt. Contra in L. St. eſt χώρα μὴ δῃοῖτο αὐτῶν· quod equidem probo. Morus, qui vulgatum Ἀσία defendit, incluſo tamen pronomine αὐτῶν, non ſenſiſſe videtur, quam ingrata ſit vocabuli ejuſdem Ἀσία repetitio tam brevi intervallo.

§. 4. Θίμβρωνα. Diodoro et aliis interdum Θίβρων audit, nulla differentia niſi dialecti. Θιβρὸς enim et θιμβρὸς de calido utrumque dicitur, ut recte admonuit Weſſeling ad Diodorum.

νεοδαμωδῶν. Diodorus xiv. 36. πολιτῶν χιλίους. Quo argumento clariſſimo agnoſcimus νεοδαμώδεις fuiſſe cives Lacedæmonios, ſed manumiſſos, atque ex ſervitute ad civitatis jus admiſſos.

ἐς τετρακισχιλίους. Diodorus οὐ πλείους πεντακισχιλίους. Aſiaticos milites deinde numerans, ſummam omnium poſuit 7000, et res geſtas a Thimbrone paulo aliter narravit.

τῶν—ἱππευσάντων. A. I. τοὺς, ſed Br. Caſt. τοὺς ἱππεύσαντας. Tyranni triginta multos equites aluerant, quos, concordia civium reſtituta, populus diligenter exquirebat, ut κατάστασιν reciperet, auctore Lyſia pro Mantitheo p. 573. Ex equitum igitur horum numero ſunt, quos nominavit in Anabaſi Noſter, Athenienſes, Polycrates iv. 5. 24 et alibi; Phraſias vi. 5. 11. Lycius Polyſtrati filius iii. 3. Gneſippus vii. 3. Cephiſodorus Cephiſophontis filius iv. 2. Ariſto v. 6.

ἐναποδημοῖεν. Ita A. I. Br. Caſtal. Contra ἀποδημοῖεν L. et Steph.

§. 5. ἐπείθοντο. Ita Br. et Caſt. probante Leoncl. pro ἐπύθοντο.,

ἀνὴρ ἐπιτάττοι. Καὶ σὺν μὲν ταύτῃ τῇ στρατιᾷ, ὁρῶν Θίμβρων τὸ ἱππικὸν, ἐς τὸ πεδίον οὐ κατέβαινεν· ἠγάπα δὲ, εἰ, ὅπου τυγχάνοι ὤν, δύναιτο ταύτην τὴν χώραν ἀδῄωτον 6 διαφυλάττειν. Ἐπεὶ δὲ σωθέντες οἱ ἀναβάντες μετὰ Ol. 95. 1. Κύρου συνέμιξαν αὐτῷ, ἐκ τούτου ἤδη καὶ ἐν τοῖς πεδίοις ἀντετάττετο τῷ Τισσαφέρνει· καὶ πόλεις, Πέργαμον μὲν ἑκοῦσαν προσέλαβε, καὶ Τευθρανίαν, καὶ Ἁλισάρναν· ὧν Εὐρυσθένης τε καὶ Προκλῆς ἦρχον, οἱ ἀπὸ Δημαράτου τοῦ Λακεδαιμονίου· (ἐκείνῳ δὲ αὕτη ἡ χώρα δῶρον ἐκ βασιλέως ἐδόθη, ἀντὶ τῆς ἐπὶ τὴν Ἑλλάδα συστρατείας) προσεχώρησαν δ᾽ αὐτῷ καὶ Γοργίων καὶ Γογγύλος, ἀδελφοὶ ὄντες, ἔχοντες, ὁ μὲν Γάμβριον καὶ Παλαιγάμβριον, ὁ δὲ Μυρίναν καὶ Γρύνιον· (δῶρον δὲ καὶ αὗται αἱ πόλεις ἦσαν παρὰ βασιλέως Γογγύλῳ, ὅτι μόνος Ἐρετριέων μηδίσας 7 ἔφυγεν.) ἦν δὲ, ἃς ἀσθενεῖς οὔσας καὶ κατὰ κράτος ὁ Θίμβρων ἐλάμβανε· Λάρισσαν γεμὴν, τὴν Αἰγυπτίαν καλουμένην, ἐπεὶ οὐκ ἐπείθετο, περιστρατοπεδευσάμενος ἐπολιόρκει. ἐπεὶ δὲ ἄλλως οὐκ ἐδύνατο ἑλεῖν, φρεατίαν τεμόμενος ὑπόνομον ὤρυττεν, ὡς ἀφαιρησόμενος τὸ ὕδωρ αὐτῶν. ὡς δ᾽ ἐκ τοῦ τείχους ἐκθέοντες πολλάκις ἐνέβαλλον ἐς τὸ ὄρυγμα καὶ ξύλα καὶ λίθους, ποιησάμενος αὖ

*ὁρῶν.* Aut addendum *τὸ πολεμίων* aut cum Palmerio p. 67. legendum *ἐῤῥωδῶν.*

§. 6. *συνέμιξαν αὐτῷ.* Anabaſ. vii. 8. 24.

*Ἁλισάρναν.* Vulgato *Ἁλισαρνίαν* ſubſtitui, quod ex Codice Pariſ. in Anabaſi edidit Zeune.

*Δημαράτου.* Hæc cum ſequentibus ſunt etiam in Anabaſi, ſed breviora. Demaratum hunc nominat ejuſque in Aſiam migrationem narrat Herodotus vi. 63. 70.

*Γρύνιον.* Nominat Diodorus xvii. 7. Prope Myrinam collocat Strabo xiii. p. 923. Plinio v. ſect. 32. Grynia, Herodoto i. 149. *Γρύνεια.*

§. 7. *ἦν δὲ ἃς.* Æolidis urbes quaſdam, prodente Alexandro, præſidiorum duce, cepit, narrante Polyæno vi. 10.

*Λάρισσαν.* Cauſa nominis perſpicitur ex Cyropæd. vii. 1. 45.

*φρεατίαν—ὑπόνομον.* Hæc duo vocabula conjungenda erant, nec diſtinguenda; quod impoſuit Moro, qui *φρεατίαν* hoc loco puteum, ciſternam interpretabatur. In ſequentibus tamen *ἐπὶ τῇ φρεατίᾳ* videtur diſtingui ab *ὑπονόμῳ*, ſed ibi legendum putem *τῷ φρεατίᾳ*, quanquam Morus attulit locum Polybii x. 25. ubi *φρεατεῖαι* ſunt ciſternæ.

χελώνην ξυλίνην, ἐπέστησεν ἐπὶ τῇ Φρεατίᾳ. καὶ ταύτην μέντοι ἐκδραμόντες οἱ Λαρισσαῖοι νύκτωρ κατέκαυσαν. δοκοῦντος δ' αὐτοῦ οὐδὲν ποιεῖν, πέμπουσιν οἱ ἔφοροι, ἀπο- 8 λιπόντα Λάρισσαν στρατεύεσθαι ἐπὶ Καρίαν.

Ἐν Ἐφέσῳ δὲ ἤδη ὄντος αὐτοῦ, ὡς ἐπὶ Καρίαν πορευ- Ol. 95 $\frac{2}{3}$. ομένου, Δερκυλλίδας ἄρξων ἀφίκετο ἐπὶ τὸ στράτευμα, ἀνὴρ δοκῶν εἶναι μάλα μηχανικός, καὶ ἐπεκαλεῖτο δὲ Σίσυφος. Ὁ μὲν οὖν Θίμβρων ἀπῆλθεν οἴκαδε, καὶ ζημιωθεὶς ἔφυγε· (κατηγόρουν γὰρ αὐτοῦ οἱ σύμμαχοι, ὡς ἐφίει ἁρπάζειν τῷ στρατεύματι τοὺς φίλους) ὁ δὲ Δερκυλ- 9 λίδας, ἐπεὶ παρέλαβε τὸ στράτευμα, γνοὺς ὑπόπτους ὄντας ἀλλήλοις τὸν Τισσαφέρνην καὶ τὸν Φαρνάβαζον, κοινολογησάμενος τῷ Τισσαφέρνει, ἀπήγαγεν ἐς τὴν Φαρναβάζου χώραν τὸ στράτευμα, ἑλόμενος θατέρῳ μᾶλλον, ἢ ἅμα ἀμφοτέροις πολεμεῖν. (ἦν δὲ καὶ πρόσθεν ὁ Δερκυλλίδας πολέμιος τῷ Φαρναβάζῳ. ἁρμοστὴς [γὰρ] γενόμενος ἐν Ἀβύδῳ ἐπὶ Λυσάνδρου ναυαρχοῦντος, διαβληθεὶς ὑπὸ Φαρ-

*χελώνην.* Testudines ad congestionem fossarum habet Vitruvius x. 22. Polybius ix. 34. Diodoro ii. 27. sunt *χελῶναι χωστρίδες* ad expugnandam urbem; sed eidem T. ii. p. 506. *χωστρίδες καὶ χελῶναι* distinguuntur. Aliæ sunt *χελῶναι κριοφόροι* apud Diodorum ii. p. 442.

§. 8. *μηχανικός.* Margo Leonclav. *μηχανητικός.*

*Σίσυφος.* Athenæus ex Ephoro xi. p. 500. *Λακεδαιμόνιοι ἀντὶ Θίμβρωνος Δερκυλλίδαν ἔπεμψαν ἐς τὴν Ἀσίαν ἀκούοντες, ὅτι πάντα πράττειν εἰώθασιν οἱ περὶ τὴν Ἀσίαν βάρβαροι μετὰ ἀπάτης καὶ δόλου. Διόπερ Δερκυλλίδαν ἔπεμψαν, ἥκιστα νομίζοντες ἐξαπατηθήσεσθαι· ἦν γὰρ οὐδὲν ἐν τῷ τρόπῳ Λακωνικὸν οὐδ' ἁπλοῦν ἔχων ἀλλὰ πολὺ τὸ πανοῦργον καὶ θηριῶδες· διὸ καὶ Σκύθον αὐτὸν οἱ Λακεδαιμόνιοι προσηγόρευον.* Deinde, ubi iterum Ephori locum repetit, præmittit: *ἐκαλεῖτο καὶ Δερκυλλίδας ὁ Λακεδαιμόνιος Σκύφος, ὥς φησιν Ἔφορος.* Lectionem *Σκύθος* ex Athenæo laudavit Eustathius ad Odyss. p. 1775. ed. Rom. Nomen Laconicum *Σκύθης* alibi occurrit; sed potuit hoc cognomen a feritate morum accepisse præter alterum Sisyphi Dercyllidas. Sed fieri etiam potuit, ut locum Athenæi librarii corrumperent, et Eustathius corruptelam, ut alibi, in libros suos transferret. Hæc fere ad h. l. Morus.

*ἐφίει.* A. I. Br. Cast. *ἐφῄει.* Forte voluerunt *ἠφίει.*

§. 9. *τὸ στράτευμα.* Isocrates Panegyr. 40. *Δερκυλλίδας χιλίους ἔχων ὁπλίτας τῆς Αἰολίδος ἐπῆρξε.* Xenophon infra §. 28. octo millia posuit.

*ἁρμοστὴς γάρ.* In A. I. deest *γάρ.* In Bryl. et Castal. est *ὅτι ἁρμοστὴς γενόμενος.* De tempore dicit Dimascon Dardanensis in Anabasi v. 6. 24. *διὰ τὸ ἐστρατεῦσθαι ἐν αὐτῇ* (satrapia Pharnabazi) *σὺν Κλεάρχῳ τε καὶ Δερκυλλίδᾳ.* Hinc licet suspicari causam odii, quod Pharnabazus contra Dercyllidam gerebat, et pœnæ, qua hic multatus deinde fuit.

ναβάζου, ἐστάθη τὴν ἀσπίδα ἔχων· ὃ δοκεῖ κηλὶς εἶναι τοῖς σπουδαίοις τῶν Λακεδαιμονίων. ἀταξίας γὰρ ζημίωμά ἐστι. καὶ διὰ ταῦτα δὴ πολὺ ἥδιον ἐπὶ τὸν Φαρνάβαζον
10 ᾔει.) Καὶ εὐθὺς μὲν τοσούτῳ διέφερεν ἐς τὸ ἄρχειν τοῦ Θίμβρωνος, ὥστε παρήγαγε τὸ στράτευμα διὰ τῆς φιλίας χώρας μέχρι τῆς Φαρναβάζου Αἰολίδος, μηδὲν βλάψας τοὺς ξυμμάχους.

Ἡ δὲ Αἰολὶς αὕτη ἦν μὲν Φαρναβάζου, ἐσατράπευε δὲ αὐτῷ τῆς χώρας, ἕως μὲν ἔζη, Ζῆνις Δαρδανεύς· ἐπεὶ δὲ ἐκεῖνος νόσῳ ἀπέθανε, παρασκευαζομένου τοῦ Φαρναβάζου ἄλλῳ δοῦναι τὴν σατραπείαν, Μανία, ἡ τοῦ Ζήνιος γυνὴ, Δαρδανὶς καὶ αὕτη, ἀναζεύξασα στόλον, καὶ χρήματα λαβοῦσα, ὥστε καὶ αὐτῷ Φαρναβάζῳ δοῦναι, καὶ παλλακίσιν αὐτοῦ χαρίσασθαι, καὶ τοῖς δυναμένοις μάλιστα παρὰ
11 Φαρναβάζῳ, ἐπορεύετο. Ἐλθοῦσα δ᾽ ἐς λόγους, εἶπεν· Ὦ Φαρνάβαζε, ὁ ἀνήρ σοι ὁ ἐμὸς καὶ τἄλλα φίλος ἦν, καὶ τοὺς φόρους ἀπεδίδου· ὥστε σὺ ἐπαινῶν αὐτὸν ἐτίμας. ἢν οὖν ἐγώ σοι μηδὲν χεῖρον ἐκείνου ὑπηρετῶ, τί σε δεῖ ἄλλον σατράπην καθιστάναι; ἢν δέ τι σοὶ μὴ ἀρέσκω, ἐπί σοι δήπου ἔσται, ἀφελομένῳ ἐμὲ, ἄλλῳ δοῦναι τὴν ἀρχήν.
12 Ἀκούσας ταῦτα ὁ Φαρνάβαζος ἔγνω, δεῖν τὴν γυναῖκα σατραπεύειν. Ἡ δ᾽ ἐπεὶ κυρία τῆς χώρας ἐγένετο, τούς τε φόρους οὐδὲν ἧττον τἀνδρὸς ἀπεδίδου, καὶ πρὸς τούτοις, ὁπότε ἀφικνοῖτο πρὸς Φαρνάβαζον, ἀεὶ ἦγε δῶρα αὐτῷ, καὶ ὁπότε ἐκεῖνος ἐς τὴν χώραν καταβαίνοι, πολὺ πάντων τῶν
13 ὑπάρχων κάλλιστα καὶ ἥδιστα ἐδέχετο αὐτόν. καὶ ἅς τε παρέλαβε πόλεις, διεφύλαττεν αὐτῷ, καὶ τῶν οὐχ ὑπηκόων

§. 10. μηδὲν βλάψας. Margo Leonclav. οὐδὲ βλάψας.

αὐτῷ τῆς. L. Steph. ταύτης τῆς.

Μανία. In Polyæno viii. 54. editur Τανία Ζήνιδος (Codices præferunt Φανία) ἄρχοντος τῶν περὶ Δάρδανον πόλεων.

χρήματα. Margo Leonclav. δῶρα.

§. 11. ἐς λόγους. Cast. ἐς τοὺς λόγους.

ἢν οὖν. A. I. Br. Cast. omittunt οὖν.

§. 12. ἀφικνοῖτο. Cast. ἀφικνεῖτο.

προσέλαβεν ἐπιθαλαττιδίας, Λάρισσάν τε, καὶ Ἁμαξιτὸν, καὶ Κολωνὰς, ξενικῷ μὲν Ἑλληνικῷ προσβαλοῦσα τοῖς τείχεσιν, αὐτὴ δ' ἐφ' ἁρμαμάξης θεωμένη· ὃν δ' ἐπαινέσειε, τούτῳ δῶρα ἀμέμπτως ἐδίδου, ὥστε λαμπρότατον τὸ ξενικὸν κατεσκευάσατο. συνεστρατεύετο δὲ τῷ Φαρναβάζῳ καὶ ὁπότε ἐς Μυσοὺς ἢ Πισίδας ἐμβάλοι, ὅτι τὴν βασιλέως χώραν κακουργοῦσιν. ὥστε καὶ ἀντετίμα αὐτὴν μεγαλοπρεπῶς ὁ Φαρνάβαζος, καὶ ξύμβουλόν ἐστιν ὅτε παρεκάλει. Ἤδη δ' οὔσης αὐτῆς ἐτῶν πλέον ἢ τετταράκοντα, Μειδίας, 14 θυγατρὸς ἀνὴρ αὐτῆς ὤν, ἀναπτερωθεὶς ὑπό τινων, ὡς αἰσχρὸν εἴη, γυναῖκα μὲν ἄρχειν, αὐτὸν δ' ἰδιώτην εἶναι, τοὺς μὲν ἄλλους φυλαττομένης αὐτῆς, ὥσπερ ἐν τυραννίδι προσῆκεν, ἐκείνῳ δὲ πιστευούσης, καὶ ἀσπαζομένης, ὥσπερ ἂν γυνὴ γαμβρὸν ἀσπάζοιτο, εἰσελθὼν ἀποπνῖξαι αὐτὴν λέγεται. ἀπέκτεινε δὲ καὶ τὸν υἱὸν αὐτῆς, τό τε εἶδος ὄντα πάγκαλον, καὶ ἐτῶν ὄντα ὡς ἑπτακαίδεκα. Ταῦτα δὲ 15 ποιήσας, Σκῆψιν καὶ Γέργιθα, ἐχυρὰς πόλεις, κατέσχεν, ἔνθα καὶ τὰ χρήματα μάλιστα ἦν τῇ Μανίᾳ. αἱ δὲ ἄλλαι πόλεις οὐκ ἐδέχοντο αὐτὸν, ἀλλὰ Φαρναβάζῳ ἔσωζον αὐτὰς οἱ ἐνόντες φρουροί. Ἐκ δὲ τούτου ὁ Μειδίας, πέμψας δῶρα τῷ Φαρναβάζῳ, ἠξίου ἔχειν τὴν χώραν, ὥσπερ ἡ Μανία· ὁ δ' ἀπεκρίνατο, φυλάττειν αὐτὰ, ἔστ' ἂν αὐτὸς

§. 13. Λάρισσαν. Diodorus xiv. 38. ubi Dercyllidam ait has easdem Troadis urbes in potestatem suam redegisse, habet: ἐπὶ τὰς ἐν Τρῳάδι πόλεις. Ἁμαξιτὸν οὖν καὶ Κολωνὰς καὶ Ἀρίσβαν εἷλεν ἐξ ἐφόδου. Plinius in agro Trojano Dardanium et Arisben oppida habet v. sect. 33. Stephanus Byz. a Mitylenæis conditam ait; Arisben autem, Lesbi oppidum, terræ motu subversum, nominat Plinius v. sect. 39. Etsi igitur ex Diodori loco mallet quis legere h. l. Ἀρίσβαν, habet tamen vulgata situm etiam satis commodum Larissæ, quæ a vicina Hamaxito dicebatur Λάρισσα ἡ καθ' Ἁμαξιτὸν, teste Strabone xiii. p. 620.

ἀμέμπτως. Laute, splendide. Cyrop. iv. 2. 37. ἀμέμπτως δέχεσθαι. Ibidem vii. 3. 10. τελευτᾶν, cum honore mori.

λαμπρότατον. Margo Leoncl. λαμπρότατα.

§. 14. προσῆκε. Leonclavius emendabat προσῆκον.

[ὥσπερ ἐν τυραννίδι προσῆκεν. Esset προσῆκεν nihil aliud quam ἔχρην: id vero a consilio loci alienum est. Corr. προσήκει. Cf. vi. 2. 29. *F. A. Wolfius.*]

εἰσελθών. Polyænus l. c. ἐπεισελθὼν αὐτὴν διεχρήσατο. ubi Casaub. ex versione legebat ὑπεισελθών.

ἐλθὼν σὺν αὐτῷ ἐκείνῳ λάβῃ τὰ δῶρα· οὐ γὰρ ἂν ἔφη **16** ζῆν βούλεσθαι, μὴ τιμωρήσας Μανίᾳ. Ὁ δὲ Δερκυλλίδας ἐν τούτῳ τῷ καιρῷ ἀφικνεῖται, καὶ εὐθὺς μὲν ἐν μιᾷ ἡμέρᾳ Λάρισσαν καὶ Ἁμαξιτὸν καὶ Κολωνὰς, τὰς ἐπιθαλαττίους πόλεις, ἑκούσας παρέλαβε· πέμπων δὲ καὶ πρὸς τὰς Αἰολίδας πόλεις, ἠξίου ἐλευθεροῦσθαί τε αὐτὰς, καὶ πρὸς τὰ τείχη δέχεσθαι, καὶ ξυμμάχους γίγνεσθαι. Οἱ μὲν οὖν Νεανδρεῖς, καὶ Ἰλιεῖς, καὶ Κοκυλῖται ἐπείθοντο· καὶ γὰρ οἱ φρουροῦντες Ἕλληνες ἐν αὐταῖς, ἐπεὶ ἡ **17** Μανία ἀπέθανεν, οὐ πάνυ τι καλῶς περιείποντο· ὁ δ' ἐν Κέβρηνι, μάλα ἰσχυρῷ χωρίῳ, τὴν φυλακὴν ἔχων, νομίσας, εἰ διαφυλάξειε Φαρναβάζῳ τὴν πόλιν, τιμηθῆναι ἂν ὑπ' ἐκείνου, οὐκ ἐδέχετο τὸν Δερκυλλίδαν. ὁ δὲ ὀργιζόμενος παρεσκευάζετο προσβάλλειν. ἐπεὶ δὲ θυομένῳ αὐτῷ οὐκ ἐγίγνετο τὰ ἱερὰ τῇ πρώτῃ, τῇ ὑστεραίᾳ πάλιν ἐθύετο. ὡς δὲ οὐδὲ ταῦτα ἐκαλλιερεῖτο, πάλιν τῇ τρίτῃ· καὶ μέχρι τεττάρων ἡμερῶν ἐκαρτέρει θυόμενος, μάλα χαλεπῶς φέρων· ἔσπευδε γὰρ, πρὶν Φαρνάβαζον βοηθῆσαι, ἐγκρατὴς **18** γενέσθαι πάσης τῆς Αἰολίδος. Ἀθηνάδας δέ τις, Σικυώνιος λοχαγὸς, νομίσας, τὸν μὲν Δερκυλλίδαν φλυαρεῖν διατρίβοντα, αὐτὸς δὲ ἱκανὸς εἶναι τὸ ὕδωρ ἀφελέσθαι τοὺς Κεβρηνίους, προσδραμὼν σὺν τῇ ἑαυτοῦ τάξει, ἐπειρᾶτο τὴν κρήνην συγχοῦν. οἱ δὲ ἔνδοθεν ἐπεξελθόντες αὐτόν τε συνέτρωσαν, καὶ δύο ἀπέκτειναν, καὶ τοὺς ἄλλους παίοντες καὶ βάλλοντες ἀπήλασαν. ἀχθομένου δὲ τοῦ Δερκυλλίδου, καὶ νομίζοντος, ἀθυμοτέραν τὴν προσβολὴν ἔσεσθαι, ἔρχονται

§. 16. *μὲν ἐν μιᾷ.* A. I. Br. Caſt. omittunt *μὲν*, quod male inſeruerunt ſecuti Editores.

*Νεανδρεῖς.* Plinio v. ſect. 32. Neandros, Straboni *Νεανδρία*, unde fit *Νεανδρεῖς.*

*Ἰλιεῖς.* A. I. Bryl. Caſtal. *Ἰνεῖς.*

*περιείποντο.* A. I. Br. Caſtal. *εἵποντο.*

§. 17. *Κέβρηνι.* Diodoro *Κεβρηνία*, et Herodoto in vita Homeri cap. 20. Apud Demoſth. contra Ariſtocr. p. 671. eſt *Κεβρήν.*

*ὡς δὲ οὐδὲ ταῦτα.* In A. I. Br. Caſt. deeſt *δέ.* Deinde Morus *ταύτῃ* emendat.

§. 18. *καὶ τοὺς ἄλλους.* A. I. Br. Caſt. omittunt *τούς.*

*ἀθυμοτέραν.* Poſt hoc verbum *καὶ*

ἐκ τοῦ τείχους παρὰ τῶν Ἑλλήνων κήρυκες, οἳ καὶ εἶπον, ὅτι, ἃ μὲν ὁ ἄρχων ποιοίη, οὐκ ἀρέσκοι σφίσιν, αὐτοὶ δὲ βούλοιντο σὺν τοῖς Ἕλλησι μᾶλλον, ἢ σὺν τῷ βαρβάρῳ εἶναι. Ἔτι δὲ διαλεγομένων αὐτῶν ταῦτα, παρὰ τοῦ 19 ἄρχοντος αὐτῶν ἧκε λέγων, ὅτι, ὅσα λέγοιεν οἱ πρόσθεν, καὶ αὐτῷ δοκοῦντα λέγοιεν. ὁ οὖν Δερκυλλίδας εὐθὺς, ὥσπερ ἔτυχε, κεκαλλιερηκὼς ταύτῃ τῇ ἡμέρᾳ, ἀναλαβὼν τὰ ὅπλα, ἡγεῖτο πρὸς τὰς πύλας· οἱ δ᾽ ἀναπετάσαντες ἐδέξαντο. καταστήσας δὲ καὶ ἐνταῦθα φρουροὺς, εὐθὺς ᾔει ἐπὶ τὴν Σκῆψιν καὶ τὴν Γέργιθα. Ὁ δὲ Μειδίας, 20 προσδοκῶν μὲν τὸν Φαρνάβαζον, ὀκνῶν δ᾽ ἤδη τοὺς πολίτας, πέμψας πρὸς τὸν Δερκυλλίδαν, εἶπεν, ὅτι ἔλθοι ἂν ἐς λόγους, εἰ ὁμήρους λάβοι. ὁ δὲ, πέμψας αὐτῷ ἀπὸ πόλεως ἑκάστης τῶν ξυμμάχων ἕνα, ἐκέλευσε λαβεῖν τούτων, ὁπόσους τε καὶ ὁποίους βούλοιτο. ὁ δὲ, λαβὼν δέκα, ἐξῆλθε, καὶ ξυμμίξας τῷ Δερκυλλίδᾳ, ἠρώτα, ἐπὶ τίσιν ἂν ξύμμαχος γένοιτο. ὁ δ᾽ ἀπεκρίνατο, ἐφ᾽ ᾧ τε τοὺς πολίτας ἐλευθέρους τε καὶ αὐτονόμους ἐᾷν. καὶ ἅμα ταῦτα λέγων, ᾔει πρὸς τὴν Σκῆψιν. Γνοὺς δὲ ὁ Μειδίας, ὅτι οὐκ ἂν δύναιτο 21 κωλύειν βίᾳ τῶν πολιτῶν, εἴασεν αὐτὸν εἰσιέναι. ὁ δὲ Δερκυλλίδας, θύσας τῇ Ἀθηνᾷ ἐν τῇ τῶν Σκηψίων ἀκροπόλει, τοὺς μὲν Μειδίου φρουροὺς ἐξήγαγε, παραδοὺς τοῖς πολίταις τὴν πόλιν, καὶ παρακελευσάμενος, ὥσπερ Ἕλληνας καὶ ἐλευθέρους χρὴ, οὕτω πολιτεύειν, ἐξελθὼν ᾔει ἐπὶ τὴν Γέργιθα. ξυμπροὔπεμπον δὲ πολλοὶ αὐτὸν καὶ τῶν Σκηψίων, τιμῶντές τε καὶ ἡδόμενοι τοῖς πεπραγμένοις. Ὁ δὲ 22

addunt L. et St. Senfus eft: milites minus alacriter et ftrenue urbem oppugnaturos effe.

ἀρέσκει. Ita Morus fcripfit pro ἀρέσκει, fequente βούλοιντο.

§. 20. Μειδίας. Trogus in fragmento libri vi. apud Prifcianum: Inde Scepfin petit, quo fe Midias, interfecta focru, contulerat. Is a Dercyllida ad colloquium invitatus eft deinde.

ξυμμίξας. Collocutus. Vide Valckenair ad Herodot. p. 133.

ἐφ᾽ ᾧ τε. Leoncl. τε delere juffit. Sed Morus multis exemplis τε defendi recte monuit.

§ 21. ᾔει. Margo L. ἡγεῖτο.

Μειδίας, παρεπόμενος αὐτῷ, ἠξίου τὴν τῶν Γεργιθίων πόλιν παραδοῦναι αὐτῷ. καὶ ὁ Δερκυλλίδας μέντοι ἔλεγεν, ὡς τῶν δικαίων οὐδενὸς ἀτυχήσει· ἅμα δὲ ταῦτα λέγων, ᾔει πρὸς τὰς πύλας σὺν τῷ Μειδίᾳ, καὶ τὸ στράτευμα ἠκολούθει αὐτῷ ἐς δύο εἰρηνικῶς. οἱ δ' ἀπὸ τῶν πύργων, καὶ μάλα ὑψηλῶν ὄντων, ὁρῶντες τὸν Μειδίαν σὺν αὐτῷ, οὐκ ἔβαλλον· εἰπόντος δὲ τοῦ Δερκυλλίδου· κέλευσον, ὦ Μειδία, ἀνοῖξαι τὰς πύλας, ἵνα ἡγῇ μὲν σὺ, ἐγὼ δὲ ἐς τὸ ἱερὸν σύν σοι ἔλθω, κἀνταῦθα θύσω τῇ Ἀθηνᾷ· ὁ Μειδίας ὤκνει μὲν ἀνοίγειν τὰς πύλας, φοβούμενος δὲ, μὴ παρα-
23 χρῆμα συλληφθῇ, ἐκέλευσεν ἀνοῖξαι. Ὁ δ' ἐπεὶ εἰσῆλθεν, ἔχων αὐτὸν Μειδίαν, ἐπορεύετο πρὸς τὴν ἀκρόπολιν· καὶ τοὺς μὲν ἄλλους στρατιώτας ἐκέλευσε θέσθαι περὶ τὰ τείχη τὰ ὅπλα, αὐτὸς δὲ σὺν τοῖς περὶ αὐτὸν ἔθυε τῇ Ἀθηνᾷ. ἐπεὶ δὲ ἐτέθυτο, ἀνεῖπε, καὶ τοὺς Μειδίου δορυφόρους θέσθαι τὰ ὅπλα ἐπὶ τῷ στόματι τοῦ ἑαυτοῦ στρατεύματος, ὡς μισθοφορήσοντας· Μειδίᾳ γὰρ οὐδὲν ἔτι δεινὸν
24 εἶναι. Ὁ μέντοι Μειδίας, ἀπορῶν, ὅ τι ποιοίη, εἶπεν· ἐγὼ μέντοι νῦν ἄπειμι, ἔφη, ξένιά σοι παρασκευάσων. ὁ δὲ, οὐ μὰ Δί', ἔφη, ἐπεὶ αἰσχρὸν, ἐμὲ τεθυκότα ξενίζεσθαι ὑπὸ σοῦ, ἀλλὰ μὴ ξενίζειν σέ. μένε οὖν παρ' ἡμῖν· ἐν ᾧ δ' ἂν τὸ δεῖπνον παρασκευάζηται, ἐγὼ καὶ σὺ τὰ δίκαια
25 πρὸς ἀλλήλους διασκεψόμεθα καὶ ποιήσομεν. Ἐπεὶ δ' ἐκαθέζοντο, ἠρώτα ὁ Δερκυλλίδας· Εἰπέ μοι, ὦ Μειδία,

§. 22. ἀτυχήσει. A. Junt. ἀτυχήσειν. Polyænus ii. 6. Δερκυλλίδας ὤμοσε Μηδίᾳ τῷ τυράννῳ τῆς Σκήψεως ἐφ' ᾧ προελθόντα ταχὺ καὶ ὁμιλήσαντα πάλιν εἰς τὴν πόλιν ἀφεῖναι· καὶ δὴ ὁ μὲν τύραννος προῆλθε. Δερκυλλίδας δὲ προσέταξεν ἀνοῖξαι τὰς πύλας· εἰ δὲ μὴ, φονεύσειν αὐτὸν ἠπείλησεν. ἐπεὶ δὲ φοβηθεὶς ἀνέῳξεν, ἀφίημί σε, ἔφη, νῦν ἐς τὴν πόλιν. τοῦτο γὰρ ὤμοσα, κἀγὼ δὲ μετὰ τῆς ἐμῆς δυνάμεως εἰσέρχομαι. Quæ plane digna ſunt Siſyphi calliditate.

§. 23. ἔχων αὐτόν. Margo L. αὖ τὸν et deinceps ἐκέλευε.

§. 24. ξενίζειν. Qui ſacrificium Diis obtulerat, in partem victimæ amicos ad cœnam vocabat. Dercyllidas igitur, ἐπὶ ξενίᾳ Midiam vocare, ſuum eſſe, ait; ille vero ξένια, dona Dercyllidæ parare ſimulabat. Ita verbo ambiguo illuſit homini Siſyphus.

ἀλλήλους. Poſt hoc addit καὶ L. et St.

ἔφη, ὁ πατήρ σε ἄρχοντα τοῦ οἴκου κατέλιπε; μάλιστα, ἔφη. καὶ πόσαι σοι οἰκίαι ἦσαν; πόσαι δὲ χῶραι; πόσαι δὲ νομαί; ἀπογράφοντος δ᾽ αὐτοῦ, οἱ παρόντες τῶν Σκηψίων εἶπον· ψεύδεταί σε οὗτος, ὦ Δερκυλλίδα. ὑμεῖς δέ 26 γ᾽, ἔφη, μὴ λίαν μικρολογεῖσθε. Ἐπειδὴ δὲ ἀπεγέγραπτο τὰ πατρῷα, εἰπέ μοι, ἔφη, Μανία δὲ τίνος ἦν; οἱ δὲ πάντες εἶπον, ὅτι Φαρναβάζου. οὐκ οὖν καὶ τὰ ἐκείνης, ἔφη, Φαρναβάζου; μάλιστα, ἔφασαν. ἡμέτερα ἂν εἴη, ἔφη, ἐπεὶ κρατοῦμεν· πολέμιος γὰρ ἡμῖν Φαρνάβαζος. ἀλλ᾽ ἡγείσθω τὶς, ἔφη, ὅπου κεῖται τὰ Μανίας καὶ τὰ Φαρναβάζου. Ἡγουμένων δὲ τῶν ἄλλων ἐπὶ τὴν Μανίας οἴκησιν, ἣν 27 παρειλήφει ὁ Μειδίας, ἠκολούθει κἀκεῖνος. ἐπεὶ δ᾽ εἰσῆλθεν, ἐκάλει ὁ Δερκυλλίδας τοὺς ταμίας, φράσας τοῖς ὑπηρέταις, λαβεῖν αὐτοὺς,—προεῖπεν αὐτοῖς, ὡς, εἴ τι κλέπτοντες ἁλώσοιντο τῶν Μανίας, παραχρῆμα ἀποσφαγήσοιντο. οἱ δ᾽ ἐδείκνυσαν. ὁ δ᾽ ἐπεὶ εἶδε πάντα, κατέκλεισεν αὐτὰ, καὶ κατεσημήνατο, καὶ φύλακας κατέστησεν. Ἐξιὼν δὲ, οὓς εὗρεν ἐπὶ ταῖς θύραις τῶν ταξιάρχων καὶ 28 λοχαγῶν, εἶπεν αὐτοῖς· μισθὸς μὲν ὑμῖν, ὦ ἄνδρες, ἐξείργασται τῇ στρατιᾷ, ἐγγὺς ἐνιαυτοῦ, ὀκτακισχιλίοις ἀνδράσιν· ἢν δέ τι προσεργασώμεθα, καὶ ταῦτα προσέσται. ταῦτα δ᾽ εἶπε, γιγνώσκων, ὅτι ἀκούσαντες πολὺ ἔτι εὐτακτότεροι καὶ θεραπευτικώτεροι ἔσοιντο. ἐρομένου δὲ τοῦ Μειδίου, ἐμὲ [δὲ] ποῦ χρὴ οἰκεῖν, ὦ Δερκυλλίδα; ἀπεκρίνατο,

§. 25. πόσαι—χῶραι. Margo Leonclav. πόσοι χῶροι. Fr. Portus emendabat κῶμαι.

§. 26. μικρολογεῖσθε. Castal. μακρολογ.

ἡμέτερα ἂν εἴη. Steph. inferit οὖν, ut fit ἡμέτερα οὖν ἂν εἴη.

§. 27. εἰσῆλθεν, ἐκάλει. A. I. Br. Cast. alio ordine ὁ Δερκυλλίδας ἐκάλει.

φράσας. In Castal. antea inferitur καί. In L. et St. post additur δέ. Morus ante προεῖπεν addit καί. Cæterum ταμίας h. l. villicos, difpenfatores verti volebat Pierfon ad Mœrin p. 372.

[Καὶ φράσας τοῖς ὑπηρέταις, Castal. edit. Bene. Quomodo καὶ ante προεῖπον locum habere poffit, non affequor. *F. A. Wolfius.*]

§. 28. ὑμῖν ἐξήργασται. In Margine L. ἡμῖν εἴργασται. Morus ante verba τῇ στρατιᾷ addebat καί. Mihi placeret ἡμῖν, nullo alio vocabulo addito.

ἐμὲ δέ. A. I. Br. Cast. omittunt δέ.

ἔνθαπερ καὶ δικαιότατον, ἐν τῇ πατρίδι τῇ σαυτοῦ, Σκήψει, καὶ ἐν τῇ πατρῴᾳ οἰκίᾳ.

## ΚΕΦ. Β.

Ο ΜΕΝ δὴ Δερκυλλίδας, ταῦτα διαπραξάμενος, καὶ λαβὼν ἐν ὀκτὼ ἡμέραις ἐννέα πόλεις, ἐβουλεύετο, ὅπως ἂν μή, ἐν τῇ φιλίᾳ χειμάζων, βαρὺς εἴη τοῖς ξυμμάχοις, ὥσπερ Θίμβρων, μηδ᾽ αὖ Φαρνάβαζος καταφρονῶν τῇ ἵππῳ κακουργῇ τὰς Ἑλληνίδας πόλεις. πέμπει οὖν πρὸς αὐτόν, καὶ ἐρωτᾷ, πότερον εἰρήνην ἢ πόλεμον ἔχειν βούλεται. ὁ μέντοι Φαρνάβαζος, νομίσας, τὴν Αἰολίδα ἐπιτετειχίσθαι τῇ ἑαυτοῦ οἰκήσει Φρυγίᾳ, σπονδὰς εἵλετο.

Ὡς δὲ ταῦτα ἐγένετο, ἐλθὼν ὁ Δερκυλλίδας ἐς τὴν Βιθυνίδα Θρᾴκην, ἐκεῖ διεχείμαζεν, οὐδὲν τοῦ Φαρναβάζου πάνυ τι ἀχθομένου· πολλάκις γὰρ οἱ Βιθυνοὶ αὐτῷ ἐπολέμουν. καὶ τὰ μὲν ἄλλα ὁ Δερκυλλίδας ἀσφαλῶς φέρων καὶ ἄγων τὴν Βιθυνίδα, καὶ ἄφθονα ἔχων τὰ ἐπιτήδεια, διετέλει· ἐπεὶ δὲ ἦλθον τότε αὐτῷ παρὰ τοῦ Σεύθου πέραθεν ξύμμαχοι, τῶν Ὀδρυσῶν ἱππεῖς τε ὡς διακόσιοι καὶ πελτασταὶ ὡς τριακόσιοι, οὗτοι, στρατοπεδευσάμενοι καὶ περισταυρωσάμενοι ἀπὸ τοῦ Ἑλληνικοῦ ὡς εἴκοσι στάδια, αἰτοῦντες φύλακας τοῦ στρατοπέδου τὸν Δερκυλλίδαν τῶν ὁπλιτῶν, ἐξῄεσαν ἐπὶ λείαν, καὶ πολλὰ ἐλάμβανον αν-

§. 1. ἐβουλεύετο. Ita Caſt. habet prima pro ἐβούλετο.

ἐπιτετειχίσθαι. Quia erat in poteſtate Dercyllidæ magna pars Æolidis, poterat is inde fines ditionis Pharnabazi depopulari, velut ex ἐπιτειχίσματι ſeu caſtello.

σπονδάς. Diodorus ὀκτομηνιαίους ἀνοχὰς xiv. 38.

§. 2. τὰ μὲν ἄλλα. Alio tempore interpretatur Morus. Recte: ſed exemplum deſidero ſimile.

[Τὰ ἄλλα vere ais eſſe τὸν ἄλλον χρόνον (ut eſt iii. 4. 13. et alibi) h. e. *præterito tempore, antehac, alias,* ἄλλοτε. Modo exemplum deſideras. Ita ſæpe deſideramus, quæ aliis locis ne notatu digna quidem videbantur. Congruit fere τὸ παρελθόν, §. 7. quod ipſum non nimis frequens eſt, pro vulgato, τὸν παρελθόντα χρόνον, vi. 3. 17. *F. A. Wolfius.*]

τὰ ἐπιτήδεια. Articulum omiſit A. I. Br. Caſt.

τότε αὐτῷ. Inane et inutile eſt τότε. Forte aliud verbum in eo latet.

φύλακας. A. I. Br. Caſt. φύλακα.

δράποδά τε καὶ χρήματα. Ἤδη δ' ὄντος τοῦ στρατοπέδου 3
αὐτοῖς μεστοῦ πολλῶν αἰχμαλώτων, καταμαθόντες οἱ Βι-
θυνοὶ, ὅσοι τ' ἐξῄεσαν, καὶ ὅσους κατέλιπον φύλακας Ἕλ-
ληνας, ξυλλεγέντες παμπληθεῖς, πελτασταὶ καὶ ἱππεῖς,
ἅμ' ἡμέρᾳ προσπίπτουσι τοῖς ὁπλίταις, ὡς διακοσίοις
οὖσιν. ἐπειδὴ δ' ἐγγὺς ἐγένοντο, οἱ μὲν ἔβαλλον, οἱ δ'
ἠκόντιζον ἐς αὐτούς. οἱ δ', ἐπεὶ ἐτιτρώσκοντο μὲν καὶ
ἀπέθνησκον, ἐποίουν δ' οὐδὲν, καθειργμένοι ἐν τῷ σταυρώ-
ματι ὡς [ἐν] ἀνδρομήκει ὄντι, διασπάσαντες τὸ αὐτῶν
ὀχύρωμα, ἐφέροντο ἐς αὐτούς. οἱ δὲ, ᾗ μὲν ἐκθέοιεν, ὑπ- 4
εξεχώρουν, καὶ ῥᾳδίως ἀπέφευγον πελτασταὶ ὁπλίτας· ἔνθεν
δὲ καὶ ἔνθεν ἠκόντιζον, καὶ πολλοὺς αὐτῶν ἐφ' ἑκάστῃ ἐκδρομῇ
κατέβαλλον. τέλος δὲ, ὥσπερ ἐν αὐλίῳ σηκασθέντες,
κατηκοντίσθησαν. ἐσώθησαν μέντοι αὐτῶν ἀμφὶ τοὺς πεν-
κεκαίδεκα ἐς τὸ Ἑλληνικὸν, καὶ οὗτοι, ἐπεὶ εὐθέως ᾔσθοντο
τὸ πρᾶγμα, ἀποσχωρήσαντες, καὶ ἐν τῇ μάχῃ διαπεσόντες,
ἀμελησάντων τῶν Βιθυνῶν. Ταχὺ δὲ ταῦτα διαπρα- 5
ξάμενοι οἱ Βιθυνοὶ, καὶ τοὺς σκηνοφύλακας τῶν Ὀδρυσῶν
Θρακῶν ἀποκτείναντες, ἀπολαβόντες πάντα τὰ αἰχμά-
λωτα, ἀπῆλθον· ὥστε οἱ Ἕλληνες, ἐπεὶ ᾔσθοντο, βοηθοῦν-
τες, οὐδὲν ἄλλο εὗρον, ἢ νεκροὺς γυμνοὺς ἐν τῷ στρατοπέδῳ.
ἐπεὶ μέντοι ἐπανῆλθον οἱ Ὀδρύσαι, θάψαντες τοὺς ἑαυ-
τῶν, καὶ πολὺν οἶνον ἐκπιόντες ἐπ' αὐτοῖς, καὶ ἱπποδρομίαν
ποιήσαντες, ὁμοῦ δὴ τὸ λοιπὸν τοῖς Ἕλλησι στρατοπεδευσά-
μενοι, ἦγον καὶ ἔκαιον τὴν Βιθυνίδα.

Ἅμα δὲ τῷ ἦρι πορευόμενος ὁ Δερκυλλίδας ἐκ τῶν Βι- 6

§. 3. ὡς [ἐν]. Leoncl. delendum censuit ἐν, quod fecit Stephan. Brodæus emendabat vulgatam, legendo ἀνδρωνίτιδι aut μανδρεύματι, quam conjecturam ille ex Bilibaldi versione duxit, monente Leoncl.

§. 4. ὑπεξεχώρουν. Ita Steph. emendavit vulgatum ὑπεκχώρουν. Mihi placet Leonclavii ὑπεχώρουν.

καὶ ἐν τῇ μάχῃ. Morus interseruit καί. Contra Brodæus, L. et St. malebant ἀπεχώρησαν legere. Καὶ οὗτοι scil. ἐσώθησαν.

§. 6. πορευόμενος. Margo L. ἀποπορευόμενος.

Ol. 95. $\frac{3}{4}$. θυνῶν, ἀφικνεῖται ἐς Λάμψακον. Ἐνταῦθα δ' ὄντος αὐτοῦ, ἔρχονται ἀπὸ τῶν οἴκοι τελῶν Ἄρακός τε καὶ Ναυάτης καὶ Ἀντισθένης. οὗτοι δ' ἦλθον ἐπισκεψόμενοι τά τε ἄλλα, ὅπως ἔχοι τὰ ἐν τῇ Ἀσίᾳ, καὶ Δερκυλλίδᾳ ἐροῦντες, μένοντι ἄρχειν καὶ τὸν ἐπιόντα ἐνιαυτόν· ἐπιστεῖλαι δ' σφίσιν αὐτοῖς τοὺς ἐφόρους, καὶ ξυγκαλέσαντας τοὺς στρατιώτας εἰπεῖν, ὡς, ὧν μὲν πρόσθεν ἐποίουν, μέμφοιντο αὐτοῖς, ὅτι δὲ νῦν οὐδὲν ἠδίκουν, ἐπαινοῖεν· καὶ περὶ τοῦ λοιποῦ χρόνου εἰπεῖν, ὅτι, ἢν μὲν ἀδικῶσιν, οὐκ ἐπιτρέψουσιν· ἢν δ' δίκαια περὶ τοὺς ξυμμάχους ποιῶσιν, ἐπαινέσονται αὐτούς.
7 Ἐπεὶ μέντοι ξυγκαλέσαντες τοὺς στρατιώτας ταῦτ' ἔλεγον, ὁ τῶν Κυρείων προεστηκὼς ἀπεκρίνατο· Ἀλλ', ὦ ἄνδρες Λακεδαιμόνιοι, ἡμεῖς μὲν ἐσμὲν οἱ αὐτοὶ νῦν τε καὶ πέρυσιν· ἄρχων δὲ ἄλλος μὲν νῦν, ἄλλος δὲ τὸ παρελθόν. τὸ 8 οὖν αἴτιον τοῦ νῦν μὲν μὴ ἐξαμαρτάνειν, τότε δὲ, αὐτοὶ ἤδη ἱκανοί ἐστε γιγνώσκειν. Ξυσκηνούντων δὲ τῶν τε οἴκοθεν πρέσβεων καὶ τοῦ Δερκυλλίδα, ἐπεμνήσθη τὶς τῶν περὶ τὸν Ἄρακον, ὅτι καταλελοίποιεν πρέσβεις τῶν Χεῤῥονησιωτῶν ἐν Λακεδαίμονι. τούτους δὲ λέγειν ἔφασαν, ὡς νῦν μὲν οὐ δύναιντο τὴν Χεῤῥόνησον ἐργάζεσθαι· φέρεσθαι γὰρ καὶ ἄγεσθαι ὑπὸ τῶν Θρακῶν· εἰ δ' ἀποτειχισθείη ἐκ θαλάττης ἐς θάλατταν, καὶ σφίσιν ἂν γῆν πολλὴν καὶ ἀγαθὴν εἶναι ἐργάζεσθαι, καὶ ἄλλοις, ὁπόσοι βούλοιντο Λακεδαιμονίων· ὥστ' ἔφασαν, οὐκ ἂν θαυμάζειν, εἰ καὶ πεμφθείη τὶς Λακεδαιμονίων ἀπὸ τῆς πόλεως σὺν δυνάμει ταῦτα πράξων.
9 ὁ οὖν Δερκυλλίδας πρὸς μὲν ἐκείνους οὐκ εἶπεν, ἣν εἶχε γνώμην ταῦτ' ἀκούσας, ἀλλ' ἔπεμψεν αὐτοὺς ἀπ' Ἐφέσου

§. 7. *προεστηκώς*. Moro videtur esse ipse Xenophon, qui ex Persica expeditione reduxerat Græcos postremus dux.

§. 8. *Χεῤῥονησιωτῶν*. Margo L. et St. *Χεῤῥονησίτων*. A. *νῆσος* fit quidem *νησιώτης*, sed in compositis ea forma est inusitata.

*Θρακῶν*. Male A. I. Br. Cast. *Περσῶν*. Vitium vidit Brodæus.

*ἄλλοις ὁπόσοι*. Margo Leoncl. *ὁπόσοις*.

§. 9. *εἶχε*. Margo L. *ἔχοι* et deinceps *ἀλλ' ἀπέπεμψεν*.

διὰ τῶν Ἑλληνίδων πόλεων, ἡδόμενος, ὅτι ἔμελλον ὄψεσθαι τὰς Ἑλληνίδας πόλεις ἐν εἰρήνῃ εὐδαιμονικῶς διαγούσας. Οἱ μὲν δὴ ἐπορεύοντο. ὁ δὲ Δερκυλλίδας, ἐπειδὴ ἔγνω μενετέον ὄν, πάλιν πέμψας πρὸς τὸν Φαρνάβαζον, ἐπήρετο, πότερα βούλοιτο σπονδὰς ἔχειν, καθάπερ διὰ τοῦ χειμῶνος, ἢ πόλεμον. ἑλομένου δὲ τοῦ Φαρναβάζου καὶ τότε σπονδὰς, οὕτω καταλιπὼν καὶ τὰς περὶ ἐκεῖνον πόλεις φιλίας [ἐν εἰρήνῃ], διαβαίνει τὸν Ἑλλήσποντον σὺν τῷ στρατεύματι ἐς τὴν Εὐρώπην· καὶ διὰ φιλίας τῆς Θρᾴκης πορευθεὶς, καὶ ξενισθεὶς ὑπὸ Σεύθου, ἀφικνεῖται ἐς Χεῤῥόνησον. Ἣν καταμαθὼν πόλεις μὲν ἕνδεκα ἢ δώδεκα ἔχουσαν, χώραν δὲ παμφορωτάτην καὶ ἀρίστην οὖσαν, κεκακωμένην δὲ, ὥσπερ ἐλέγετο, ὑπὸ τῶν Θρᾳκῶν, ἐπεὶ μετρῶν εὗρε τοῦ Ἰσθμοῦ ἑπτὰ καὶ τριάκοντα στάδια, οὐκ ἠμέλησεν, ἀλλὰ θυσάμενος ἐτείχιζε, κατὰ μέρη διελὼν τοῖς στρατιώταις τὸ χωρίον· καὶ ἆθλα αὐτοῖς ὑποσχόμενος δώσειν τοῖς πρώτοις ἐκτειχίσασι, καὶ τοῖς ἄλλοις, ὡς ἕκαστοι εἶεν ἄξιοι, ἀπετέλεσε τὸ τεῖχος, ἀρξάμενος ἀπὸ ἠρινοῦ χρόνου, πρὸ ὀπώρας. καὶ ἐποίησεν ἐντὸς τοῦ τείχους ἕνδεκα μὲν πόλεις, πολλοὺς δὲ λιμένας, πολλὴν δὲ καὶ ἀγαθὴν γῆν σπόριμον, πολλὴν δὲ πεφυτευμένην, παμπληθεῖς δὲ καὶ παγκάλας νομὰς 10

*τὰς περὶ ἐκεῖνον πόλεις.* Vicinas ditioni Pharnabazi urbes interpretatur Morus; ſed inſolens de urbibus dici *τὰς περὶ Φαρνάβαζον*, ut de hominibus. Malim igitur *τὰς περὶ ἐκεῖνα* ſcil. *χωρία*, quem modum loquendi infra bis reperies.

*φιλίας ἐν εἰρήνῃ.* Morus verba *ἐν εἰρήνῃ* ſuſpecta habuit et incluſit. Ego vero contra verbum *φιλίας* expungere mallem.

§. 10. *δώδεκα.* Numerum hunc cur addiderit, ignoro, deinceps enim muris longis undecim incluſas, ait, fuiſſe.

*ἀρίστην.* Caſtal. *ἄριστον.*

*μετρῶν εὗρε.* Cherſoneſi a longis muris longitudinem 126. millia paſſuum tradit Plinius iv. 11. latitudinem parem cum Iſthmo Corinthiaco, id eſt, quinque millium paſſuum, quæ paulo plus quam 37. ſtadia efficiunt.

*παγκάλας.* A. I. Br. Caſtal. *παγκάλους*, quod præferam. Cæterum jam olim Pericles apud Plutarchum c. 19. duxit mille colonos in has urbes, *καὶ τὸν αὐχένα διαζώσας ἐρύμασι καὶ προβλήμασιν ἐκ θαλάττης ἐς θάλατταν ἀπετείχισε τὰς καταδρομὰς τῶν Θρᾳκῶν περικεχυμένων τῇ Χεῤῥονήσῳ.* Plinius Macron Teichos memorat dictum, qua a Propontide ad Melanem ſinum inter duo maria porrectus murus procurrentem excluſit Cherroneſum iv. 11. et Mela ii. 2. Fines

11 παντοδαποῖς κτήνεσι. Ταῦτα δὲ πράξας, διέβαινε πάλιν ἐς τὴν Ἀσίαν.

Ἐπισκοπῶν δὲ τὰς πόλεις, ἑώρα τὰ μὲν ἄλλα καλῶς ἐχούσας, Χίων δὲ φυγάδας εὗρεν Ἀταρνέα ἔχοντας, χωρίον ἰσχυρὸν, καὶ ἐκ τούτου ὁρμωμένους φέροντας καὶ ἄγοντας τὴν Ἰωνίαν, καὶ ζῶντας ἐκ τούτου. πυθόμενος δὲ, ὅτι πολὺς σῖτος ἐνῆν αὐτοῖς, περιστρατοπεδευσάμενος ἐπολιόρκει· καὶ ἐν ὀκτὼ μησὶ παραστησάμενος αὐτοὺς, καταστήσας ἐν αὐτῷ Δράκοντα Πελληνέα ἐπιμελητὴν, καὶ κατασκευάσας ἐν τῷ χωρίῳ ἔκπλεω πάντα τὰ ἐπιτήδεια, ἵνα εἴη αὐτῷ καταγωγὴ, ὁπότε ἀφικνοῖτο, ἀπῆλθεν ἐς Ἔφεσον, ἣ ἀπέχει ἀπὸ Σάρδεων τριῶν ἡμερῶν ὁδόν.

12 Ol. 96. $\frac{4}{1}$. Καὶ μέχρι τούτου τοῦ χρόνου ἐν εἰρήνῃ διῆγον Τισσαφέρνης

Cherroneſi antiquos memorat Demoſthenes de Haloneſo p. 86. Iſthmi hujus perfoſſionem tentavit deinde Philippus rex. Iſthmum vocat Cherſoneſum Noſter etiam Anabaſ. ii. 6. 3. ubi Zeunius a vero plane aberravit. Portus Cherſoneſi Cœlon et Panormum memorat Plinius cum Mela iii. 2.

§. 11. Ἀταρνέα. Diodorus xiii. 65. poſtquam Crateſippidas Chios exſules reduxerat, hi contra exſilii ſui auctores ejiciunt fere 600. οὗτοι δὲ, τῆς ἀντιπέραν ἠπείρου χωρίον Ἀταρνέα καλούμενον κατελάβοντο, σφόδρα τῇ φύσει καθεστηκὸς ὀχυρὸν καὶ τὸ λοιπὸν ἐκ τούτου τὰς ἀφορμὰς ἔχοντες ἐπολέμουν τοῖς τὸ Χῖον ἔχουσι. Hæc ille ſub Olymp. 92. 4. ibique hujus loci non meminerat Weſſeling. Dercyllidæ autem imperium ſecundum refert Diodorus ad Olymp. 95. 3. Anni igitur decem interceſſerint. Crateſippides conſtituiſſe videtur hæc tum, cum navium imperium in inſula Chio adiret, referente Noſtro i. c. 1. §. 32. quod factum ex rationibus Dodwelli Olympiad. 93 $\frac{4}{1}$. Dercyllidas vero Atarneum expugnavit Olymp. 95 $\frac{3}{4}$. Sed tamen ex Iſocrate de Pace p. 348. tempus paulo accuratius definire licebit. Ille enim de Lacedæmoniis poſt victoriam Lyſandri hæc refert : οὐκ ἔφθησαν τὴν ἀρχὴν κατασχόντας, καὶ Θηβαίοις μὲν εὐθὺς ἐπεβούλευσαν, Χίων δὲ τοὺς πρώτους μὲν τῶν πολιτῶν ἐφυγάδευσαν, τὰς δὲ τριήρεις ἐκ τῶν νεωρίων ἐξελκύσαντες ἁπάσας ὤλοντο λαβόντες. Igitur credere licet, Chios, Alcibiade rem bene gerente, Athenienſibus acceſſiſſe ; poſt Lyſandri autem victoriam ſtudioſos Athenienſium iterum ejectos urbe Atarneum occupaſſe. Cæterum de Atarneo commode monet Pauſanias iv. p. 370. τὸ δὲ χωρίον ἐστιν ὁ Ἀταρνεὺς, ὁ Χίων μισθὸς, ὃν παρὰ τοῦ Μήδου λαμβάνουσιν ἄνδρα ἐκδόντες ἱκέτην Πακτύην τὸν Λυδόν. Chiorum non leve momentum fuiſſe ad bella inclinanda ad alterutram partem, monet Iſocrates Panegyrici c. 38. ἐν γὰρ τοιούτοις καιροῖς πολλάκις μικραὶ δυνάμεις μεγάλας ῥοπὰς ἐποίησαν· ἐπεὶ καὶ περὶ Χίων ἔχοιμ᾽ ἂν τοῦτον τὸν λόγον εἰπεῖν, ὡς ὁποτέροις ἐκεῖνοι προσθέσθαι βουληθεῖεν οὗτοι κατὰ θάλατταν κρείττους ἦσαν. Cæterum ſimili in caſu Mitylenæi exſules oppoſitum inſulæ Leſbo Antandrum occuparunt, atque inde Mitylenæos vexarunt, narrante Diodoro xii. 72.

περιστρατοπεδευσάμενος. Caſtal. cum A. Junt. ἐπιστρατοπεδευσάμενος.

Δράκοντα. Iſocrates Panegyr. 40. Δράκων δὲ Ἀταρνέα καταλαβὼν καὶ τρισχιλίους πελταστὰς συλλέξας τὸ Μύσιον πεδίον ἀνάστατον ἐποίησε.

τε καὶ Δερκυλλίδας, καὶ οἱ ταύτῃ Ἕλληνες καὶ οἱ βάρβαροι. Ἐπεὶ δὲ ἀφικνούμενοι πρέσβεις ἐς Λακεδαίμονα ἀπὸ τῶν Ἑλληνίδων πόλεων ἐδίδασκον, ὅτι εἴη ἐπὶ Τισσαφέρνει, εἰ βούλοιτο, ἀφιέναι αὐτονόμους τὰς Ἑλληνίδας πόλεις· εἰ οὖν κακῶς πάσχει Καρία, ἔνθαπερ ὁ Τισσαφέρνους οἶκος, οὕτως ἂν ἔφασαν τάχιστα νομίζειν αὐτὸν συγχωρήσειν αὐτονόμους σφᾶς ἀφιέναι· ἀκούσαντες ταῦτα οἱ ἔφοροι ἔπεμψαν πρὸς Δερκυλλίδαν, καὶ ἐκέλευον αὐτὸν διαβαίνειν σὺν τῷ στρατεύματι ἐπὶ Καρίαν, καὶ Φάρακα τὸν ναύαρχον σὺν ταῖς ναυσὶ παραπλεῖν. 13 Οἱ μὲν δὴ ταῦτ' ἐποίουν. ἐτύγχανε δὲ κατὰ τοῦτον τὸν χρόνον καὶ Φαρνάβαζος πρὸς Τισσαφέρνην ἀφιγμένος, ἅμα μὲν ὅτι στρατηγὸς τῶν πάντων ἀπεδέδεικτο Τισσαφέρνης, ἅμα δὲ διαμαρτυρόμενος, ὅτι ἕτοιμος εἴη κοινῇ πολεμεῖν, καὶ ξυμμάχεσθαι, καὶ συνεκβάλλειν τοὺς Ἕλληνας ἐκ τῆς βασιλέως. (ἄλλως τε γὰρ ὑπεφθόνει τῆς στρατηγίας τῷ Τισσαφέρνει, καὶ τῆς Αἰολίδος χαλεπῶς ἔφερεν ἀπεστερημένος.) ὁ δ' ἀκούων, πρῶτον μὲν τοίνυν, ἔφη, διάβηθι σὺν ἐμοὶ ἐπὶ Καρίαν, ἔπειτα δὲ καὶ περὶ τούτων βουλευσόμεθα. 14 Ἐπεὶ δ' ἐκεῖ ἦσαν, ἔδοξεν αὐτοῖς, ἱκανὰς φυλακὰς ἐς τὰ ἐρύματα καταστήσαντας, διαβαίνειν πάλιν ἐπὶ τὴν Ἰωνίαν. Ὡς δ' ἤκουσεν ὁ Δερκυλλίδας, ὅτι πάλιν πεπερακότες εἰσὶ τὸν Μαίανδρον, εἰπὼν τῷ Φάρακι, ὡς ὅτι ὀκνοίη, μὴ ὁ Τισσαφέρνης καὶ ὁ Φαρνάβαζος ἐρήμην οὖσαν καταθέοντες φέ-

§. 12. Ἑλληνίδων. Margo L. et St. Ἰωνίδων.

εἰ οὖν κακῶς πάσχει. Castal. edidit: εἰ δὲ μὴ, εἰ κακῶς πάσχοι. Quoniam opponi sibi voluit Castal. voluntatem, εἰ βούλοιτο, et necessitatem.

[εἰ οὖν κ. πάσχοι leg. non πάσχει. Sequitur οὕτως ἂν νομίζειν etc. *F. A. Wolfius.*]

ἔπεμψαν πρός. Margo Leonclav. post Dercyllidæ nomen addit ἄγγελον.

Φάρακα. Nominat Diodorus xiv. 79. et Athenæus xii. p. 53. ex Theopompo describit hominis ingenium. Alium Φαρακίδαν habet Diodorus xiv. 63. item navarchum.

§. 13. τῆς στρατηγίας. Ita emendavit Leonclav. vulgatum τῇ στρατιᾷ. et recte sensum hunc expressit versio Pirkheimeri.

§. 14. ὡς ὅτι. Cast. ὅτι omisit, Leoncl. defendit.

ρωσι καὶ ἄγωσι τὴν χώραν, διέβαινε καὶ αὐτός. πορευόμενοι δὲ καὶ οὗτοι οὐδέν τι συντεταγμένῳ τῷ στρατεύματι, ὡς προεληλυθότων τῶν Ἐφεσίων ἐς τὴν πολεμίαν, ἐξαίφνης 15 ὁρῶσιν ἐκ τοῦ ἀντιπέρας σκοποὺς ἐπὶ τῶν μνημάτων· καὶ ἀνταναβιβάσαντες ἐς τὰ παρ' ἑαυτοῖς μνημεῖα καὶ τύρσεις τινὰς, καθορῶσι παρατεταγμένους, ᾗ αὐτοῖς ἦν ἡ ὁδὸς, Κᾶρας τε λευκάσπιδας, καὶ τὸ Περσικὸν, ὅσον ἐτύγχανε παρὸν, στράτευμα, καὶ τὸ Ἑλληνικὸν, ὅσον εἶχεν ἑκάτερος αὐτῶν, καὶ τὸ ἱππικὸν μάλα πολὺ, τὸ μὲν Τισσαφέρνους ἐπὶ τῷ δεξιῷ κέρατι, τὸ δὲ Φαρναβάζου ἐπὶ τῷ εὐωνύμῳ. 16 Ὡς δὲ ταῦτα ᾔσθετο ὁ Δερκυλλίδας, τοῖς μὲν ταξιάρχοις καὶ τοῖς λοχαγοῖς εἶπε παρατάττεσθαι τὴν ταχίστην ἐς ὀκτὼ, τοὺς δὲ πελταστὰς ἐπὶ τὰ κράσπεδα ἑκατέρωθεν μὲν καθίστασθαι, καὶ τοὺς ἱππέας, ὅσους γε δὴ καὶ οἵους 17 ἐτύγχανεν ἔχων· αὐτὸς δὲ ἐθύετο. Ὅσον μὲν δὴ ἦν ἐκ Πελοποννήσου στράτευμα, ἡσυχίαν εἶχε, καὶ παρεσκευάζετο ὡς μαχούμενον· ὅσοι δὲ ἦσαν ἀπὸ Πριήνης τε καὶ Ἀχιλλείου, καὶ ἀπὸ νήσων, καὶ τῶν Ἰωνικῶν πόλεων, οἱ μέν τινες καταλιπόντες ἐν τῷ σίτῳ τὰ ὅπλα ἀπεδίδρασκον, (καὶ γὰρ ἦν βαθὺς ὁ σῖτος ἐν τῷ Μαιάνδρου πεδίῳ·) ὅσοι δὲ καὶ 18 ἔμενον, δῆλοι ἦσαν οὐ μενοῦντες. Τὸν μὲν οὖν Φαρνάβαζον

πορευόμενοι δὲ καὶ οὗτοι. Pronomen οὗτοι Morus refert ad Dercyllidam cum fuis copiis, et καὶ tanquam fuperfluum includit. Recte quidem ille refert hæc ad Dercyllidam, fed infolens eft forma οὗτοι de Dercyllida, fi vel copiarum mentionem illi adjungas, cum ftatim præcefferit: διέβαινε καὶ αὐτός. Igitur V. D. in Bibl. Cr. Amft. legendum putabat: πορευομένου δὲ αὐτοῦ. At vero ita fequens ὁρῶσιν et ἀνταναβιβάσαντες cum reliqua oratione claudicat. Igitur puto, οὗτοι referri ad Dercyllidam et Pharacem; hic enim copias fuas navibus advectas expofuiffe et cum exercitu Dercyllidæ junxiffe videtur.

οὐδέν τι. Caftal. cum A. I. οὐδέν τοι.

τῶν Ἐφεσίων ἐς τὴν χώραν. Leoncl. probante Moro emendabat: ὡς προεληλυθότων τῶν πολεμίων ἐς τὴν Ἐφεσίαν. Quia fcilicet hoftes præcefferant, neque Dercyllidas, tunc in Caria verfatus, (fect. 12. 13. et Mæandrii campi mentio fit §. 17.) quem timeret, non habebat, agmine palanti incedebat. Palmerius contra emendabat Exercit. p. 67. ὡς προεληλυθότες τῶν πολεμίων ἐς τὴν Ἐφεσίων. Vulgatam defendit Kœppen.

σκοπούς. Ita recte emendavit Palmerius vulgatum σκοποῦ. Brodæus malebat σκοπιᾶς.

ἐξηγγέλλετο μάχεσθαι κελεύειν· ὁ μέντοι Τισσαφέρνης, τό τε Κύρειον στράτευμα καταλογιζόμενος, ὡς ἐπολέμησεν αὐτοῖς, καὶ τούτῳ πάντας νομίζων ὁμοίους εἶναι τοὺς Ἕλληνας, οὐκ ἐβούλετο μάχεσθαι· ἀλλὰ πέμψας πρὸς Δερκυλλίδαν, εἶπεν, ὅτι ἐς λόγους βούλοιτο αὐτῷ ἀφικέσθαι. Καὶ ὁ Δερκυλλίδας, λαβὼν τοὺς κρατίστους τὰ εἴδη τῶν περὶ αὐτὸν ἱππέων καὶ πεζῶν, προῆλθε πρὸς τοὺς ἀγγέλους, καὶ εἶπεν· Ἀλλὰ παρεσκευασάμην μὲν ἔγωγε μάχεσθαι, ὡς ὁρᾶτε· ἐπεὶ μέντοι ἐκεῖνος βούλεται ἐς λόγους ἀφικέσθαι, οὐδ᾽ ἐγὼ ἀντιλέγω. ἂν μέντοι ταῦτα δέῃ ποιεῖν, πιστὰ [ὁμήρους] δοτέον καὶ ληπτέον. 19 Δόξαντα δὲ ταῦτα καὶ περανθέντα, τὰ μὲν στρατεύματα ἀπῆλθε, τὸ μὲν βαρβαρικὸν ἐς Τράλλεις τῆς Φρυγίας, τὸ δὲ Ἑλληνικὸν ἐς Λεύκοφρυν, ἔνθα ἦν Ἀρτέμιδος ἱερὸν μάλα ἅγιον, καὶ λίμνη πλέον ἢ σταδίου, ὑπόψαμμος, ἀέναος, ποτίμου καὶ θερμοῦ ὕδατος. Καὶ τότε μὲν ταῦτα ἐπράχθη. τῇ δὲ ὑστεραίᾳ ἐς τὸ ξυγκείμενον χωρίον ἦλθον, καὶ ἔδοξεν αὐτοῖς πυθέσθαι ἀλλήλων, ἐπὶ τίσιν ἂν τὴν εἰρήνην ποιήσαιντο. ὁ μὲν δὴ Δερκυλλίδας εἶπεν, εἰ αὐτονόμους ἐῴη βασιλεὺς τὰς Ἑλληνίδας πόλεις· 20 ὁ δὲ Τισσαφέρνης καὶ Φαρνάβαζος εἶπον, ὅτι, εἰ ἐξέλθοι τὸ Ἑλληνικὸν στράτευμα ἐκ τῆς βασιλέως χώρας, καὶ οἱ Λακεδαιμονίων ἁρμοσταὶ ἐκ τῶν πόλεων. Ταῦτα δὲ εἰπόντες ἀλλήλοις σπονδὰς ἐποιήσαντο,

§. 18. ἐξηγγέλλετο. Ald. ἐξηγγείλετο. Junt. Caſt. ἐξηγγείλατο. Emendavit Brodæus.

πιστὰ ὁμήρους. In A. I. Bryl. Caſt. poſt πιστὰ interpungitur, quaſi ſit ταῦτα πιστὰ ποιεῖν. In St. L. additum eſt καί. Sed recte Morus ὁμήρους ut gloſſam incluſit.

§. 19. Φρυγίας. In confiniis Cariæ et Lydiæ fuerunt Tralles. Igitur in margine S. L. eſt Καρίας. Morus et Goldhagen malebant Λυδίας.

Λεύκοφρυν. In Mæandrio campo fuit ſita, ut infra docet iv. cap. 8. Apud Athenæum locus eſt Nicandri ex Georgicis xv. 9. οὐδ᾽ αὐτὴ Λεύκοφρυς ἀγασσομένοις ἐπιμεμφὴς Ληθαίου Μάγνητος ἐφ᾽ ὕδασιν εὖ θαλέουσα. quem locum numo illuſtravit *Buonarotti Oſſervazioni ſopra alcuni medaglioni* p. 86. De Diana Leucophryne vide *Heynii mei Collection. Diſſertat. Antiq.* vol. i. p. 109.

§. 20. σπονδὰς ἐποιήσαντο. Ad hoc fœdus, aut ad prius, ſupra §. 1. memoratum, pertinere puto, quæ narrat Iſocrates Panegyrico c. 41. καὶ τοῖς μὲν Κισθήνην καταλαβοῦσιν ἑκατὸν τά-

ἕως ἀπαγγελθείη τὰ λεχθέντα, Δερκυλλίδα μὲν ἐς Λακεδαίμονα, Τισσαφέρνει δὲ ἐπὶ βασιλέα.

21 Οl. 94. ¾. Τούτων δὲ πραττομένων ἐν τῇ Ἀσίᾳ ὑπὸ Δερκυλλίδα, Λακεδαιμόνιοι κατὰ τὸν αὐτὸν χρόνον, πάλαι ὀργιζόμενοι τοῖς Ἠλείοις, καὶ ὅτι ἐποιήσαντο ξυμμαχίαν πρὸς Ἀθηναίους καὶ Ἀργείους καὶ Μαντινέας, καὶ ὅτι, δίκην φάσκοντες καταδεδικάσθαι αὐτῶν, ἐκώλυον καὶ τοῦ ἱππικοῦ καὶ τοῦ γυμνικοῦ ἀγῶνος· καὶ οὐ μόνον ταῦτ' ἤρκει, ἀλλὰ καὶ, Λείχα παραδόντος Θηβαίοις τὸ ἅρμα, ἐπεὶ ἐκηρύττοντο νικῶντες, ὅτε εἰσῆλθε Λείχας στεφανώσων τὸν ἡνίοχον, 22 μαστιγοῦντες αὐτὸν, ἄνδρα γέροντα, ἐξήλασαν. τούτων δ' ὕστερον, καὶ Ἄγιδος πεμφθέντος θῦσαι τῷ Διῒ κατὰ μαντείαν τινὰ, ἐκώλυον οἱ Ἠλεῖοι, μὴ προσεύχεσθαι νίκην πολέμου, λέγοντες, ὡς καὶ τὸ ἀρχαῖον εἴη οὕτω νόμιμον, μὴ χρηστηριάζεσθαι τοὺς Ἕλληνας ἐφ' Ἑλλήνων πολέμῳ· 23 ὥστε ἄθυτος ἀπῆλθεν. Ἐκ τούτων οὖν πάντων ὀργιζομένοις ἔδοξε τοῖς ἐφόροις καὶ τῇ ἐκκλησίᾳ, σωφρονίσαι αὐ-

λαντα διένειμαν. (Perſæ) ubi Ciſthenem de urbe Æolidis interpretatur Wolf. Cæterum res geſtas a §. 12. uſque ad hoc fœdus breviter narravit Diodorus xiv. 39.

§. 21. συμμαχίαν πρὸς Ἀθηναίους. Cujus fœderis formulam habet Thucydides v. 46. 47.

δίκην. Religionem ludorum Olympicorum armis violarant Lacedæmonii; igitur Elei præſides ludorum multam duorum millium minarum iis dictarant, eoſque ſacrificiis et jure certaminum prohibuerant, dum ſolviſſent multam. Thucyd. v. 49. 50.

ταῦτ' ἤρκει. In Caſtal. eſt ταῦτ' οὐκ ἤρκει. Locus eſt ſimillimus in Cyrop. viii. 8. 16. ἐκείνοις γὰρ πρῶτον μὲν τὰς εὐνὰς οὐ μόνον ἀρκεῖ μαλακῶς ὑποστρωννύσθαι, ἀλλ' ἤδη καὶ τῶν κλινῶν τοὺς πόδας ἐπὶ ταπίδων τιθέασιν. Iterum ibidem §. 17. καὶ ἐν τῷ χειμῶνι οὐ μόνον κεφαλὴν καὶ σῶμα καὶ πόδας ἀρκεῖ αὐτοῖς ἐσκεπάσθαι, ἀλλὰ καὶ περὶ ἄκραις ταῖς χερσὶ χειρίδας δασείας καὶ δακτυλήθρας ἔχουσιν. Ex quibus locis apparet ordinari verba debere proprie ſic: καὶ οὐκ ἤρκει ταῦτα μόνον.

παραδόντος. A. I. Br. Caſt. παραδόντες, et poſt Λείχας Caſtal. poſuit aſteriſcum. Brodæus emendavit vitium vulgatæ. Pauſanias vi. 2. καθῆκεν ἐπὶ ὀνόματι τοῦ Θηβαίων δήμου τὸ ἅρμα. Poſt victoriam Lichas non diutius ſimulavit Thebanorum eſſe currum, ſed ſurrexit et aurigam coronavit. Unde res ad verbera venit. Thucydides v. 50. Nempe ipſe etiam Lichas in culpa fuit. Nam ut eſt apud Herodotum viii. p. 644. ἐν τοῖσιν ἀγῶσιν οἱ προεξανιστάμενοι ῥαπίζονται, monente Valckenario ad Herodotum l. c. De Licha vide ad Memorab. i. 2.

§. 22. Ἄγιδος. Diodorus xiv. 17. μάλιστα ὅτι Παυσανίαν—διεκώλυσαν τῷ θεῷ θῦσαι, καὶ διότι τοῖς Ὀλυμπίοις Λακεδαιμονίους οὐκ εἴασαν ἀγωνίσασθαι. Itaque exercitus ducem etiam Pauſaniam nominat. Cum Xenophonte facit Pauſanias iii. 8.

τοὺς. πέμψαντες οὖν πρέσβεις ἐς Ἦλιν, εἶπον, ὅτι τοῖς τέλεσι τῶν Λακεδαιμονίων δίκαιον δοκοίη εἶναι, ἀφιέναι αὐτοὺς τὰς περιοικίδας πόλεις αὐτονόμους. Ἀποκριναμένων δὲ τῶν Ἠλείων, ὅτι οὐ ποιήσειαν ταῦτα· ἐπιληΐδας γὰρ ἔχοιεν τὰς πόλεις· φρουρὰν ἔφηναν οἱ ἔφοροι. ἄγων δὲ τὸ στράτευμα Ἄγις ἐνέβαλε διὰ τῆς Ἀχαΐας ἐς τὴν Ἠλείαν κατὰ Λάρισσον. ἄρτι δὲ τοῦ στρατεύματος ἐν τῇ πολεμίᾳ [24] ὄντος, καὶ κοπτομένης τῆς χώρας, σεισμὸς ἐπιγίγνεται· ὁ δ᾽ Ἄγις, θεῖον ἡγησάμενος, ἐξελθὼν πάλιν ἐκ τῆς χώρας, διαφῆκε τὸ στράτευμα. ἐκ δὲ τούτου οἱ Ἠλεῖοι πολὺ θρασύτεροι ἦσαν, καὶ διεπρεσβεύοντο πρὸς τὰς πόλεις, ὅσας δυσμενεῖς οὔσας τοῖς Λακεδαιμονίοις ᾔδεσαν. Περιϊ- [25] Ol. 95. $\frac{4}{1}$.

§. 23. πρέσβεις. Diodorus δέκα πρεσβευτὰς, Pausanias κήρυκα.

αὐτονόμους. Addit Diodorus: ἔπειτα τὰς δαπάνας τοῦ πρὸς Ἀθηναίους πολέμου κατὰ τὸ ἐπιβάλλον αὐτοῖς μέρος ἀπῄτουν. Deinceps Cast. ἀποκρινομένων.

ἐπιληΐδας. Castal. ἐπὶ ληΐδας. Forte voluit ἐπεὶ ληΐδας. Forma ἐπιληῒς certe inusitata est.

ἔχοιεν. Morus ἔχειν malebat; quæ quidem forma in tali casu solennis esse solet. Sed in oratoribus Atticis et ipso Xenophonte altera forma sæpe occurrit mihi.

φρουρὰν ἔφηναν. Ex Xenophonte locutionem hanc repetiit Aristides rhetor. Ita intelligendum puto item quod est ap. Lysiam contra Alcibiad. p. 563. ἀνακαλεῖν Πάμφιλον, ὅτι φαίνων ἵππον ἱππέως ἀπεστέρει τὴν πόλιν· quod Pamphilus hipparchus constitutus, cum militiam equestrem indixisset, Alcibiadem ex tribu sua exemisset. Hic enim, cum in tribu sua inter equites militare deberet, ad ὁπλίτας sponte sua transiit. Frustra Interpretes h. l. tentant. Quod in Libro de Republ. Lacedæmon. xi. 2. et xiii. 1. est ἐπὶ στρατιᾶς, idem xiii. 1. et 11. est ἐπὶ φρουρᾶς· ubi inepte Zeunius in Indice interpretatur castra. Recte gallicus Interpres Anabaseos Eques *de la Luzerne* posuit *à la guerre*. Non esse militiæ Laconicæ proprium vocabulum, arguo ex loco de Magistro Equit. vi. 3. ubi de Attica militia similiter est ἐν ταῖς φρουραῖς.

Λάρισσον. Recte ita Margo Leoncl. ex emendatione Fr. Porti pro vulgato Λάρισσαν. Larissa nulla fuit Achaiæ, sed fluvius Larissus, qui disterminabat Achaiam et Eleam regionem; ad quem templum fuit Minervæ Λαρισσαίας, teste Pausania vii. p. 564. a Dyma dissitum stadiis 400. Plutarchus Philopœm. c. 7. Achæorum pugnam contra Eleos et Ætolos memorat περὶ τὸν Λάρισσον ποταμόν. Miror hæc Morum omisisse.

§. 24. πολεμίᾳ. Progressum erat usque ad Olympiam et Alpheum, teste Pausania.

πρὸς τάς. Margo Leonclav. εἰς τάς.

§. 25. Περιϊόντι. A. I. Br. Cast. περιόντι, quasi reliquo anni tempore iterum duxisset exercitum Agis contra Eleos. Diodorus expeditionis initium rejecit in Olympiadis 94. annum 3. et hiemem in causa fuisse innuit, quominus progrederetur ulterius dux exercitus Pausanias. Hunc enim ille pro Agide nominat. Contra Dodwellus secundam expeditionem, anno disjunctam, in hunc Olympiadis annum, priorem in annum priorem confert. Verum quod sequitur §. 30. τὸ λοιπὸν θέρος καὶ τὸν ἐπιόντα χειμῶνα, significat, de novo anno sermonem esse; et manifesto ex h. l. Pausanias iii. 8. τῷ ἐφεξῆς ἔτει. Igitur primam expeditionem, utpote frustra susce-

ὄντι δὲ τῷ ἐνιαυτῷ φαίνουσι πάλιν οἱ ἔφοροι φρουρὰν ἐπὶ τὴν Ἦλιν, καὶ ξυνεστρατεύοντο τῷ Ἄγιδι, πλὴν Βοιωτῶν καὶ Κορινθίων, οἵ τε ἄλλοι ξύμμαχοι, καὶ οἱ Ἀθηναῖοι. ἐμβαλόντος δὲ τοῦ Ἄγιδος δι' Αὐλῶνος, εὐθὺς μὲν Λεπρεᾶται, ἀποστάντες τῶν Ἠλείων, προσεχώρησαν αὐτῷ· εὐθὺς δὲ Μακίστιοι, ἐχόμενοι δὲ Ἐπιταλιεῖς. διαβαίνοντι δὲ τὸν ποταμὸν προσεχώρουν Λετρῖνοι, καὶ Ἀμφίδολοι, καὶ Μαργανεῖς. 26 Ἐκ δὲ τούτου ἐλθὼν ἐς Ὀλυμπίαν, ἔθυε τῷ Διῒ τῷ Ὀλυμπίῳ, κωλύειν δὲ οὐδεὶς ἔτι ἐπειρᾶτο. θύσας δὲ, πρὸς τὸ ἄστυ ἐπορεύετο, κόπτων καὶ κάων τὴν χώραν, καὶ ὑπέρπολλα μὲν κτήνη, ὑπέρπολλα δὲ ἀνδράποδα ἡλίσκετο ἐκ τῆς χώρας· ὥστε ἀκούοντες καὶ ἄλλοι πολλοὶ τῶν Ἀρκάδων καὶ Ἀχαιῶν ἑκόντες ᾖεσαν ξυστρατευσόμενοι, καὶ μετεῖχον τῆς ἁρπαγῆς. καὶ ἐγένετο αὕτη ἡ στρατεία ὥσπερ 27 ἐπισιτισμὸς τῇ Πελοποννήσῳ. ἐπεὶ δὲ ἀφίκετο πρὸς τὴν πόλιν, τὰ μὲν προάστεια καὶ τὰ γυμνάσια, καλὰ ὄντα, ἐλυμαίνετο· τὴν δὲ πόλιν (ἀτείχιστος γὰρ ἦν) ἐνόμισαν

ptam, omiſit Diodorus, et recte monuit Dodwell.

[Varietatem lectionis *περιόντι* ſpernere non licebit, ſi vera eſt ſcriptura loci Thucydidei i. 30. *μέχρις οὗ Κορίνθιοι περιόντι τῷ θέρει πέμψαντες ναῦς καὶ στρατιὰν ἐστρατοπεδεύοντο. Ex Addendis.*]

*Βοιωτίων καὶ Κορινθίων.* Hos excipit etiam Diodorus.

*Αὐλῶνος.* Pauſanias Meſſeniac. c. 36. *ἐν δὲ Αὐλῶνι καλουμένῳ ναὸς Ἀσκληπιοῦ καὶ ἄγαλμά ἐστιν Αὐλωνίου. κατὰ τοῦτο ὁ ποταμὸς ἡ Νέδα μεταξὺ τῆς τε Μεσσηνίας ἤδη καὶ τῆς Ἠλείας διέξεισιν.* Fuit igitur urbs in confiniis Meſſeniæ et Eleæ regionis ſita et maritima. Idem cap. 20. ait fluvium Nedam in Lycæo Arcadiæ ortum, *καὶ ἐπιστρέψας αὖθις εἰς τὴν Μεσσηνίαν ὁρίζει τὰ ἐπὶ θαλάσσῃ Μεσσηνίοις καὶ Ἠλείοις τὴν γῆν.* Diodorus l. c. *κατ' ἔφοδον τῆς Ἀρκαδίας ἐμβαλὼν εἰς τὴν Ἦλιν.* et primum tum caſtellum captum fuiſſe Laſionem ait.

*Λεπρεᾶται.* Elei et Arcades ſibi utrique vindicabant Lepreatas. Hinc *Λεπρέου τοῦ Ἠλείων* Pauſanias vi. p. 457. In Triphylia Elea ſitos memorat idem p. 223. 317. 385. 437. et 488. Male Edd. A. I. Br. Caſt. *Λαιπρεᾶται.*

[Ariſtophanes in Avibus verſu 149. *τὸν Ἠλεῖον Λέπρεον* dixit; ubi ſcholia monent, proprie dici *Λέπρειον*, variaſque nominis cauſas affert Didymus, addens, *τοὺς οὖν πλησιοχώρους Λεπρεώτας αὐτοὺς καλεῖν*, neſcio quo auctore, et quam vere. Leprei Hiſtoriam egregie enarravit Thucydides libro iii. *Ex Addendis.*]

*Ἐπιταλιεῖς.* Ita recte Fr. Portus emendavit vetuſtarum Edd. *δὲ Πιταλιεῖς.* Strabo *τῆς Μακιστίας χωρίον Ἐπιτάλιον* habet, monente Moro.

*Λετρῖνοι.* Ita recte Margo L. et St. pro *Λεπρῖνοι.* Vide Pauſaniam vi. 22. et infra ad §. 30. ubi etiam de Marganenſibus eſt.

§. 26. *ἐκ δὲ τούτου.* Caſt. cum Junt. omiſit *δέ.*

*στρατεία.* Ita recte Leon. pro *στρατιά.*

§. 27. *ἀτείχιστος.* Longe aliter Dio-

αὐτὸν μὴ βούλεσθαι μᾶλλον, ἢ μὴ δύνασθαι ἑλεῖν. Δῃουμένης δὲ τῆς χώρας, καὶ οὔσης τῆς στρατιᾶς περὶ Κυλλήνην, βουλόμενοι οἱ περὶ Ξενίαν τὸ λεγόμενον μεδίμνῳ ἀπομετρήσασθαι παρὰ τοῦ πατρὸς ἀργύριον,——δι' αὐτῶν προσχωρῆσαι τοῖς Λακεδαιμονίοις——ἐκπεσόντες ἐξ οἰκίας ξίφη ἔχοντες σφαγὰς ποιοῦσι, καὶ ἄλλους τέ τινας ἀποκτείνουσι, καὶ ὅμοιόν τινα Θρασυδαίῳ ἀποκτείναντες, τῷ τοῦ δήμου προστάτῃ, ᾤοντο Θρασυδαῖον ἀπεκτονέναι. ὥστε ὁ μὲν δῆμος παντελῶς κατηθύμησε, καὶ ἡσυχίαν εἶχεν· οἱ δὲ 28 σφαγεῖς πάντ' ᾤοντο πεπραγμένα εἶναι, καὶ οἱ ὁμογνώμονες αὐτοῖς ἐξεφέροντο τὰ ὅπλα ἐς τὴν ἀγοράν. ὁ δὲ Θρασυδαῖος ἔτι καθεύδων ἐτύγχανεν, οὗπερ ἐμεθύσθη. ὡς δὲ ᾔσθετο ὁ δῆμος, ὅτι οὐ τέθνηκεν ὁ Θρασυδαῖος, περιεπλήσθη ἡ οἰκία ἔνθεν καὶ ἔνθεν, ὥσπερ ὑπὸ ἐσμοῦ μελιττῶν

dorus xiv. 17. Ætolos, is adfuiſſe, ait, auxilio Eleis mille, quibus loca circa gymnaſium tuenda tradiderant Elei. Quæ cum oppugnaret rex Lacedæmoniorum, ſubito erumpentes Elei cum Ætolis Lacedæmonios 30. occidunt; itaque ſoluta oppugnatione diſceſſit et regionem vaſtavit, quamquam ſacram, rex. Cæterum Weſſeling ad Diodorum verbum ἀτείχιστος h. l. vertere jubet: *mala enim munita erat:* quoniam infra dicatur τὸ τεῖχος περιελεῖν. Et Pauſanias Eleos, ait, coactos fuiſſe καταῤῥίψαι τοῦ ἄστεος τὸ τεῖχος. Verum Elei, ἀσυλίᾳ, conceſſa hucuſque ab omnibus Græcis, fruebantur, et ipſi Elei dicuntur egiſſe ἱερὸν βίον a Polybio iv. 74. uſque dum, ortis inter eos diſſidiis, et Arcades de Laſione et agro Piſate illud ἀσυλίας jus taciti amiſerint. Vitam multi per ternas generationes in agris degerant, nec unquam urbem Elin viderant. Regio et ubertate et hominum pecudumque multitudine florebat. Igitur rex etiam Philippus ingentem prædam collegit facile, cum in agrum Eleum irrumperet, narrante, Polybio. Eodem ἀσυλίας jure propter Apollinem Delus olim fruebatur, et emporium ibi frequentiſſimum erat ante Menophanem, Mithridatis ducem. Hæc igitur ſimiliter ἀτείχιστος erat, auctore Pauſania iii. p. 269. Pauſaniæ auctoritas hac in re nulla eſt; is enim Xenophontem exſcripſit, et τὸ τεῖχος male interpretatus eſſe videtur de muro urbis. Contra τὸ τεῖχος mihi videtur eſſe caſtellum, τὸ Τεῖχος appellatum, in aditu terræ Dymæorum ſitum, juxta Araxum, de quo ſæpe Elei cum Dymæis contenderunt, tradente Polybio iv. 60. et 83.

τὸν λεγόμενον—τὸ παρά. Vulgatum τὸ λεγ. recte emendavit Kühn ad Pauſaniam iii. 8. Articulum τὸ ante παρὰ inſeruit Leoncl. Præterea ante δι' αὐτῶν interſerendum πόλιν aut τοὺς Ἠλείους, recte monente Leonclav. De Xenia ſic Pauſanias: Ξενίας, ἀνὴρ Ἠλεῖος, Ἄγιδι τε ἰδίᾳ ξένος, καὶ Λακεδαιμονίων τοῦ κοινοῦ πρόξενος, ἐπανέστη τῷ δήμῳ σὺν τοῖς τὰ χρήματα ἔχουσι.

Θρασυδαίῳ. Pauſanias: πρίν τε ἀφῖχθαι Ἄγιν καὶ τὸν στρατόν σφιν ἀμύνοντα, Θρασύδρος, προεστηκὼς τότε τοῦ Ἠλείων δήμου, μάχῃ Ξενίαν καὶ τοὺς σὺν αὐτῷ κρατήσας ἐξέβαλεν ἐκ τῆς πόλεως. Plutarchus in vita Lyſiæ p. 323. Θρασύλαιον Eleum nominat, a quo Lyſias fuerat mutuatus duo talenta.

29 ὁ ἡγεμών. ἐπειδὴ δὲ ἡγεῖτο ὁ Θρασυδαῖος, ἀναλαβὼν τὸν δῆμον, γενομένης μάχης ἐκράτησεν ὁ δῆμος. ἐξέπεσον δὲ πρὸς τοὺς Λακεδαιμονίους οἱ ἐγχειρήσαντες ταῖς σφαγαῖς. Ἐπεὶ δ' αὖ ὁ Ἆγις ἀπιὼν διέβη πάλιν τὸν Ἀλφειὸν, φρουροὺς καταλιπὼν ἐν Ἐπιταλίῳ, πλησίον τοῦ Ἀλφειοῦ, καὶ Λύσιππον ἁρμοστὴν, καὶ τοὺς ἐξ Ἤλιδος φυγάδας, τὸ
30 μὲν στράτευμα διῆκεν, αὐτὸς δὲ οἴκαδε ἀπῆλθε. καὶ τὸ μὲν λοιπὸν θέρος καὶ τὸν ἐπιόντα χειμῶνα ὑπὸ τοῦ Λυσίππου καὶ τῶν περὶ αὐτὸν ἐφέρετο καὶ ἤγετο ἡ τῶν Ἠλείων χώρα.
Ol. 95. ½. τοῦ δ' ἐπιόντος θέρους πέμψας Θρασυδαῖος ἐς Λακεδαίμονα ξυνεχώρησε, σφᾶς τε τὸ τεῖχος περιελεῖν, καὶ Κυλλήνην καὶ τὰς Τριφυλίδας πόλεις ἀφεῖναι, Φρίξαν, καὶ Ἐπιτάλιον, καὶ Λεπρίναν, καὶ Ἀμφιδόλους, καὶ Μαργανεῖς· πρὸς δὲ ταύταις, καὶ Ἀκρωρίους, καὶ Λασίωνα, τὸν ὑπ' Ἀρκάδων ἀντιλεγόμενον. Ἤπειον μέντοι, τὴν μεταξὺ πόλιν Ἡραίας καὶ Μακίστου, ἠξίουν οἱ Ἠλεῖοι ἔχειν· πρίασθαι γὰρ ἔφασαν τὴν χώραν ἅπασαν παρὰ τῶν τότε

§. 29. διέβη πάλιν. Castal. omisit πάλιν, et suspectum fuit etiam Leonclavio.

Λύσιππον. Pausaniæ Λυσίστρατον.

ἀπῆλθε. Diodorus xiv. 17. ἤδη δὲ τοῦ χειμῶνος συνεγγίζοντος κατὰ μὲν τὴν Ἦλιν ἐτείχισε φρούρια καὶ τὴν ἱκανὴν ἐν αὐτοῖς κατέλιπε δύναμιν, αὐτὸς δὲ μετὰ τῆς ὑπολοίπου στρατιᾶς ἐν Δύμῃ παρεχείμασε.

§. 30. Κυλλήνην. Navale Eleorum. Diodorus xiv. 39. addit, Eleos etiam τὰς τριήρεις δοῦναι Λακεδαιμονίοις. Paulo antea σφᾶς rescripsi, jubente Leonclav. et Τριφυλίδας pro Τριφυλλίδας. A Triphylo, Arcadis filio, dictam Triphyliam, ait Polybius iv. 77. sitam inter Eleorum et Messeniorum regionem versus mare Libycum et in confiniis Arcadiæ versus hibernum occasum, urbes continere Samicum, Lepreon, Typaneas, Pyrgon, Æpion, Bolaca, Styllangium et Phrixam, easque non ita longo abhinc tempore Eleos sibi subjecisse, et simul Alipheran, Arcadiæ et Megalopoli attributam, acquisivisse, tyranno Lydiade Megalopolitano optionem illis dante. Xenophontis Ἤπειον, quam scripturam præfert Wesseling ad Diodorum xiv. 17. in Polybio est Αἴπυον, Ἐπειὸν et Αἰπιόν. Polybius paulo post cum reliquis nominat Αἰπιὸν et Ἐπιτάλιον, ubi libri alii Ἐπειόν.

[Λεπρίναν. Cum supra s. 25. p. 136. vulgatum Λεπρῖνοι correctum fuerit in Λετρῖνοι, debebat etiam h. l. restitui Λετρίναν, etsi ex hoc nomine fieri debebat Λετριναῖοι, non Λετρῖνοι. *Ex Addendis.*]

Ἀμφιδόλους. Strabo viii. p. 537. αἱ νῦν Μαργάλαι τῆς Ἀμφιπόλεως, ubi Stephanus Byz. olim legit Μαργαῖαι. Præterea Ἀμφιδολίας recte emendat Wesseling ad Diodorum ii. p. 63. Diodorus Μάργανα appellavit xv. 77.

ἀντιλεγόμενον. Controversia de Lasione inter Eleos et Arcades recruduit sæpe. Vide infra vii. 4. et Polybium iv. 74. Recte igitur Leonclav. vulgatum λεγόμενον emendavit.

ἐχόντων τὴν πόλιν τριάκοντα ταλάντων, καὶ τὸ ἀργύριον δεδωκέναι. οἱ δὲ Λακεδαιμόνιοι, γνόντες, μηδὲν δικαι- 31 ότερον εἶναι, βίᾳ πριαμένους, ἢ βίᾳ ἀφελομένους, παρὰ τῶν ἡττόνων λαμβάνειν, ἀφιέναι καὶ ταύτην ἠνάγκασαν· τοῦ μέντοι προεστάναι τοῦ Διὸς τοῦ Ὀλυμπίου ἱεροῦ, καίπερ οὐκ ἀρχαίου Ἠλείοις ὄντος, οὐκ ἀπήλασαν αὐτούς· νομίζοντες, τοὺς ἀντιποιουμένους χωρίτας εἶναι, καὶ οὐχ ἱκανοὺς προεστάναι. τούτων δὲ ξυγχωρηθέντων, εἰρήνη τε γίγνεται καὶ ξυμμαχία Ἠλείων πρὸς Λακεδαιμονίους. καὶ οὕτω μὲν δὴ ὁ Λακεδαιμονίων καὶ Ἠλείων πόλεμος ἔληξε.

## ΚΕΦ. Γ.

ΜΕΤΑ δὲ τοῦτο Ἆγις, ἀφικόμενος ἐς Δελφοὺς, καὶ τὴν δεκάτην ἀποθύσας, πάλιν ἀπιὼν, ἔκαμεν ἐν Ἡραίᾳ, γέρων ἤδη ὢν, καὶ ἀπηνέχθη μὲν ἐς Λακεδαίμονα ἔτι ζῶν, ἐκεῖ δὲ ταχὺ ἐτελεύτησε· καὶ ἔτυχε σεμνοτέρας ἢ κατὰ ἄνθρωπον ταφῆς. ἐπεὶ δὲ, ὡς εἰώθεσαν, αἱ ἡμέραι παρῆλθον, καὶ ἔδει βασιλέα καθίστασθαι, ἀντέλεγον περὶ βασιλείας Λεωτυχίδης, υἱὸς φάσκων Ἄγιδος εἶναι, Ἀγησίλαος δὲ ἀδελφός. Εἰπόντος δὲ τοῦ Λεωτυχίδου· ἀλλ' ὁ 2

§. 31. προεστάναι. Præeſſe ſacris Olympici Jovis et ludis.

καίπερ οὐκ ἀρχαίου. Olympiade 50. duobus Eleis judicibus præſidium ludorum permiſſum fuiſſe, ex Pauſania v. 9. annotavit Morus.

ἀντιποιουμένους. Sunt Piſatæ, qui ſibi præſidium ludorum vindicare conabantur, et Arcades. Exemplum exſtat infra vii. 4. Teſtatur et Pauſanias v. 4.

χωρίτας. At idem de Eleis diſerte tradit Polybius, ut ſupra docui. Igitur forte de omnibus, Eleis, Piſatis et Arcadibus intelligendum vocabulum χωρίτας, ut Agis dicatur Eleis jus illud confirmaſſe, quod æmuli Piſatæ et Arcades non aptiores eſſent ad præſidium ludorum Olympicorum, quam Elei.

§. 1. Ἡραίᾳ. Ibi teſtibus advocatis Leotychidem filium agnovit ſuum eſſe, ejuſque rei teſtes, Arcades, deinde Lacedæmonem venerunt. Pauſanias iii. 8. p. 224.

ἢ κατ' ἄνθρωπον. Scilicet ut reges omnes. Vide de Republ. Laced. xv. 9.

ὡς εἰώθεσαν. Ineptum hoc mihi videtur. Videtur certus dierum numerus a morte regis definitus fuiſſe, intra quem novus rex eligi et conſtitui debebat. Suſpicor igitur legendum ὅσαι εἰώθεσαν ἡμέραι.

ἀντέλεγον. L. et St. ediderunt hoc pro vulgato ἀντέλεγεν. Iidem ante ἀδελφὸς poſitum vulgo ἦν omiſerunt. Præterea concinnitas orationis poſtulare mihi videtur, Λεωτυχίδης μὲν ut legamus.

νόμος, ὦ Ἀγησίλαε, οὐκ ἀδελφὸν, ἀλλ' υἱὸν βασιλέως βασιλεύειν κελεύει· εἰ δὲ υἱὸς ὢν μὴ τυγχάνοι, ὁ ἀδελφὸς βασιλεύει· Ἐμὲ οὖν δέοι, ἔφη ὁ Ἀγησίλαος. Πῶς, ἐμοῦ γε ὄντος; Ὅτι, ὅντινα καλεῖς πατέρα, οὐκ ἔφη σε εἶναι ἑαυτοῦ. Ἀλλ' ἡ πολὺ κάλλιον ἐκείνου εἰδυῖα μήτηρ καὶ νῦν ἔτι φησίν. Ἀλλ' ὁ Ποτειδᾶν ὡς μάλα σεῦ ψευδομένω κατεμάνυσεν, ἐκ τοῦ θαλάμου ἐξελάσας σεισμῷ ἐς τὸ φανερὸν τὸν σὸν πατέρα. συμμαρτυρεῖ ταῦτ' αὐτῷ καὶ ὁ ἀληθέστατος λεγόμενος χρόνος εἶναι· ἀφ' οὗ γάρ τοι ἔφυγε, καὶ οὐκ ἐφάνη ἐν τῷ θαλάμῳ, δεκάτῳ μηνὶ ἐγένου.
3 Οἱ μὲν τοιαῦτ' ἔλεγον. Διοπείθης δὲ, μάλα χρησμολόγος ἀνὴρ, Λεωτυχίδῃ ξυναγορεύων εἶπεν, ὡς καὶ Ἀπόλλωνος

§. 2. *ὢν μὴ τυγχάνοι.* In A. I. Br. Castal. *ὢν* omittitur. Sequentia viri docti varie tentarunt. Fr. Portus emendabat: *τυγχάνοι ᾧ βασιλεύοι, καὶ ὁ ἀδελφός.—Ἐμὲ οὖν ἂν δέοι.* Castalio edidit omissis verbis *καὶ ᾧ* reliqua: *τυγχάνοι, ὁ ἀδελφὸς βασιλεύει· ἐμὲ οὖν δέοι.* Leonclav. etiam ita plane emendabat, nisi quod postrema *ἐμὲ ἂν δέοι* intacta relinquebat. Morus denique legebat: *καὶ ὅς, βασιλεύειν οὖν ἐμὲ ἂν δέοι, ἔφη*: et deinde verba *ὁ Ἀγησίλαος* post *ἔφη* delet. Equidem rationem Castal. sequor; Mori emendationem reprobat grammatica. Ita enim verba *ὁ ἀδελφὸς* non habent, unde nectantur. Præcesserat enim *ὁ νόμος κελεύει βασιλεύειν οὐκ ἀδελφόν.* ergo deberet sequi *τὸν ἀδελφόν.* Vulgata lectio hæc fuit: *τυγχάνοι, ὁ ἀδελφός. Καὶ ᾧ βασιλεύοι, ἐμὲ ἂν δέοι, ἔφη ὁ Ἀγησ.*

*ἀλλ' ὁ Ποτειδάν.* Vulgatam hujus loci lectionem: *ὁπότε δ' ἂν ὡς μάλα σοι ψευδομένῳ καὶ ἐμήνυσεν* primus Leonclavius emendavit, insistens vestigiis loci Plutarchei in Agesil. c. 3. ubi ex h. l. refert: *τὸν Ποσειδῶνα καταμαρτυρῆσαι τοῦ Λεωτυχίδου τὴν νοθείαν, ἐκβαλόντα σεισμῷ τοῦ θαλάμου τὸν Ἆγιν.* Formam doricam Leonclavii emendationi addidit Valckenair in Diatrib. Euripid. 291. Morus etiam *τῷ θαλάμῳ* legere malebat.

*συμμαρτυρεῖ.* In L. St. *συνεμάρτυρησε.* Vulgatum *συνεμαρτύρει* emendavit Morus.

*ἔφυγε.* A. *ἔφυ σε.* Junt. *ἔφυσε.* Castal. *ἔφησε.* Emendavit Leonclav. qui et *οὐκ* ante *ἐφάνη* in seqq. addidit.

*δεκάτῳ μηνί.* Plutarchus l. c. *ἀπ' ἐκείνου δὲ πλέον ἢ δέκα μηνῶν διελθόντων γενέσθαι.* Idem in Alcibiade c. 23. rem plane sic narrat. Agis rex cum exercitu aberat Lacedæmone; hujus uxorem Timæam in amorem suum pellexit Alcibiades, ita, ut cum eo concumberet, et filium ex eo genitum in gynæceo ipsa Alcibiadem nominaret, foris autem Leotychides audiebat: Agis post reditum adulterium conjugis delatum sibi facile credidit: *ἐπίστευσε δὲ τῷ χρόνῳ μάλιστα, ὅτι, σεισμοῦ γενομένου, φοβηθεὶς ἐξέδραμε τοῦ θαλάμου παρὰ τῆς γυναικός. εἶτα δέκα μηνῶν οὐκέτι συνῆλθεν αὐτῇ, μεθ' οὓς γενόμενον τὸν Λεωτυχίδην ἀπέφησεν ἐξ αὐτοῦ μὴ γεγονέναι.* Ex quo loco apparet, h. l. *τὸν σὸν πατέρα* esse ex opinione Leotychidæ dictum; deinde, verba *δεκάτῳ μηνὶ* vix esse sana, sed addendum *πλέον.* Decem enim menses lunares a conceptione ad nativitatem numerabant veteres. Si igitur decimo mense, postquam cum uxore rem habuerat Agis et ex thalamo fugerat, territus motu terræ, natus fuisset filius, quomodo potuisset recte argumento, a temporis spatio petito, uti, ad convincendam adulterii uxorem?

χρησμὸς εἴη, φυλάξασθαι τὴν χωλὴν βασιλείαν. Λύσανδρος δὲ πρὸς αὐτὸν ὑπὲρ Ἀγησιλάου ἀντεῖπεν, ὡς οὐκ οἴοιτο, τὸν Θεὸν τοῦτο κελεύειν φυλάξασθαι, μὴ προσπταίσας τὶς χωλεύσῃ, ἀλλὰ μᾶλλον, μὴ οὐκ ὢν τοῦ γένους βασιλεύσῃ. παντάπασι γὰρ ἂν χωλὴν εἶναι τὴν βασιλείαν, ὁπότε μὴ ἀφ' Ἡρακλέους τῆς πόλεως ἡγοῖντο. Τοιαῦτα δὲ ἀκούσασα ἡ πόλις ἀμφοτέρων, Ἀγησίλαον **4** εἵλοντο βασιλέα.

Οὔπω δ' ἐνιαυτὸν ὄντος ἐν τῇ βασιλείᾳ Ἀγησιλάου, θύοντος αὐτοῦ τῶν τεταγμένων τινὰ θυσιῶν ὑπὲρ τῆς πόλεως, εἶπεν ὁ μάντις, ὅτι ἐπιβουλήν τινα τῶν δεινοτάτων φαίνοιεν οἱ Θεοί. ἐπεὶ δὲ πάλιν ἔθυσεν, ἔτι δεινότερα ἔφη τὰ ἱερὰ φαίνεσθαι. τὸ τρίτον ἤδη θύοντος, εἶπεν· ὦ Ἀγησίλαε, ὥσπερ εἰ ἐν αὐτοῖς εἴημεν τοῖς πολεμίοις, οὕτω σημαίνεται. ἐκ δὲ τούτου θύοντες καὶ τοῖς ἀποτροπαίοις καὶ τοῖς σωτῆρσι, καὶ μόλις καλλιερήσαντες, ἐπαύσαντο. Ληγούσης δὲ τῆς θυσίας, ἐντὸς πένθ' ἡμερῶν καταγορεύει **5** τὶς πρὸς τοὺς ἐφόρους ἐπιβουλήν, καὶ τὸν ἀρχηγὸν τοῦ πράγματος Κινάδωνα. οὗτος δ' ἦν καὶ τὸ εἶδος νεανίσκος (καλὸς), καὶ τὴν ψυχὴν εὔρωστος, οὐ μέντοι τῶν ὁμοίων. Ἐρομένων

§. 3. *χρησμός*. Oraculi verba poſuit Plutarchus in Ageſil. 3. Lyſandr. 21. et Pauſanias iii. 8.

*προσπταίσας*. Plutarchus Ageſil. *προσπταίσας τὸν πόδα βασιλεύει.* In Lyſandro: *οὐ γὰρ ἂν προσπταίσας τις ἄρχῃ Λακεδαιμονίων.*

*τῆς πόλεως ἡγοῖντο.* In Juntina eſt: *ἡγοῖτο.* Igitur Caſtal. edidit: *τί τῆς πόλεως ἡγοῖτο.* Voluit ſine dubio *τίς τῆς πόλεως ἡγοῖτο.* Quæ lectio unice vera mihi videtur. In notis Mori expreſſum video (*οἱ*) *ἀφ' Ἡρακλέους*: nil tamen monitum de ea lectione. Plutarchus in Lyſandro: *ἀλλὰ χωλὴν εἶναι τὴν βασιλείαν, εἰ νόθοι καὶ κακῶς γεγονότες βασιλεύσουσιν Ἡρακλείδαις.* In Ageſil. *εἰ μὴ γνήσιος ὢν μηδὲ Ἡρακλείδης τοῦτο τὴν χωλὴν εἶναι βασιλείαν.* quæ Caſtalionis emendationem comprobant. Juſtinus vi. 2. hæc habet: Ad poſtremum ſtatuerunt, melius eſſe inceſſu regem, quam imperio regnum claudicare.

§. 4. *ἔθυσεν.* Morus emendabat *ἔθυεν.* Idem deinde verba *τὰ ἱερὰ* veluti ſuſpecta incluſerat, nulla addita ratione ſuſpicionis.

*τρίτον ἤδη.* L. et St. *τρίτον δὲ* ediderunt.

*οὕτω σημαίνεται.* Leonclav. et Steph. *οὕτω μοι σημαίνεται.*

§. 5. *νεανίσκος* (*καλός*). Vocabulum *καλὸς* addi debere ob concinnitatem, primus vidit Franc. Portus, quem ſecutus eſt Leoncl.

*ὁμοίων.* Ariſtoteles Politic. v. p. 427. ed. Victorii: *ἢ ὅταν ἀνδρώδης τις ὢν μὴ μετέχῃ τῶν τιμῶν, οἷον Κινάδων ὁ τὴν ἐπ' Ἀγησιλάου συστήσας ἐπίθεσιν ἐπὶ τοὺς*

δὲ τῶν ἐφόρων, πῶς φαίη τὴν πρᾶξιν ἔσεσθαι, εἶπεν ὁ εἰσαγγείλας, ὅτι ὁ Κινάδων, ἀγαγὼν αὐτὸν ἐπὶ τὸ ἔσχατον τῆς ἀγορᾶς, ἀριθμῆσαι κελεύοι, ὁπόσοι εἶεν Σπαρτιάται ἐν τῇ ἀγορᾷ. καὶ ἐγὼ, ἔφη, ἀριθμήσας βασιλέα τε, καὶ ἐφόρους, καὶ γέροντας, καὶ ἄλλους ὡς τετταράκοντα, ἠρόμην· τί δή με τούτους, ὦ Κινάδων, ἐκέλευσας ἀριθμῆσαι; ὁ δὲ εἶπε· τούτους, ἔφη, νόμιζέ σοι πολεμίους εἶναι, τοὺς δ' ἄλλους πάντας ξυμμάχους. καὶ ὅσοι δὴ ἐν τοῖς χωρίοις Σπαρτιατῶν τύχοιεν ὄντες, ἕνα μὲν πολέμιον τὸν

Σπαρτιάτας. Ipſe Cinadon infra §. 11. reſpondet: μηδενὸς ἥττων εἶναι ἐν Λακεδαίμονι. In republica Lacedæmoniorum fuerunt ὅμοιοι dicti, qui partium reipublicæ omnium erant participes. Xenophon de Republ. Laced. x. 7. τοῖς μὲν τὰ νόμιμα ἐκτελοῦσιν ὁμοίως ἅπασι τὴν πόλιν οἰκείαν ἐποίησε, καὶ οὐδὲν ὑπελογίσατο οὔτε σωμάτων οὔτε χρημάτων ἀσθένειαν· εἰ δέ τις ἀποδειλιάσειε τοῦ τὰ νόμιμα διαπονεῖσθαι, τοῦτον ἐκεῖ ἀπέδειξε μήτε νομίζεσθαι ἔτι τῶν ὁμοίων εἶναι. Idem xiii. 1. συσκηνοῦσι δὲ βασιλεῖ καὶ ἄλλοι τρεῖς ἄνδρας τῶν ὁμοίων· et §. 7. ὁ πρεσβύτατος τῶν περὶ δαμοσίαν συντάττει· εἰσὶ δὲ οὗτοι, ὅσοι ἂν σύσκηνοι ὦσι τῶν ὁμοίων, καὶ μάντεις, καὶ ἰατροὶ καὶ αὐληταὶ etc. Eadem vox legitur vulgo in Cyropædia i. 5. 5. ἔδοσαν αὐτῷ διακοσίους τῶν ὁμοτίμων προσελέσθαι· τῶν δ' αὖ διακοσίων ἑκάστῳ τέτταρας ἄνδρας ἐκ τῶν ὁμοίων ἔδοσαν προσελέσθαι. Sed ibi recte Codex Bodlei. et Guelferbyt. cum verſione Philelphi conſentiens, habet: τέτταρας ἄνδρας ἔδωκαν προσελέσθαι καὶ τούτους ἐκ τῶν ὁμοτίμων. Igitur illic nulla eſt diſtinctio τῶν ὁμοτίμων et τῶν ὁμοίων. Anabaſ. iv. 6. 14. de Lacedæmoniis eſt: ὑμᾶς ἀκούω τοὺς Λακεδαιμονίους, ὅσοι ἐστὲ τῶν ὁμοίων, εὐθὺς ἐκ παίδων κλέπτειν μελετᾶν. Ex quibus locis conficitur, eſſe ὁμοίους inter Lacedæmonios eoſdem, qui apud Perſas ὁμότιμοι, qui ſcilicet publica educatione, diſciplina et moribus uſi, legibus et inſtitutis civitatis parent, et ad munera honoreſque omnes adſpirare poſſunt. Palmerius ad hunc noſtrum locum attulit locum Demoſthenis contra Leptinem p. 489. de Lacedæmoniis: ἐπειδάν τις εἰς τὴν καλουμένην γερουσίαν ἐγκριθῇ, παρασχὼν ἑαυτὸν οἷον χρὴ, δεσπότης ἐστὶ τῶν πολλῶν· ἐκεῖ γάρ ἐστι τῆς ἀρετῆς ἆθλον τῆς πολιτείας κυρίῳ γενέσθαι μετὰ τῶν ὁμοίων. Ad quem locum Palmerius putabat, ὁμοίους fuiſſe, ex quibus ſenatus fuerit conſtitutus. Recte quidem: at non ſoli ſenatores erant ὅμοιοι, ſed quicunque ſe bonos cives præſtiterant, eo quidem ſenſu, quem ſupra poſui. Cinadon igitur non videtur uſus fuiſſe diſciplina Laconica nec legibus civitatis adeo ſatisfeciſſe, quamvis alias ſtrenuus vir, ut ad honores omnes et quidem majores poſſet adſpirare. Nimis brevis eſt ad Demoſthenem nuperi Interpretis egregii annotatio.

κελεύοι. Ita cum Steph. ſcripſi pro κελεύει.

τετταράκοντα. Reges ſcilicet 2, ephoros 5, Bidiacos 5, Senatores 28. Hunc numerum explicavit Valckenair ad Herodot. p. 463. atque ex eo repetiit Larcher in verſione Herodoti vol. i. p. 295.

ξυμμάχους. In margine Steph. et in textu Leonclav. ſequuntur hæc, neſcio unde addita: πλέον ἢ τετρακισχιλίους ὄντας τοὺς ἐν τῇ ἀγορᾷ. ἐπιδεικνῦναι δ' αὐτὸν ἔφη ἐν ταῖς ὁδοῖς ἔνθα μὲν ἕνα, ἔνθα δὲ δύο πολεμίους ἀπαντῶντας, τοὺς δ' ἄλλους ἅπαντας ξυμμάχους.

[Πλέον ἢ τετρακισχιλίους—Reſpondent hæc illis, ὡς τετταράκοντα, et omnino tota adjectio Stephani digniſſima eſt Xenophonte; eamque non dubito a Steph. in codice inventam eſſe. Librarium facile fallere poterat homœoteleuton. *F. A. Wolfius.*]

χωρίοις. Agris, prædiis. Et δεσπότης eſt herus, dominus ſervorum.

δεσπότην, ξυμμάχους δ' ἐν ἑκάστῳ πολλούς. Ἐρωτών- 6 των δὲ τῶν ἐφόρων, πόσους φαίη καὶ τοὺς ξυνειδότας τὴν πρᾶξιν εἶναι, λέγειν καὶ περὶ τούτου ἔφη αὐτὸν, ὡς σφίσι μὲν τοῖς προστατεύουσιν οὐ πάνυ πολλοὶ, ἀξιόπιστοι δὲ συνειδεῖεν· αὐτοὶ μέντοι πᾶσιν ἔφασαν συνειδέναι καὶ εἵλωσι καὶ νεοδαμώδεσι, καὶ τοῖς ὑπομείοσι, καὶ τοῖς περιοίκοις· ὅπου γὰρ ἐν τούτοις τὶς λόγος γένοιτο περὶ Σπαρτιατῶν, οὐδένα δύνασθαι κρύπτειν τὸ μὴ οὐχ ἡδέως ἂν καὶ ὠμῶν ἐσθίειν αὐτῶν. Πάλιν οὖν ἐρωτώντων, ὅπλα δὲ πόθεν 7 ἔφασαν λήψεσθαι, τὸν δ' εἰπεῖν, ὅτι οἱ μὲν δήπου συντεταγμένοι ἡμῶν αὐτοὶ (ἔφασάν γε) ὅπλα κεκτήμεθα· τῷ δ' ὄχλῳ, ἀγαγόντα ἐς τὸν σίδηρον, ἐπιδεῖξαι αὐτὸν, ἔφη, πολλὰς μὲν μαχαίρας, πολλὰ δὲ ξίφη, πολλοὺς δὲ ὀβελίσκους, πολλοὺς δὲ πελέκεις καὶ ἀξίνας, καὶ πολλὰ δρέπανα. λέγειν δ' αὐτὸν ἔφη, ὅτι καὶ ταῦτα ὅπλα πάντα εἴη, ὁπόσοις ἄνθρωποι καὶ γῆν καὶ ξύλα καὶ λίθους ἐργάζονται, καὶ τῶν ἄλλων δὲ τεχνῶν τὰς πλείστας τὰ ὄργανα ὅπλα ἔχειν ἀρκοῦντα, ἄλλως τε καὶ πρὸς ἀόπλους. πάλιν οὖν ἐρωτώμενος, ἐν τίνι χρόνῳ ταῦτα μέλλει πράττεσθαι, εἶπεν, ὅτι ἐπιδημεῖν οἱ παρηγγελμένον εἴη. Ἀκούσαντες ταῦτα 8

§. 6. *συνειδεῖεν.* A. I. Bryl. Caſt. *συνειδοῖεν.*

*συνειδέναι.* Bene notos habere ipſos eorumque conſilia helotes et reliquos.

*ὑπομείοσι.* Recte Morus cum Cragio, opponi, ait, *τοῖς ὁμοίοις*, qui ab honoribus excludebantur Spartani, ut ipſe Cinadon. Spartani igitur deteriore conditione ſunt *ὑπομείονες*.

*περί.* Omittunt A. I. Br. Caſtal. in quibus deinceps eſt *οὐδὲν ἄν*.

*ἐσθίειν.* Cf. ad Anabaſin iv. 8. 14.

§. 7. *πάλιν οὖν.* Margo Leonclavii *πάλιν αὖ.*

*τῷ δ' ὄχλῳ.* Quod ad multitudinem attinet, interpretatur Morus. Equidem deeſſe aliquod verbum ſuſpicor.

[*τῷ δ' ὄχλῳ.* Vulgatam interpretationem hic dativus vix patitur. Nihil tamen videtur deeſſe. Scilicet ſcriptor perinde orditur, quaſi ſubjecturus ſit *κατεσκευάσθαι* (aut ſimile quid) *πολλὰς μὲν μαχαίρας* etc. Paullo poſt in verbis, *ὅτι ἐπιδημεῖν οἱ παρηγγελμένον εἴη*, emendandi operam fruſtra ſumptam puto, vulgatumque teneo: *imperatum ſibi eſſe, ut ne peregre exiret, ſed maneret domi.* Dicit ita, *de tempore nihil ſe certi habere, ſed facinus patratum iri propediem.* Hoc bene intelligi ex imperato illo poterat. *F. A. Wolfius.*]

*τὸν σίδηρον.* Forum ferramentorum. Recte hoc monuit Fr. Portus.

*ἐπιδημεῖν.* Temporis notam aliquam requiri, eſt in aperto. Feſtum aliquem diem, *πάνδημον ἑορτήν*, ad exſequenda hæc conſilia lectum fuiſſe,

οἱ ἔφοροι, ἐσκεμμένα τε λέγειν ἡγήσαντο αὐτὸν, καὶ ἐξεπλάγησαν· καὶ οὐδὲ τὴν μικρὰν καλουμένην ἐκκλησίαν ξυλλέξαντες, ἀλλὰ ξυλλεγόμενοι τῶν γερόντων ἄλλος ἄλλοθεν, ἐβουλεύσαντο πέμψαι τὸν Κινάδωνα ἐς Αὐλῶνα σὺν ἄλλοις τῶν νεωτέρων, καὶ κελεῦσαι ἥκειν ἄγοντα τῶν Αὐλωνιτῶν τέ τινας, καὶ τῶν εἱλώτων τοὺς ἐν τῇ σκυτάλῃ γεγραμμένους. ἀγαγεῖν δὲ ἐκέλευον καὶ τὴν γυναῖκα, ἣ καλλίστη μὲν ἐλέγετο αὐτόθι εἶναι, λυμαίνεσθαι δ᾽ ἐῴκει τοὺς ἀφικνουμένους Λακεδαιμονίων καὶ πρεσβυτέρους καὶ 9 νεωτέρους. (Ὑπηρετήκει δὲ καὶ ἄλλ᾽ ἤδη ὁ Κινάδων τοῖς ἐφόροις τοιαῦτα.) Καὶ τότε δὴ ἔδοσαν τὴν σκυτάλην αὐτῷ, ἐν ᾗ γεγραμμένοι ἦσαν, οὓς ἔδει ξυλληφθῆναι. ἐρομένου δὲ, τίνας ἄγοι μεθ᾽ αὑτοῦ τῶν νέων, Ἴθι, εἶπον, καὶ τὸν πρεσβύτατον τῶν ἱππαγρετῶν κέλευέ σοι ξυμπέμψαι ἓξ ἢ ἑπτὰ, οἳ ἂν τύχωσι παρόντες. ἐμεμελήκει δὲ αὐτοῖς, ὅπως ὁ ἱππαγρέτης εἰδείη, οὓς ἂν δέοι πέμπειν, καὶ οἱ πεμπόμενοι εἰδεῖεν, ὅτι Κινάδωνα δέοι συλλαβεῖν. εἶπον δὲ

probabilis eft opinio, credo. Igitur V. D. in Bibl. Crit. Amftel. ἐπιδημίων h. l. olim fcriptum, idque nomen fuiffe fefti diei alicujus fufpicabatur. Mihi latere fefti diei nomen videtur in verbis ἐπιδημεῖν οἱ, ex quibus forte effici poterit: ἐπὶ δημοσίοις, aut temporis nota excidit.

§. 8. *μικρὰν ἐκκλησίαν.* Morus dictam putat concionem Lacedæmoniorum folorum, ubi focii non aderant. Xenophon enim ἐκκλήτους i. e. ἐκκλησίαν diligenter ubique a συμμάχοις diftinxit. Mihi videtur parva concio ea effe, in quam fenatores convocantur ab ephoris et regibus; magna contra, ubi populus univerfus ferebat fuffragia. Scilicet, ubi de pœna capitali civis agebatur, populus univerfus judicabat de crimine, ut videtur: fed in feditione fimili, cum Sparta ab Epaminonda oppugnaretur, Agefilaus cum Ephoris auctores feditionis ἀκρίτους occidit, οὐδενὸς δίχα δίκης τεθανωμένου πρότερον Σπαρτιατῶν, narrante Plutarcho in Agefilao c. 32.

Αὐλῶνα. Polyænus ii. 14. *τῶν ἱππέων τινὰς κρύφα προπέμψαντες ἐς Αὐλῶνα τῆς Λακωνικῆς, οὐ πρὸ πολλοῦ τὸν Κινάδωνα καλέσαντες μετὰ δύο στρατιωτῶν* (an Σπαρτιατῶν?) *ἐς Αὐλῶνα ἔπεμψαν ὡς ἐπὶ πρᾶξιν ἀπόῤῥητον. ὡς δ᾽ ἀφίκοντο οἱ προπεμφθέντες ἱππεῖς συλλαβόντες αὐτὸν, στρεβλώσαντες, μαθόντες τοὺς κοινωνοὺς τῆς ἐπαναστάσεως ἐπέστειλαν τοῖς* Ἐφόροις. *οἱ δὲ μαθόντες τοὺς μηνυθέντας ἄνευ ταραχῆς ἀπέκτειναν, οὐ παρόντος τοῦ μεμηνυκότος.*

§. 9. *μεθ᾽ αὑτοῦ.* Caft. *μεθ᾽ ἑαυτοῦ.*

*ἱππαγρετῶν.* Tres fuere Hippagretæ ephebis præfecti, eofque vario certaminum genere exercentes, narrante Noftro de Republ. Laced. cap. 4. ubi edd. quædam *ἱππαγέται.* male, ut difcimus ex Euftathio ad Homerum Iliad. p. 619. ed. Bafil. et Infcriptionibus Laconicis Fourmontianis, editis in: *Memoires de l'Acad. des B. L.* t. xv. p. 397.

*εἰδείη.* A. I. Br. Caft. *εἰδοίη* et deinde *εἰδοῖεν* et *δέει.*

καὶ τοῦτο τῷ Κινάδωνι, ὅτι πέμψοιεν τρεῖς ἁμάξας, ἵνα μὴ πεζοὺς ἄγωσι τοὺς ληφθέντας, ἀφανίζοντες ὡς ἐδύναντο μάλιστα, ὅτι ἐφ' ἕνα ἐκεῖνον ἔπεμπον. Ἐν δὲ τῇ 10 πόλει οὐ ξυνελάμβανον αὐτὸν, ὅτι τὸ πρᾶγμα οὐκ ᾔδεσαν, ὁπόσον τὸ μέγεθος εἴη, καὶ ἀκοῦσαι πρῶτον ἐβούλοντο τοῦ Κινάδωνος, οἵτινες εἶεν οἱ ξυμπράττοντες, πρὶν αἰσθέσθαι αὐτοὺς, ὅτι μεμήνυνται, ἵνα μὴ ἀποδρῶσιν. ἔμελλον δὲ οἱ συλλαβόντες αὐτὸν μὲν κατέχειν, τοὺς δὲ ξυνειδότας, πυθόμενοι αὐτοῦ, γράψαντες ἀποπέμπειν τὴν ταχίστην τοῖς ἐφόροις. οὕτω δ' εἶχον οἱ ἔφοροι πρὸς τὸ πρᾶγμα, ὥστε καὶ μοῖραν ἱππέων ἔπεμψαν τοῖς ἐπ' Αὐλῶνος. Ἐπεὶ δ' εἰ- 11 λημμένου τοῦ ἀνδρὸς ἧκεν ἱππεὺς, φέρων τὰ ὀνόματα, ὧν ὁ Κινάδων ἀπέγραψε, παραχρῆμα τόν τε μάντιν Τισαμενὸν καὶ τοὺς ἐπικαιριωτάτους ξυνελάμβανον. ὡς δ' ἀνήχθη ὁ Κινάδων, καὶ ἠλέγχετο, καὶ ὡμολόγει πάντα, καὶ τοὺς ξυνειδότας ἔλεγε, τέλος αὐτὸν ἤροντο, τί καὶ βουλόμενος ταῦτα πράττοι. ὁ δὲ ἀπεκρίνατο, μηδενὸς ἥττων εἶναι ἐν Λακεδαίμονι. ἐκ τούτου μέντοι ἤδη δεδεμένος καὶ τὼ χεῖρε καὶ τὸν τράχηλον ἐν κλοιῷ, μαστιγούμενος καὶ κεντούμενος, αὐτός τε καὶ οἱ μετ' αὐτοῦ κατὰ τὴν πόλιν περιήγοντο. καὶ οὗτοι μὲν διττῆς δίκης ἔτυχον.

## ΚΕΦ. Δ.

ΜΕΤΑ δὲ ταῦτα Ἡρώδας τὶς Συρακούσιος, ἐν Φοινίκῃ

§. 10. τὸ πρᾶγμα. A. J. Br. Caſt. articulum omittunt.

αὐτοὺς ὅτι. A. J. Br. Caſtal. αὐτὰ, ὅτι.

ἀποπέμπειν. Editt. eædem ἀποπέμψειν.

μοῖραν. Leoncl. μόραν emendabat.

§. 11. εἰλημμένου. A. J. Br. Caſt. εἰλομένου.

καὶ τοὺς ἐπικαιριωτάτους. Margo Leonclav. καὶ τοὺς ἄλλους τοὺς ἐπικαιρ.

περιήγοντο. Ald. Caſt. περιεγένοντο. Juntinus περιγένοντο.

διττῆς. Recte mihi Brodæus δὴ τῆς emendaſſe videtur.

[καὶ οὗτοι μὲν δὴ τῆς δίκης, Brodæi conjecturam probanti Tibi facile aſſentior. Simpliciter narrandi hæc clauſula eſt, quales non raro noſter habet more Herodoti. In tali clauſula ſolemnis eſt junctura, μὲν δή. Alterum διττῆς et impeditum eſt et alienum a loco. *F. A. Wolfius.*]

§. 1. Ἡρώδας. Forma dorica Ἡ-

ὢν μετὰ ναυκλήρου τινὸς, καὶ ἰδὼν τριήρεις Φοινίσσας, τὰς μὲν καταπλεούσας ἄλλοθεν, τὰς δὲ καὶ αὐτοῦ πεπληρωμένας, τὰς δὲ καὶ ἔτι κατασκευαζομένας, προσακούσας δὲ καὶ τοῦτο, ὅτι καὶ τριακοσίας δέοι αὐτὰς γενέσθαι, ἐπιβὰς ἐπὶ τὸ πρῶτον ἀναγόμενον πλοῖον ἐς τὴν Ἑλλάδα, ἐξήγγειλε τοῖς Λακεδαιμονίοις, ὡς βασιλέως καὶ Τισσαφέρνους τὸν στόλον τοῦτον παρασκευαζομένων· ὅποι δὲ, οὐδὲν ἔφη εἰδέναι. 2 Ἀνεπτερωμένων δὲ τῶν Λακεδαιμονίων, καὶ τοὺς ξυμμάχους ξυναγαγόντων, καὶ βουλευομένων, τί χρὴ ποιεῖν, Λύσανδρος, νομίζων καὶ τῷ ναυτικῷ πολὺ περιέσεσθαι τοὺς Ἕλληνας, καὶ τὸ πεζὸν λογιζόμενος ὡς ἐσώθη τὸ μετὰ Κύρου ἀναβὰν, πείθει τὸν Ἀγησίλαον ὑποστῆναι, ἢν αὐτῷ δῶσι τριάκοντα μὲν Σπαρτιατῶν, ἐς δισχιλίους δὲ τῶν νεοδαμωδῶν, ἐς ἑξακισχιλίους δὲ τὸ ξύνταγμα τῶν συμμάχων, στρατεύεσθαι ἐς τὴν Ἀσίαν. πρὸς δὲ τούτῳ τῷ λογισμῷ, καὶ αὐτὸς ξυνεξελθεῖν αὐτῷ ἐβούλετο, ὅπως τὰς δεκαρχίας τὰς κατασταθείσας ὑπ' ἐκείνου ἐν ταῖς πόλεσιν, ἐκπεπτωκυίας δὲ διὰ τοὺς ἐφόρους, οἳ τὰς πατρίους πολιτείας παρήγγειλαν, πάλιν καταστήσειε μετ' Ἀγησιλάου. 3 Ἐπαγγειλαμένου δὲ τοῦ Ἀγησιλάου τὴν στρατείαν, διδόασί τε οἱ Λακεδαιμόνιοι, ὅσαπερ ᾔτησε, καὶ ἑξαμήνου σῖτον. ἐπεὶ δὲ θυσάμενος καὶ τἄλλα, ὅσα ἔδει, καὶ τὰ διαβατήρια,

ρώνδας forte fuit olim hoc in loco. Laconem Ἡρώνδαν nominat Plutarch. Apophthegm. p. 827.

ὅποι δέ. Scilicet Conon cum rege Perſarum ab hoc inde tempore claſſem paravit contra Lacedæmonios, ut infra docebo ad iv. 3. §. 11.

§. 2. δῶσι τριάκοντα μέν. Junt. Caſt. δώσῃ. Deinde μὲν omittunt A. J. Br. Caſtal. Triginta viros in conſilio regi addere ſolebant Lacedæmonii, quibus etiam exercitum ſæpe reges committebant. Plutarchus Ageſ. c. 6. Lyſandr. c. 23. Diodorus xiv. 79. appellat τὸ συνέδριον. Cf. Noſter de Republ. Lacedæm. c. 13.

δισχιλίους. Plutarch. Ageſil. c. 6. eundem ponit numerum; in Xenophontis Ageſilao male eſt: τρισχιλίους v. 1. 7.

ἑξακισχιλίους. Diodorus xiv. 79. οὗτος δ' ἑξακισχιλίους στρατιώτας ἐπιλέξας.

παρήγγειλαν. De re ipſa vide Plutarchum in Lyſ. c. 21. et in Ageſil. l. c. Sed durum mihi hac in re et inuſitatum viſum eſt verbum παραγγέλλειν.

§. 3. στρατείαν. Vulgatum στρατιὰν emendavit Leoncl.

διαβατήρια. Cum finibus patriæ egrederetur rex, ſacra offerebat primum Jovi Duci et Diis paredris; in

ἐξῆλθε, ταῖς μὲν πόλεσι διαπέμψας ἀγγέλους προεῖπεν, ὅσους τε δέοι ἑκασταχόθεν πέμπεσθαι, καὶ ὅπου παρεῖναι· αὐτὸς δὲ ἐβουλήθη ἐλθὼν θῦσαι ἐν Αὐλίδι, ἔνθαπερ ὁ Ἀγαμέμνων, ὅτ' ἐς Τροίαν ἔπλει, ἐθύετο. Ὡς δ' ἐκεῖ 4 ἐγένετο, πυθόμενοι οἱ Βοιώταρχοι, ὅτι θύοι, πέμψαντες ἱππέας, τοῦ τε λοιποῦ ἐκέλευον μὴ θύειν, καί, οἷς ἐνέτυχον ἱεροῖς τεθυμένοις, διέρριψαν ἀπὸ τοῦ βωμοῦ. ὁ δέ, ἐπιμαρτυρόμενος τοὺς θεούς, καὶ ὀργιζόμενος, ἀναβὰς ἐπὶ τὴν τριήρη, ἀπέπλει. ἀφικόμενος δ' ἐπὶ Γεραιστόν, καὶ συλλέξας ἐκεῖ ὅσον ἠδύνατο τοῦ στρατεύματος πλεῖστον, ἐς Ἔφεσον τὸν στόλον ἐποιεῖτο.

Ἐπεὶ δὲ ἐκεῖσε ἀφίκετο, πρῶτον μὲν Τισσαφέρνης 5 πέμψας ἤρετο αὐτόν, τίνος δεόμενος ἥκοι. ὁ δ' εἶπεν, ὅτι Ol. 96. $\frac{1}{2}$. αὐτονόμους καὶ τὰς ἐν τῇ Ἀσίᾳ πόλεις εἶναι, ὥσπερ καὶ τὰς ἐν τῇ παρ' ἡμῖν Ἑλλάδι. πρὸς ταῦτ' εἶπεν ὁ Τισσαφέρνης· εἰ τοίνυν θέλεις σπείσασθαι, ἕως ἂν ἐγὼ πρὸς βασιλέα πέμψω, οἶμαι ἄν σε ταῦτα διαπραξάμενον ἀποπλεῖν, εἰ βούλοιο. ἀλλὰ βουλοίμην ἄν, ἔφη, εἰ μὴ οἰοίμην ὑπὸ σοῦ ἐξαπατᾶσθαι. ἀλλ' ἔξεστιν, ἔφη, σοι τούτων πίστιν λαβεῖν, ἦ μήν, ἀδόλως σοῦ πράττοντος ταῦτα, ἡμᾶς μηδὲν τῆς σῆς ἀρχῆς ἀδικήσειν ἐν ταῖς σπονδαῖς. Ἐπὶ τούτοις ῥηθεῖσι 6 Τισσαφέρνης μὲν ὤμοσε τοῖς πεμφθεῖσι πρὸς αὐτὸν Ἡριππίδᾳ, καὶ Δερκυλλίδᾳ, καὶ Μεγιαλίῳ, ἦ μὴν πράξειν ἀδό-

ipsis finibus deinde Jovi et Minervæ, narrante Nostro de Republ. c. 13.

ὅπου παρεῖναι. Ita sensu postulante, et suadente etiam V. D. in Bibl. Critica Amst. scripsi pro ὅσους. Eandem emendationem protulit Morus.

§. 4. ἐκέλευον. Margo Leonclav. εἶπον. Non adhibuerat Agesilaus sacerdotem eum, per quem sacra erant administranda, Bœotium scilicet. Plutarchus Agesil. c. 6.

ἐπιμαρτυρόμενος. Margo Leoncl. ἐπιμαρτυράμενος.

Γεραιστόν. Eubœæ promontorium. Vulgatum Γεραστὸν emendavit Leoncl.

ἠδύνατο. Cast. ἐδύνατο.

§. 5. ἐκεῖσε. Diodorus xiv. 79. ἐκεῖ δὲ στρατολογήσας τετρακισχιλίους προήγαγε τὴν δύναμιν εἰς ὕπαιθρον οὖσαν πεζῶν μὲν μυρίων, ἱππέων δὲ τετρακοσίων.

ὅτι αὐτονόμους. Leoncl. ὅτι in τοῦ mutabat; contra Morus τοῦ addebat.

οἰοίμην. A. Junt. οἴειγε. Rectum est in Bryl. Cast.

§. 6. Μεγιαλίῳ. Nominis formam vix sanam puto et rectam. Μέγελλον Eleum habet Plutarchus Timol. 35.

λως τὴν εἰρήνην· ἐκεῖνοι δὲ ἀντώμοσαν ὑπὲρ Ἀγησιλάου Τισσαφέρνει, ἦ μὴν, ταῦτα πράττοντος αὐτοῦ, ἐμπεδώσειν τὰς σπονδάς. ὁ μὲν δὴ Τισσαφέρνης, ἃ ὤμοσεν, εὐθὺς ἐψεύσατο· ἀντὶ γὰρ τοῦ εἰρήνην ἔχειν, στράτευμα πολὺ παρὰ βασιλέως, πρὸς ᾧ εἶχε πρόσθεν, μετεπέμπετο. Ἀγησίλαος δὲ, καίπερ αἰσθανόμενος ταῦτα, ὅμως ἐπέμενε ταῖς σπονδαῖς.

7 Ὡς δὲ ἡσυχίαν τε καὶ σχολὴν ἄγων ὁ Ἀγησίλαος διέτριβεν ἐν τῇ Ἐφέσῳ, ἅτε συντεταραγμένων ἐν ταῖς πόλεσι τῶν πολιτειῶν, καὶ οὔτε δημοκρατίας ἔτι οὔσης, ὥσπερ ἐπ' Ἀθηναίων, οὔτε δεκαρχίας, ὥσπερ ἐπὶ Λυσάνδρου, ἅτε γιγνώσκοντες πάντες τὸν Λύσανδρον, προσέκειντο αὐτῷ, ἀξιοῦντες, διαπράττεσθαι αὐτὸν παρ' Ἀγησιλάου, ὧν ἐδέοντο· καὶ διὰ ταῦτα ἀεὶ παμπληθὴς ὄχλος θεραπεύων αὐτὸν ἠκολούθει. ὥστε ὁ μὲν Ἀγησίλαος ἰδιώτης ἐφαίνετο, ὁ δὲ Λύσανδρος βασιλεύς.

8 Ὅτι μὲν οὖν ἔμεινε καὶ τὸν Ἀγησίλαον ταῦτα, ἐδήλωσεν ὕστερον· οἱ γεμὴν ἄλλοι τριάκοντα ὑπὸ τοῦ φθόνου οὐκ ἐσίγων, ἀλλ' ἔλεγον πρὸς τὸν Ἀγησίλαον, ὡς παράνομα ποιοίη Λύσανδρος, τῆς βασιλείας ὀγκηρότερον διάγων. ἐπεὶ δὲ καὶ ἤρξατο προσάγειν τινὰς τῷ Ἀγησιλάῳ ὁ Λύσανδρος, πάντας, οἷς γνοίη αὐτὸν συμπράττοντά τι, ἡττωμένους ἀπέπεμπεν. ὡς δ' ἀεὶ τὰ ἐναντία, ὧν ἐβούλετο, ἀπέβαινε τῷ Λυσάνδρῳ, ἔγνω δὴ τὸ γιγνόμενον· καὶ οὔτε ἕπεσθαι ἑαυτῷ ἔτι εἴα ὄχλον, τοῖς τε συμπρᾶξαί τι δεομένοις σαφῶς ἔλεγεν, ὅτι ἔλαττον ἕξοιεν, εἰ αὐτὸς παρείη.

Μεγαλαῖον in Arato 48. Potuit etiam dici Μεγύλλος.

ἐμπεδώσειν. ἄξειν ἀδόλως σπονδὰς ὁρισάμενος τῆς πράξεως τρεῖς μῆνας Xenophon in Agesilao i. 10. et Polyænus ii. 1. 9.

παρὰ βασιλέως. In A. J. Br. Cast. deest παρά.

εἶχε πρόσθεν. In Agesilao πρόσθεν εἶχε. Ibidem est αἰσθόμενος ἐνέμεινε.

§. 7. ἄγων. Margo Leonclav. ἔχων. Pro δὲ A. Junt. δή.

§. 8. ἔμεινε. Bryl. Cast. ἐλύπει. Leonclav. ἐμηνία: quam conjecturam jam olim Æm. Portus rejecit. V. D. in Bibl. Crit. Amstelod. conjiciebat ἐκίνει aut ὑπηνία.

[ἔμεινε καὶ τὸν Ἀγεσίλαον ταῦτα. In marg. notavi mihi ἠνία. Conjectura Kœppenii fuerit. Est sane verbum aptius ceteris et Xenophonteum. *F. A. Wolfius.*]

Βαρέως δὲ φέρων τῇ ἀτιμίᾳ, προσελθὼν εἶπεν· Ὦ Ἀγησίλαε, μειοῦν μὲν ἀεὶ ἄρα σύ γε τοὺς φίλους ἠπίστω; ναὶ μὰ Δί', ἔφη, τούς γε βουλομένους ἐμοῦ μείζους φαίνεσθαι· τοὺς δέ γε αὔξοντας εἰ μὴ ἐπισταίμην ἀντιτιμᾶν, αἰσχυνοίμην ἄν. καὶ ὁ Λύσανδρος ἔφη, ἴσως σὺ καὶ μᾶλλον εἰκότα ποιεῖς, ἢ ἐγὼ ἔπραττον. τάδε οὖν μοι ἐκ τοῦ λοιποῦ χάρισαι, ὅπως μήτ' αἰσχύνωμαι ἀδυνατῶν παρὰ σοὶ, μήτ' ἐμποδών σοι ὦ· ἀπόπεμψόν ποι με. ὅπου γὰρ ἂν ὦ, πειράσομαι ἐν καιρῷ σοι εἶναι. Εἰπόντος δὲ ταῦτα, ἔδοξε καὶ 10 τῷ Ἀγησιλάῳ οὕτω ποιῆσαι, καὶ πέμπει αὐτὸν ἐφ' Ἑλλήσποντον. ἐκεῖ δὲ ὁ Λύσανδρος, αἰσθόμενος Σπιθριδάτην τὸν Πέρσην ἐλαττούμενόν τι ὑπὸ Φαρναβάζου, διαλέγεται αὐτῷ, καὶ πείθει ἀποστῆναι, ἔχοντα τούς τε παῖδας καὶ τὰ περὶ αὐτὸν χρήματα, καὶ ἱππεῖς ὡς διακοσίους. καὶ τὰ μὲν ἄλλα κατέλιπεν ἐν Κυζίκῳ, αὐτὸν δὲ καὶ τὸν υἱὸν ἀναβιβασάμενος ἧκεν ἄγων πρὸς Ἀγησίλαον. ἰδὼν δὲ ὁ Ἀγησίλαος ἥσθη τε τῇ πράξει, καὶ εὐθέως ἀντεπυνθάνετο περὶ τῆς Φαρναβάζου χώρας τε καὶ ἀρχῆς.

Ἐπεὶ δὲ μέγα φρονήσας ὁ Τισσαφέρνης ἐπὶ τῷ κατα- 11 βάντι στρατεύματι παρὰ βασιλέως προεῖπεν Ἀγησιλάῳ πόλεμον, εἰ μὴ ἀπίοι ἐκ τῆς Ἀσίας· οἱ μὲν ἄλλοι σύμ-

§. 9. ἠπίστω. Plutarch. Lysandr. 23. ἦ καλῶς ἤδεις φίλους ἐλαττοῦν. In Agesil. c. 8. ἤδεις ἄρα σαφῶς φίλους ἐλαττοῦν.

εἰκότα ποιεῖς. Plutarch. Lys. ἀλλ' ἴσως μὲν ὦ Ἀγησίλαε σοὶ λέλεκται μᾶλλον ἢ ἐμοὶ πέπρακται. In Agesil. ἀλλ' ἴσως ταῦτά σοι λέλεκται βέλτιον ἢ ἐμοὶ πέπρακται. Ex quibus locis manifestum esse puto vitium hujus loci, ubi legendum censeo εἰκότα λέγεις, hoc sensu : quæ tu dicis contra me, habent quidem veri aliquam similitudinem ex tua interpretatione, facta tamen mea a veritate suspicionis tuæ longissime remota videbis, si ea cum animo meo propius inspexeris.

τάδε οὖν. A. J. Br. Cast. τάδε νῦν.

ὅπως μήτ'. Margo Leonclav. ὅπως ἂν μήτ'.

§. 10. ἐλαττούμενον τι. Plutarchus consequens posuit in Lysandro c. 24. προσκεκρουκότα.

περὶ αὐτόν. Vulgatum αὐτῶν emendavit Leonclav. Præterea Morus, mutato verborum ordine, malebat : τὰ χρήματα περὶ αὐτόν.

ἀντεπυνθάνετο. Morus emendabat ἀνεπυνθάνετο. Sed nec hoc sensum loci perficit, quem rectius expressit Plutarchus : ἀποστήσας ἤγαγε πρὸς τὸν Ἀγησίλαον. ἄλλο δὲ οὐδὲν ἐχρήσατο αὐτῷ πρὸς τὸν πόλεμον. Deinceps Junt. et Cast. περὶ τοῦ Φαρναβάζου.

μαχοι, καὶ Λακεδαιμονίων οἱ παρόντες, μάλα ἀχθεσθέντες φανεροὶ ἐγένοντο, νομίζοντες, ἐλάττω τὴν παροῦσαν δύναμιν εἶναι Ἀγησιλάῳ τῆς βασιλέως παρασκευῆς· Ἀγησίλαος δὲ μάλα φαιδρῷ τῷ προσώπῳ ἀπαγγεῖλαι Τισσαφέρνει τοὺς πρέσβεις ἐκέλευσεν, ὡς πολλὴν χάριν αὐτῷ ἔχοι, ὅτι ἐπιορκήσας αὐτὸς μὲν πολεμίους τοὺς θεοὺς ἐκτήσατο, τοῖς δ' Ἕλλησι συμμάχους ἐποίησεν. ἐκ δὲ τούτου εὐθὺς τοῖς μὲν στρατιώταις παρήγγειλε συσκευάζεσθαι ὡς ἐς στρατείαν· ταῖς δὲ πόλεσιν, ἐς ἃς ἀνάγκη ἦν ἀφικνεῖσθαι στρατευομένῳ ἐπὶ Καρίαν, προεῖπεν, ἀγορὰν παρασκευάζειν. ἐπέστειλε δὲ καὶ Ἴωσι, καὶ Αἰολεῦσι, καὶ Ἑλλησποντίοις, πέμπειν πρὸς ἑαυτὸν ἐς Ἔφεσον τοὺς συστρατευσομένους.

12 Ὁ δὲ Τισσαφέρνης, καὶ ὅτι ἱππικὸν οὐκ εἶχεν ὁ Ἀγησίλαος, ἡ δὲ Καρία ἄφιππος ἦν, καὶ ὅτι ἡγεῖτο, αὐτὸν ὀργίζεσθαι αὐτῷ διὰ τὴν ἀπάτην, τῷ ὄντι νομίσας, ἐπὶ τὸν αὐτοῦ οἶκον εἰς Καρίαν αὐτὸν ὁρμήσειν, τὸ μὲν πεζὸν ἅπαν διεβίβασεν ἐκεῖσε, τὸ δ' ἱππικὸν ἅπαν ἐς τὸ Μαιάνδρου περιῆγε πεδίον, νομίζων, ἱκανὸς εἶναι καταπατῆσαι τῇ ἵππῳ τοὺς Ἕλληνας, πρὶν ἐς τὰ δύσιππα ἀφικέσθαι. ὁ δὲ Ἀγησίλαος, ἀντὶ τοῦ ἐπὶ Καρίαν ἰέναι, εὐθὺς τἀναντία ἀποστρέψας, ἐπὶ Φρυγίας ἐπορεύετο, καὶ τάς τε ἐν τῇ πορείᾳ πόλεις κατεστρέφετο, καὶ ἐμβαλὼν

§. 11. οἱ παρόντες. A. J. Br. Caſt. οἱ πάντες.

τῷ Τισσαφέρνει. Articulum ex Ageſilao Xenophontis addere juſſit Leoncl.

ἔχοι. Indidem hoc pro vulgo ἔχειν reſcripſi, ſuadente Leonclav. Contra ἔχει Br. Caſtal. Ceterum narrationem ipſam ex Plutarcho repetiit Polyænus ii. 1. 9.

§. 12. Ὁ δὲ Τισσαφ. In Ageſil. ὁ μὲν οὖν Τισσ.

αὐτὸν ὁρμήσειν. Ageſ. ὁρμήσειν αὐτόν.

περιῆγε. Ageſil. πεδίον περιήγαγε.

ἱκανός. A. J. Bryl. Caſtal. ἱκανόν.

τἀναντία. Ageſil. εὐθὺς ἀντιστρέψας. Hinc Leoncl. legebat εἰς τἀναντία.

Φρυγίας. Diodorus xiv. 79. διεξιὼν δὲ τὸ Καΰστριον πεδίον διέφθειρεν τὴν χώραν—μέχρις ὅτου κατήντησεν εἰς Κύμην. ἐκεῖθεν δὲ ὁρμηθεὶς τὸ πλεῖστον τοῦ θέρους τήν τε Φρυγίαν καὶ τὰ συνεχῆ διετέλεσε πορθῶν—ὑπὸ τὸ φθινόπωρον ἀνέκαμψεν εἰς Ἔφεσον.

πορείᾳ. In Ageſ. deinceps ſequitur ἀπαντώσας δυνάμεις ἀναλαμβάνων ἦγεν καὶ τὰς πόλεις etc. quæ h. l. reſtituenda ſunt.

ἀπροσδοκήτως, παμπληθῆ χρήματα ἐλάμβανε. Καὶ 13 τὸν μὲν ἄλλον χρόνον ἀσφαλῶς διεπορεύετο· οὐ πόῤῥω δ' ὄντος Δασκυλίου, προϊόντες αὐτοῦ οἱ ἱππεῖς ἤλαυνον ἐπὶ λόφον τινὰ, ὡς προΐδοιεν, τί τἄμπροσθεν εἴη. κατὰ τύχην δέ τινα καὶ οἱ τοῦ Φαρναβάζου ἱππεῖς, οἱ περὶ Ῥαθίνην καὶ Βαγαῖον, τὸν νόθον ἀδελφὸν, ὄντες παρόμοιοι τοῖς Ἕλλησι τὸν ἀριθμὸν, πεμφθέντες ὑπὸ Φαρναβάζου, ἤλαυνον καὶ οὗτοι ἐπὶ τὸν αὐτὸν τοῦτον λόφον. ἰδόντες δὲ ἀλλήλους, οὐδὲ τέτταρα πλέθρα ἀπέχοντας, τὸ μὲν πρῶτον ἔστησαν ἀμφότεροι, οἱ μὲν Ἕλληνες ἱππεῖς, ὥσπερ φάλαγξ, ἐπὶ τεττάρων παρατεταγμένοι, οἱ δὲ βάρβαροι, τοὺς πρώτους οὐ πλέον ἢ ἐκ δώδεκα ποιήσαντες, τὸ βάθος δ' ἐπὶ πολλῶν. Ἔπειτα μέντοι πρόσθεν ὥρμησαν οἱ 14 βάρβαροι. ὡς δ' ἐς χεῖρας ἦλθον, ὅσοι μὲν τῶν Ἑλλήνων ἔπαισάν τινας, πάντες ξυνέτριψαν τὰ δόρατα· οἱ δὲ Πέρσαι, κρανέϊνα παλτὰ ἔχοντες, ταχὺ δώδεκα μὲν ἱππῆς, δύο δὲ ἵππους ἀπέκτειναν. ἐκ δὲ τούτου ἐτρέφθησαν οἱ Ἕλληνες ἱππεῖς. βοηθήσαντος δὲ Ἀγησιλάου σὺν τοῖς ὁπλίταις, πάλιν ἀπεχώρουν οἱ βάρβαροι, καὶ [Περσῶν] εἷς αὐτῶν ἀποθνήσκει. Γενομένης δὲ ταύτης τῆς ἱππο- 15 μαχίας, θυομένῳ τῷ Ἀγησιλάῳ τῇ ὑστεραίᾳ ἐπὶ προόδῳ ἄλοβα γίγνεται τὰ ἱερά. τούτου μέντοι φανέντος, στρέψας ἐπορεύετο ἐπὶ τὴν θάλασσαν. Γιγνώσκων δὲ, ὅτι, εἰ μὴ

ἀπροσδοκήτως. Margo Leoncl. ἀπροσδοκήτοις.

§. 13. προϊόντες. Ita recte Leonclavius vulgatum προϊόντος emendavit. Præterea αὐτῷ emendabat Kœppen, comparato loco ſimili v. 4. 59. et vii. 2. 22.

τἄμπροσθεν. Leoncl. legebat: τοὔμπροσθεν.

Βαγαῖον. Ex margine L. et St. recepi nomen uſitatius pro Βαγκαῖον.

ἐς δώδεκα. Ita recte ſcribere juſſit Morus pro ἐκ.

§. 14. ἱππῆς. Hæc forma Attica pro ἱππεῖς infra etiam §. 20. obſervata fuit a librariis, alibi oblitterata cum aliis. Br. et Caſt. etiam hic ἱππεῖς habent; alibi ἱππέας, ut σφέας pro σφᾶς.

[ἱππῆς, forma Attica, non niſi nominativi eſt, ut recte præcipiunt veteres magiſtri. Scrib. ergo hic quoque ἱππέας, quæ forma hoc in libro conſtantius nobis ſervata eſt, alibi ſæpe oblitterata. *F. A. Wolfius.*]

[Περσῶν]. Morus veluti gloſſam incluſit. Recte!

§. 15. θάλασσαν. Plutarchus εἰς Ἔφεσον.

ἱππικὸν ἱκανὸν κτήσαιτο, οὐ δυνήσοιτο κατὰ τὰ πεδία στρατεύεσθαι, ἔγνω τοῦτο κατασκευαστέον εἶναι, ὡς μὴ δραπετεύοντα πολεμεῖν δέοι. καὶ τοὺς μὲν πλουσιωτάτους ἐκ πασῶν τῶν ἐκεῖ πόλεων ἱπποτροφεῖν κατέλεξε· προειπὼν δὲ, ὅστις παρέχοιτο ἵππον καὶ ὅπλα καὶ ἄνδρα δόκιμον, ὅτι ἐξέσται αὐτῷ μὴ στρατεύεσθαι, ἐποίησεν οὕτω ταῦτα ξυντόμως πράττεσθαι, ὥσπερ ἄν τις τὸν ὑπὲρ αὑτοῦ ἀποθανούμενον προθύμως ζητοίη.

16 Ἐκ δὲ τούτου, ἐπειδὴ ἔαρ ὑπέφαινε, ξυνήγαγε μὲν ἅπαν τὸ στράτευμα ἐς Ἔφεσον· ἀσκῆσαι δ᾽ αὐτὸ βουλόμενος, ἆθλα προὔθηκε ταῖς τε ὁπλιτικαῖς τάξεσιν, ἥτις ἄριστα σωμάτων ἔχοι, καὶ ταῖς ἱππικαῖς, ἥτις κράτιστα ἱππεύοι· καὶ πελτασταῖς δὲ καὶ τοξόταις ἆθλα προὔθηκεν, ὅσοι κράτιστοι πρὸς τὰ προσήκοντα ἔργα φανεῖεν. ἐκ δὲ τούτου παρῆν ὁρᾷν τὰ μὲν γυμνάσια πάντα μεστὰ ἀνδρῶν τῶν γυμναζομένων, τὸν δὲ ἱππόδρομον τῶν ἱππαζομένων, τοὺς δ᾽ ἀκοντιστὰς καὶ τοὺς τοξότας μελετῶντας.

Ol. 96. 2/3.

17 Ἀξίαν δὲ καὶ ὅλην τὴν πόλιν, ἐν ᾗ ἦν, [τὴν Ἔφεσον] θέας ἐποίησεν. ἥτε γὰρ ἀγορὰ ἦν μεστὴ παντοδαπῶν καὶ ἵππων καὶ ὅπλων ὠνίων· οἵτε χαλκοτύποι, καὶ οἱ τέκτονες, καὶ οἱ χαλκεῖς, καὶ οἱ σκυτοτόμοι, καὶ οἱ ζωγράφοι, πάντες πολεμικὰ ὅπλα κατεσκεύαζον,

πολεμεῖν δέοι. Agesilaus Xenophonteus addit αὐτόν. Deinceps habet τοὺς μὲν οὖν πλουσιωτάτους τῶν ἐκεῖ πόλεων.

κατέλεξε. Lysias pro Mantitheo p. 578. κατειλεγμένος ἱππεύειν.

προειπὼν δέ. Ages. προεῖπε δέ. Deinceps ἵππον καὶ ὅπλα pro vulgato ἱππικὸν rescripsit Leonclav. ex Plutarcho, etsi in Agesilao similiter ἱππικὸν est.

ὅτι ἐξέσται. Agesil. ὡς ἐξέσοιτο.

ἐποίησεν. Ages. καὶ ἐποίησεν οὕτως ἕκαστον προθύμως μαστεύειν· ex quo loco Leonclav. pro ζητοίη præferebat μαστεύοι. In A. J. Br. Castal. deest ταῦτα.

§. 16. ἥτις ἄριστα. Agesil. ἥτις ἂν ἄριστα: et deinceps κράτιστα ἂν ἱππεύοι.

κράτιστοι πρός. Agesil. omittit πρὸς —et φαίνοιντο habet, deinceps ἐκ τούτου δὲ, recte postremum certe.

πάντα μεστά. Agesil. omisso πάντα, habet τῶν ἀνδρῶν γυμναζομένων. Omittit etiam articulum ante ἱππαζομένων.

μελετῶντας. Agesil. ἐπὶ στύχον ἰόντας, ut recte emendavit V. D. in Bibl. Crit. Amstelod. iii. p. 71. Vulgo enim est ἐπὶ στοίχων ἰόντας.

§. 17. ὅπλων ὠνίων. A. J. Br. Cast. ὅπλων καὶ ὠνίων Junt. ἰωνίων.

χαλκεῖς. Agesil. σιδηρεῖς—σκυτεῖς, γραφεῖς.

ὥστε τὴν πόλιν ὄντως οἴεσθαι πολέμου ἐργαστήριον εἶναι. Ἐπεῤῥώσθη δ' ἄν τις καὶ ἐκεῖνο ἰδὼν, Ἀγησίλαον μὲν 18 πρῶτα, ἔπειτα δὲ καὶ τοὺς ἄλλους στρατιώτας ἐστεφανωμένους ἀπὸ τῶν γυμνασίων ἀπιόντας, καὶ ἀνατιθέντας τοὺς στεφάνους τῇ Ἀρτέμιδι. Ὅπου γὰρ ἄνδρες θεοὺς μὲν σέβοιντο, τὰ δὲ πολεμικὰ ἀσκοῖεν, πειθαρχεῖν δὲ μελετῷεν, πῶς οὐκ εἰκὸς, ἐνταῦθα πάντα μεστὰ ἐλπίδων ἀγαθῶν εἶναι; Ἡγούμενος δὲ, καὶ τὸ καταφρονεῖν τῶν πολεμίων 19 ῥώμην τινὰ ἐμβάλλειν πρὸς τὸ μάχεσθαι, προεῖπε τοῖς κήρυξι, τοὺς ὑπὸ τῶν λῃστῶν ἁλισκομένους βαρβάρους γυμνοὺς πωλεῖν. ὁρῶντες οὖν οἱ στρατιῶται λευκοὺς μὲν, διὰ τὸ μηδέποτε ἐκδύεσθαι, μαλακοὺς δὲ καὶ ἀπόνους, διὰ τὸ ἀεὶ ἐπ' ὀχημάτων εἶναι, ἐνόμισαν, οὐδὲν διοίσειν τὸν πόλεμον, ἢ εἰ γυναιξὶ δέοι μάχεσθαι.

Ἐν δὲ τούτῳ τῷ χρόνῳ καὶ ὁ ἐνιαυτὸς ἤδη, ἀφ' οὗ ἐξέπλευσεν ὁ Ἀγησίλαος, διεληλύθει. ὥστε οἱ μὲν περὶ Λύσανδρον τριάκοντα οἴκαδε ἀπέπλεον· διάδοχοι δ' αὐτῶν οἱ περὶ Ἡριππίδαν παρῆσαν. τούτων Ξενοκλέα μὲν καὶ ἄλλον ἔταξεν ἐπὶ τοὺς ἱππῆς, Σκύθην δὲ ἐπὶ τοὺς νεοδαμώδεις ὁπλίτας, Ἡριππίδαν δ' ἐπὶ τοὺς Κυρείους, Μύγδωνα δὲ ἐπὶ τοὺς ἀπὸ τῶν πόλεων στρατιώτας, καὶ προεῖπεν αὐτοῖς, ὅτι ὡς εὐθὺς ἡγήσοιτο τὴν συντομωτάτην ἐπὶ 20

οἴεσθαι. Agesil. ἡγήσω ἂν ex emend. Cast. et Stephani.

[ὄντως οἴεσθαι. Tandem mihi locus Polybii xii. p. 235. ed. Schweigh. monstravit emendationem certissimam hujus loci. Ibi enim est: οὐκ ἔστιν ὅστις οὐκ ἂν εἶπε, κατὰ τὸν Ξενοφῶντα, τότε θεασάμενος ἐκείνην τὴν πόλιν ἐργαστήριον εἶναι πολέμου. Unde suspicor, in Xenophonte legendum esse: ὥστε τὸν τὴν πόλιν τότε θεασάμενον οἴεσθαι πολέμου ἐργαστήριον εἶναι. *Ex Addendis.*]

§. 18. πρῶτα. Ages. πρῶτον.

σέβοιντο. Agesil. σέβοιεν—πειθαρχίαν.

ἐμβάλλειν. Ages. ἐμβαλεῖν.

μαλακούς. Ages. πίονας. Plutarchus ἁπαλούς. Polyænus ii. 1. 5. τὰ μὲν σώματα αὐτῶν ἀσθενῆ καὶ λευκὰ διὰ τὴν τρυφήν. Frontinus i. 11. 17. nudatos militibus suis, ut alba corpora et umbratica contemnerent, ostendit. Cf. et Agatharchides apud Athenæum xii. p. 550.

§. 20. Ξενοκλέα. Xenoclem et Scythen ad pugnam Chæroneensem eductos nominat Plutarchus Apophthegm. p. 794. Pro αὐτῶν in margine L. et St. est αὐτοῖς. Et pro ἱππῆς Junt. Cast. ἱππεῖς.

ὅτι ὡς. Agesil. omittit ὅτι. Male A. J. Br. Cast. προσεῖπεν.

τὰ κράτιϛα τῆς χώρας, ὅπως αὐτόθεν ἔτω τὰ σώματα καὶ
21 τὴν γνώμην παρασκευάζοιντο, ὡς ἀγωνιέμενοι. Ὁ μέντοι Τισσαφέρνης ταῦτα μὲν ἐνόμισε λέγειν αὐτὸν, πάλιν βελόμενον ἐξαπατῆσαι, ἐς Καρίαν δὲ νῦν τῷ ὄντι ἐμβαλεῖν, καὶ τό τε πεζὸν, καθάπερ τὸ πρόσθεν, ἐς Καρίαν διεβίβασε, καὶ τὸ ἱππικὸν ἐς τὸ Μαιάνδρου πεδίον κατέϛησεν. ὁ δὲ Ἀγησίλαος ἐκ ἐψεύσατο, ἀλλ', ὥσπερ προεῖπεν, εὐθὺς ἐς τὸν Σαρδιανὸν τόπον ἐνέβαλε. καὶ τρεῖς μὲν ἡμέρας δι' ἐρημίας πολεμίων πορευόμενος, πολλὰ τὰ ἐπιτήδεια τῇ ϛρατιᾷ εἶχε· τῇ δὲ τετάρτῃ ἧκον οἱ τῶν πο-
22 λεμίων ἱππεῖς. Καὶ τῷ μὲν ἄρχοντι τῶν σκευοφόρων εἶπε, διαβάντι τὸν Πακτωλὸν ποταμὸν ϛρατοπεδεύεσθαι· αὐτοὶ δὲ, κατιδόντες τοὺς τῶν Ἑλλήνων ἀκολέθους ἐσπαρμένες ἐς ἁρπαγὴν, πολλὲς αὐτῶν ἀπέκτειναν. αἰσθόμενος δὲ ὁ Ἀγησίλαος, βοηθεῖν ἐκέλευσε τὲς ἱππέας. οἱ δ' αὖ Πέρσαι, ὡς εἶδον τὴν βοήθειαν, ἠθροίσθησαν, καὶ ἀντι-
23 παρετάξαντο παμπληθέσι τῶν ἱππέων τάξεσιν. Ἔνθα

τὰ κράτιϛα. Plutarchus εἰς Λυδίαν. Polyænus ii. 1. 9. Ἀγησίλαος ἐπὶ τὰς Σάρδεις ἐλαύνων, καθῆκε λογοποιὲς ὡς ἐξαπατῶν Τισσαφέρνην, ϛέλλεται μὲν ἐπὶ Λυδίας, τρέπεται δὲ ἀφανῶς ἐπὶ Καρίας. Ita locus ille legendus eſt, quem vertiſſe videtur Frontinus i. 8. 11.

αὐτόθεν ἔτω. Ageſ. αὐτόθεν αὐτῷ.

§. 21. ἐμβαλεῖν. A. J. Bryl. Caſt. ἐκβαλεῖν. Deinceps Ageſ. τότε ἐν πεζόν.

τόπον ἐνέβαλε. Ageſ. ἐχώρησε. Τόπος eſt regio. Demoſth. Reiſkii p. 49. ταῖς ἄλλαις ταῖς ἐν τῷ τόπῳ τέτῳ νήσοις. et p. 475. τὸν περὶ Θράκην τόπον. Plutarchus Ageſ. c. 10. τὸ περὶ Σάρδεις πεδίον.

εἶχε. Ageſ. παρεῖχε.

§. 22. εἶπε, διαβάντι. Ageſ. εἶπεν ὁ ἡγεμὼν, quaſi de Perſico duce eſſet ſermo. Atque ita h. l. ſcribit et interpretatur Leonclav. Male! Diodorus xiv. 80. ἐξαγαγὼν τὴν δύναμιν εἰς τὸ Καΰϛρε πεδίον καὶ τὴν περὶ Σίπυλον χώραν ἐδήωσε τὰς τῶν ἐγχωρίων κτήσεις. —Ἀγησίλαος δὲ εἰς πλινθίον συντάξας τοὺς ϛρατιώτας ἀντείχετο τῆς παρὰ τὸν Σίπυλον παρωρίας ἐπιτηρῶν καιρὸν εὔθετον εἰς τὴν τῶν πολεμίων ἐπίθεσιν, ἐπελθὼν δὲ τὴν χώραν μέχρι Σάρδεων ἔφθειρε τές τε κήπους καὶ τὸν παράδεισον τὸν Τισσαφέρνες—μετὰ δὲ ταῦτ' ἐπιϛρέψας ὡς ἀνὰ μέσον ἐγενήθη τῶν τε Σάρδεων καὶ Θυβάρνων ἀπέϛειλε Ξενοκλέα τὸν Σπαρτιάτην μετὰ χιλίων καὶ τετρακοσίων ϛρατιωτῶν νυκτὸς εἴς τινα δασὺν τόπον, ὅπως ἐνεδρεύσῃ τοῖς βαρβάροις. αὐτὸς δὲ ἅμ' ἡμέρᾳ πορευόμενος μετὰ τῆς δυνάμεως ἐπειδὴ τὴν μὲν ἐνέδραν παρήλλαξεν, οἱ δὲ βαρβάροι προσπίπλοντες ἀτάκτως τοῖς ἐπὶ τῆς ἐραγίας ἐξήπλοντο παραδόξως, ἐξαίφνης ἐπέϛρεψεν ἐπὶ τὲς Πέρσας. Nimis igitur jejune et obſcure narravit hæc Xenophon.

ὁ Ἀγησίλαος. Articulum ex Ageſilao addi voluit Leoncl.

§. 23. ἔνθα δὴ ὁ. Articulum ex Ageſ. iterum addidi, ſuadente h. l. Moro.

δὴ ὁ Ἀγησίλαος, γιγνώσκων, ὅτι τοῖς μὲν πολεμίοις οὔπω παρείη τὸ πεζὸν, αὐτῷ δὲ οὐδὲν ἀπείη τῶν παρεσκευασμένων, καλὸν ἡγήσατο μάχην ξυνάψαι, εἰ δύναιτο. σφαγιασάμενος οὖν, τὴν μὲν φάλαγγα εὐθὺς ἦγεν ἐπὶ τοὺς παρατεταγμένους ἱππέας. ἐκ δὲ τῶν ἱππέων ἐκέλευσε τοὺς δέκα ἀφ᾽ ἥβης θεῖν ὁμόσε αὐτοῖς· τοῖς δὲ πελτασταῖς εἶπε δρόμῳ ὑφηγεῖσθαι. παρήγγειλε δὲ καὶ τοῖς ἱππεῦσιν ἐμβάλλειν, ὡς αὐτοῦ τε καὶ παντὸς τοῦ στρατεύματος ἑπομένου. Τοὺς μὲν δὴ ἱππέας ἐδέξαντο οἱ Πέρσαι· ἐπεὶ δὲ 24 ἅμα πάντα τὰ δεινὰ παρῆν, ἐνέκλιναν, καὶ οἱ μὲν αὐτῶν εὐθὺς ἐν τῷ ποταμῷ ἔπεσον, οἱ δ᾽ ἄλλοι ἔφυγον. οἱ δὲ Ἕλληνες ἐπακολουθοῦντες αἱροῦσι καὶ τὸ στρατόπεδον αὐτῶν. καὶ οἱ μὲν πελτασταὶ, ὥσπερ εἰκὸς, ἐς ἁρπαγὴν ἐτράποντο· ὁ δ᾽ Ἀγησίλαος κύκλῳ πάντα καὶ φίλια καὶ πολέμια περιεστρατοπεδεύσατο. καὶ ἄλλ᾽ ἄττα πολλὰ χρήματα ἐλήφθη, ἃ εὗρε, πλέον ἢ ἑβδομήκοντα τάλαντα, καὶ αἱ κάμηλοι δὲ τότε ἐλήφθησαν, ἃς Ἀγησίλαος ἐς τὴν Ἑλλάδα ἀπήγαγεν.

Ὅτε δὲ αὕτη ἡ μάχη ἐγένετο, Τισσαφέρνης ἐν Σάρδεσιν ἔτυχεν ὤν· ὥστε ᾐτιῶντο οἱ Πέρσαι προδεδόσθαι ὑπ᾽ αὐτοῦ. γνοὺς δὲ καὶ αὐτὸς ὁ Περσῶν βασιλεὺς, Τισσαφέρνην αἴτιον εἶναι τοῦ κακῶς φέρεσθαι τὰ αὐτοῦ, Τιθραύ- 25

ἀπείη. Ex Agef. pofuit Morus pro ἀπῄει.

καλόν. Agef. καιρὸν probante Leoncl. Forte utrumque conjungendum fuit, ut infra c. 5. §. 5. Deinceps ibidem ἀντιτεταγμένους.

ὁπλιτῶν. Ex Agef. hoc vulgato ἱππέων fubftitui voluit jam Fr. Portus. Plutarchus Agefil. c. 10. καὶ τοῖς μὲν ἱππεῦσιν ἀναμίξας τὸ πελταστικὸν ἐλαύνειν ἐκέλευσεν ὡς τάχιστα καὶ προσβάλλειν τοῖς ἐναντίοις. Sed is alium videtur auctorem fequi.

§. 24. ἐπεὶ δέ. Agef. ἐπειδὴ δέ.

ἔπεσον. A. J. Br. Caft. ἐνέπεσον. Deinceps Agef. ἔφευγον.

ἐτράποντο. Agef. ἐτρέποντο et ante κύκλῳ inferit ἔχων.

ἀλλ᾽ ἄττα. Ald. ἄλλαττα. Junt. Bryl. Caftal. ἄλλ᾽ ἄττα. Editiones reliquæ ἄλλατε.

χρήματα. Polyænus l. c. ὁ δὲ Λάκων κατέδραμε Λυδίαν καὶ λείαν πολλὴν κατέσυρεν. Frontinus: ipfe Lydiam, ubi caput hoftium regni erat, irrupit, oppreffifque, qui illic agebant, pecunia regia potitus eft.

εὗρε. Vendita fuerunt. Vide ad Memorabilia ii. 5. 5.

§. 25. ἔτυχεν ὤν. Contra Diodorus xiv. 80. ἀπὸ δὲ τῆς μάχης Τισσαφέρνης μὲν εἰς Σάρδεις ἀπεχώρησε.

στην καταπέμψας, ἀποτέμνει αὐτοῦ τὴν κεφαλήν. τοῦτο δὲ ποιήσας ὁ Τιθραύστης, πρέσβεις πέμπει πρὸς τὸν Ἀγησίλαον, λέγοντας· Ὦ Ἀγησίλαε, ὁ μὲν αἴτιος τῶν πραγμάτων καὶ ὑμῖν καὶ ἡμῖν, ἔχει τὴν δίκην· βασιλεὺς δὲ ἀξιοῖ, σὲ μὲν ἀποπλεῖν οἴκαδε, τὰς δ' ἐν τῇ Ἀσίᾳ πόλεις αὐτονόμους οὔσας τὸν ἀρχαῖον δασμὸν αὐτῷ ἀποφέρειν.

26 Ἀποκρινομένου δὲ τοῦ Ἀγησιλάου, ὅτι οὐκ ἂν ποιήσειε ταῦτα ἄνευ τῶν οἴκοι τελῶν· σὺ δ' ἀλλά, ἕως ἂν πύθῃ τὰ παρὰ τῆς πόλεως, μεταχώρησον, ἔφη, ἐς τὴν Φαρναβάζου, ἐπειδὴ καὶ ἐγὼ τὸν σὸν ἐχθρὸν τετιμώρημαι. ἕως ἂν τοίνυν, ἔφη ὁ Ἀγησίλαος, ἐκεῖσε πορεύωμαι, δίδου τῇ στρατιᾷ τὰ ἐπιτήδεια. ἐκείνῳ μὲν δὴ ὁ Τιθραύστης δίδωσι τριάκοντα τάλαντα· ὁ δὲ λαβὼν ᾔει ἐπὶ τὴν Φαρναβάζου

27 Φρυγίαν. Ὄντι δ' αὐτῷ ἐν τῷ πεδίῳ τῷ ὑπὲρ κώμης, ἔρχεται ἀπὸ τῶν οἴκοι τελῶν, ἄρχειν καὶ τοῦ ναυτικοῦ, ὅπως γιγνώσκοι, καὶ καταστήσασθαι ναύαρχον, ὅντινα αὐτὸς βούλοιτο. τοῦτο δ' ἐποίησαν οἱ Λακεδαιμόνιοι τοιῷδε λογισμῷ, ὡς, εἰ ὁ αὐτὸς ἀμφοτέρων ἄρχει, τό τε πεζὸν πολὺ ἂν ἰσχυρότερον εἶναι, καθ' ἓν οὔσης τῆς ἰσχύος ἀμφοτέροις, τό τε ναυτικὸν, ἐπιφαινομένου τοῦ πεζοῦ, ἔνθα δέοι.

ἀποτέμνει. Agesil. ἀπέτεμε. A matre instigatus Parysatide, interfecit; Diodorus l. c. et Polyænus vii. 16. qui dolum narrat.

§. 26. ἐπειδὴ καί. A. J. Bryl. Cast. ἐπειδὴ μὲν ἐγώ. Morus malebat ἐπειδή γε aut περ.

πορεύωμαι. A. J. Br. Castal. πορεύομαι.

τάλαντα. Diodorus xiv. 80. αὐτὸς δὲ τὸν Ἀγησίλαον πείσας εἰς λόγους ἐλθεῖν ἑξαμηναίους ἀνοχὰς ἐποιήσατο. Isocrates Panegyr. 41. τὴν μέν γε μετ' Ἀγησιλάου στρατιὰν ὀκτὼ μῆνας ταῖς ἑαυτῶν δαπάναις διέθρεψαν.

Φρυγίαν. Diodorus: Ἀγησίλαος ἐπεχείρησε μὲν εἰς τὰς ἄνω σατραπείας, ἐν δὲ τοῖς ἱεροῖς οὐ δυνάμενος καλλιερῆσαι, πάλιν ἀπήγαγε τὴν δύναμιν ἐπὶ θάλασσαν.

§. 27. κώμης. Ita A. J. Bryl. Castal. Κύμην scribere suasit Fr. Portus et mediterraneam interpretatur, quæ Φρικωνῖτις et Larissa etiam dicta fuerit. Hoc receperunt L. et Steph. in quarum editionum margine legitur etiam Καυῆς, ex libro iv. 1. 10. Equidem Κύμην approbo propter locum Diodori xiv. 79. supra jam allatum, ubi Agesilaus, simulato in Cariam itinere, cum Cymam usque pervenisset, subito devertitur et Phrygiam invadit.

ἔρχεται. Leoncl. addit ὁ ἐπιστέλλων. Cæterum soli Agesilao id contigisse, ut imperium classis simul illi permitteretur, annotat Plutarch. c. 10. et Pausanias iii. 9. p. 226.

ἀμφοτέρων. A. J. Bryl. Cast. ἀμφότερα. Deinceps ἄρχοι emendabat Morus.

Ἀκούσας δὲ ταῦτα ὁ Ἀγησίλαος, πρῶτον μὲν ταῖς πόλεσι 28 παρήγγειλε, ταῖς ἐν ταῖς νήσοις, καὶ ταῖς ἐπιθαλαττιδίοις, τριήρεις ποιεῖσθαι, ὁπόσας ἑκάστη βούλοιτο τῶν πόλεων. καὶ ἐγένοντο καιναὶ, ἐξ ὧν αἵ τε πόλεις ἐπηγγείλαντο, καὶ οἱ ἰδιῶται ἐποιοῦντο, χαρίζεσθαι βουλόμενοι, ἐς εἴκοσι καὶ ἑκατόν. Πείσανδρον δὲ τὸν τῆς γυναικὸς ἀδελφὸν ναύαρχον 29 κατέστησε, φιλότιμον μὲν καὶ ἐρρωμένον τὴν ψυχὴν, ἀπειρότερον δὲ τοῦ παρασκευάζεσθαι ὡς δεῖ. καὶ Πείσανδρος μὲν ἀπελθὼν τὰ ναυτικὰ ἔπραττεν· ὁ δὲ Ἀγησίλαος, ὥσπερ ὥρμησεν, ἐπὶ τὴν Φρυγίαν ἐπορεύετο.

## ΚΕΦ. Ε.

Ο ΜΕΝΤΟΙ Τιθραύστης, καταμαθεῖν δοκῶν τὸν Ἀγησίλαον καταφρονοῦντα τῶν βασιλέως πραγμάτων, καὶ οὐδαμῇ διανοούμενον ἀπιέναι ἐκ τῆς Ἀσίας, ἀλλὰ μᾶλλον ἐλπίδας ἔχοντα μεγάλας αἱρήσειν βασιλέα, ἀπορῶν, τί χρῷτο τοῖς πράγμασι, πέμπει Τιμοκράτην τὸν Ῥόδιον ἐς τὴν Ἑλλάδα, δοὺς χρυσίον ἐς πεντήκοντα τάλαντα ἀργυρίου, καὶ κελεύει πειρᾶσθαι, πιστὰ τὰ μέγιστα λαμβάνοντα, διδόναι τοῖς προεστηκόσιν ἐν ταῖς πόλεσιν, ἐφ᾽ ᾧ τε πόλεμον ἐξοίσειν πρὸς Λακεδαιμονίους. ἐκεῖνος δὲ ἐλθὼν δίδωσιν ἐν Θήβαις μὲν Ἀνδροκλείδᾳ τε καὶ Ἰσμηνίᾳ καὶ Γαλαξιδώρῳ· ἐν Κορίνθῳ δὲ Τιμολάῳ τε καὶ Πολυάνθει· ἐν

§. 29. ἀπειρότερον. Plutarchus et feniores et prudentiores adfuiffe ait. Sed nimius fuit Agefilai in fuos amor, et ftudium in amicos.

§. 1. Τιμοκράτην. Paufanias iii. 9. cum noftro facit; fed Plutarch. Artaxerx. c. 20. Hermocratem appellat.

πεντήκοντα τάλαντα. Agefilaus hinc decem millibus fagittariorum, hoc eft, numorum Perficorum, fagittario fignatorum, expulfum fe ex Afia effe aiebat, auctore Plutarcho cap. 15. Hæc pecunia feditiones civitatum græcarum et bellum contra Lacedæmonios concitavit.

Ἀνδροκλείδᾳ. Plutarchus Lyf. 27. hunc cum Amphitheo, Paufanias l. c. cum Ifmenia et Amphithemin nominat. Amphitheon a Spartanis harmoftis in carcerem conjectum, et tunc, cum exfules redirent, liberatum, fæpius nominat Plutarchus de Genio Socratis p. 282 et alibi. Igitur fcriptura Amphitheus vera effe videtur. Galaxidorum Ifmeniæ fuperfuiffe, cognofcitur indidem ex Plutarcho p. 279. et 292.

[Πολυάνθει. Eundem nominat Thucydides vii. c. 34. *Ex Addendis.*] Vid. n. ad iv. 8. 8.

2 Ἄργει δὲ Κύκλωνί τε καὶ τοῖς μετ' αὐτοῦ. Ἀθηναῖοι δὲ, καὶ οὐ μεταλαβόντες τούτου τοῦ χρυσίου, ὅμως πρόθυμοι ἦσαν ἐς τὸν πόλεμον, νομίζοντές τε αὐτῶν ἄρχεσθαι. Οἱ μὲν δὴ δεξάμενοι τὰ χρήματα ἐς τὰς οἰκείας πόλεις διέβαλον τοὺς Λακεδαιμονίους· ἐπεὶ δὲ ταύτας ἐς μῖσος αὐτῶν προήγαγον, συνίστασαν καὶ τὰς μεγίστας πόλεις πρὸς ἀλλήλας.

3 Γιγνώσκοντες δὲ οἱ ἐν ταῖς Θήβαις προεστῶτες, ὅτι, εἰ μή τις ἄρξοι πολέμου, οὐκ ἐθελήσουσιν οἱ Λακεδαιμόνιοι λύειν τὰς σπονδὰς πρὸς τοὺς συμμάχους, πείθουσι Λοκροὺς τοὺς Ὀπουντίους, ἐκ τῆς ἀμφισβητησίμου χώρας Φωκεῦσί τε καὶ ἑαυτοῖς χρήματα τελέσαι, νομίζοντες, τοὺς Φωκέας, τούτου γενομένου, ἐμβαλεῖν ἐς τὴν Λοκρίδα. καὶ οὐκ ἐψεύσθησαν, ἀλλ' εὐθὺς οἱ Φωκεῖς, ἐμβαλόντες ἐς τὴν Λοκρίδα, πολλαπλάσια χρήματα ἔλαβον. 4 Οἱ οὖν περὶ τὸν Ἀνδροκλείδαν ταχὺ ἔπεισαν τοὺς Θηβαίους βοηθεῖν τοῖς Λοκροῖς, ὡς οὐκ ἐς τὴν ἀμφισβητήσιμον, ἀλλ' ἐς τὴν ὁμο-

Κύκλωνι. Pausanias Cylonem et Sodamam nominat.

§. 2. καὶ οὐ. Mallem καί περ οὐ. Ceterum Pausanias ait, Cephalum et Epicratem, σακέσφορον appellatum, partem pecuniæ etiam accepisse.

νομίζοντές τε αὐτῶν. Vitium vulgatæ emendabat Leonclav. ἐνόμιζόν τε αὐτῶν τὸ ἄρχεσθαι, i. e. putabant, suas partes esse, bellum auspicari. Contra Morus quædam excidisse putat, quæ efficerent hunc sensum: quod existimabant, indignum se esse, sub aliorum esse imperio, scilicet Lacedæmoniorum. Recte! Igitur inferendum ἀνάξιον. Huc facit infra §. 10.

[§. 3. ἀμφισβητησίμου. Ad Locros Ozolas Amphissenses refert etiam Thucyd. iii. 101. addens, eos cum Lacedæmoniis fecisse διὰ τὸ τῶν Φωκίων ἔχθος. Unde confirmatur narratio Pausaniæ. *Ex Addendis.*]

ἑαυτοῖς—τελέσαι. Pertinet ἑαυτοῖς ad Locros Opuntios. Pausanias iii. 9. p. 227. Locri ex Amphissa initium belli fecerunt: τοῖς γὰρ δὴ Λοκροῖς ἡ πρὸς τοὺς Φωκέας ἐτύγχανεν οὖσα ἀμφισβητήσιμος γῆ. ἐκ ταύτης τόν τε σῖτον ἀκμάζοντα ἔταμον καὶ ἤλασαν λείαν ἄγοντες. Sed Amphissa maxima fuit Locrorum Ozolarum civitas. Hanc, inprimis controversiam de agris habuisse cum Phocensibus, ait Pausanias; atque ipsa Amphissa videtur in controversia fuisse inter Phocenses et Locros. Hinc, qui Epaminondam interfecisse se jactabat Euonamus Amphissensis, heroicos honores nactus fuit apud Phocenses, auctore Plutarcho in Amatorio p. 51.—Pro τελέσαι Morus ex loco Pausaniæ comparato legendum censebat ἁρπάσαι aut λαμβάνειν. Facillima est emendatio ἐλάσαι. Bellum, hic descriptum, dici solebat Bœoticum.

§. 4. ὁμολογουμένην φίλην. Posterius vocabulum abest A. J. Br. Cast. Qui inseruerunt, debebant saltem ὁμολογουμένως scribere.

λογουμένην φίλην τε καὶ σύμμαχον εἶναι Λοκρίδα ἐμβεβληκότων αὐτῶν. ἐπεὶ δὲ οἱ Θηβαῖοι, ἀντεμβαλόντες ἐς τὴν Φωκίδα, ἐδῄουν τὴν χώραν, εὐθὺς οἱ Φωκεῖς πέμπουσι πρέσβεις ἐς Λακεδαίμονα, καὶ ἠξίουν βοηθεῖν αὐτοῖς, διδάσκοντες, ὡς οὐκ ἤρξαντο πολέμου, ἀλλ' ἀμυνόμενοι ἦλθον ἐπὶ τοὺς Λοκρούς. 5 Οἱ μέντοι Λακεδαιμόνιοι ἄσμενοι ἔλαβον πρόφασιν στρατεύειν ἐπὶ τοὺς Θηβαίους, πάλαι ὀργιζόμενοι αὐτοῖς τῆς τε ἀντιλήψεως τῆς τοῦ Ἀπόλλωνος δεκάτης ἐν Δεκελείᾳ, καὶ τοῦ ἐπὶ τὸν Πειραιᾶ μὴ ἐθελῆσαι ἀκολουθῆσαι. ᾐτιῶντο δ' αὐτούς, καὶ Κορινθίους πεῖσαι μὴ συστρατεύειν. ἀνεμιμνήσκοντο δὲ καί, ὡς θύειν τ' ἐν Αὐλίδι τὸν Ἀγησίλαον οὐκ εἴων, καὶ τὰ τεθυμένα ἱερὰ ὡς ἔρριψαν ἀπὸ τοῦ βωμοῦ· καὶ ὅτι οὐδ' ἐς τὴν Ἀσίαν ξυνεστράτευον Ἀγησιλάῳ. ἐλογίζοντο δὲ καὶ καλὸν καιρὸν εἶναι τοῦ ἐξάγειν στρατιὰν ἐπ' αὐτούς, καὶ παῦσαι τῆς ἐς αὐτοὺς ὕβρεως· τά τε γὰρ ἐν τῇ Ἀσίᾳ καλῶς σφίσιν ἔχειν, κρατοῦντος Ἀγησιλάου, καὶ ἐν τῇ Ἑλλάδι οὐδένα ἄλλον πόλεμον ἐμποδὼν σφίσιν εἶναι. 6 Οὕτω δὲ γιγνωσκούσης τῆς πόλεως τῶν Λακεδαιμονίων, φρουρὰν μὲν οἱ ἔφοροι ἔφαινον, Λύσανδρον δ' ἐξέπεμψαν ἐς Φωκέας, καὶ ἐκέλευσαν, αὐτούς τε τοὺς Φωκέας ἄγοντα παρεῖναι, καὶ Οἰταίους καὶ Ἡρα-

§. 5. στρατεύειν. Margo L et St. τοῦ στρατεύειν.

δεκάτης. Juſtinus v. 11. Interea Thebani Corinthiique legatos ad Lacedæmonios mittunt, qui ex manubiis portionem prædæ communis belli periculique peterent. Quibus negatis non quidem aperte bellum adverſus Lacedæmonios decernunt, ſed tacitis animis tantam iram concipiunt, ut ſubeſſe bellum intelligi poſſet. Plutarchus Lyſandri cap. 27. οἱ Θηβαῖοι μόνοι τῆς δεκάτης ἀντεποιήσαντο τοῦ πολέμου, τῶν ἄλλων συμμάχων ἡσυχαζόντων, καὶ περὶ χρημάτων ἠγανάκτησαν, ἃ Λύσανδρος εἰς Σπάρτην ἀπέστειλε.

θύειν τ'. Morus τε putat eſſe delendum ut ſuperfluum; ego vero θύοντα malim.

[θύειν τ'. Hic equidem non hæſiſſem. Neque accuſativi uſus, cætera bonus, mihi huc videtur convenire. Convenit ille tantum, ubi εἶναι ſubaudiri poteſt: ut quum dicunt πόλιν ἐᾶν αὐτόνομον etc. *F. A. Wolfius.*]

τεθυμένα ἱερά. Pauſanias τῶν ἱερείων καιόμενα ἤδη τὰ μηρία ἀποῤῥίπτουσιν ἀπὸ τοῦ βωμοῦ, iii. p. 225. ubi præter Thebanos etiam Corinthios, Argivos et Athenienſes Ageſilaum ducem in Aſiam non ſecutos fuiſſe ait.

ἔχειν. Juntina ἔχει. Forte voluit ἔχοι.

κλεώτας, καὶ Μηλιέας, καὶ Αἰνιᾶνας, ἐς Ἁλίαρτον. ἐκεῖσε δὲ καὶ Παυσανίας, ὅσπερ ἔμελλεν ἡγεῖσθαι, ξυνετίθετο παρέσεσθαι ἐς ῥητὴν ἡμέραν, ἔχων Λακεδαιμονίους τε καὶ τοὺς ἄλλους ξυμμάχους τῶν Πελοποννησίων. καὶ ὁ μὲν Λύσανδρος τά τε ἄλλα τὰ κελευόμενα ἔπραττε, καὶ προσ-
7 έτι Ὀρχομενίους ἀπέστησε Θηβαίων. Ὁ δὲ Παυσανίας, ἐπεὶ τὰ διαβατήρια ἐγένετο αὐτῷ, καθεζόμενος ἐν τῇ Τεγέᾳ, τούς τε ξεναγοὺς διέπεμπε, καὶ τοὺς ἐκ τῶν περιοικίδων πόλεων στρατιώτας περιέμενεν. ἐπεὶ γεμὴν δῆλον τοῖς Θηβαίοις ἐγένετο, ὅτι ἐμβάλλοιεν οἱ Λακεδαιμόνιοι ἐς τὴν χώραν αὐτῶν, πρέσβεις ἔπεμψαν Ἀθήναζε, λέγοντας τάδε·

8 Ὦ ἄνδρες Ἀθηναῖοι, ἃ μὲν μέμφεσθε ἡμῖν, ὡς ψηφισαμένοις χαλεπὰ περὶ ὑμῶν ἐν τῇ καταλύσει τοῦ πολέμου, οὐκ ὀρθῶς μέμφεσθε· οὐ γὰρ ἡ πόλις ἐκεῖνα ἐψηφίσατο, ἀλλ' εἷς ἀνὴρ εἶπεν, ὃς ἔτυχε τότε ἐν τοῖς συμμάχοις καθήμενος. ὅτε δὲ παρεκάλουν ἡμᾶς οἱ Λακεδαιμόνιοι ἐπὶ τὸν Πειραιᾶ, τότε ἅπασα ἡ πόλις ἀπεψηφίσατο, μὴ συστρατεύειν αὐτοῖς. Δι' ὑμᾶς οὖν οὐχ ἥκιστα ὀργιζομένων ἡμῖν τῶν Λακεδαιμονίων, δίκαιον εἶναι νομίζομεν, βοηθεῖν
9 ὑμᾶς τῇ πόλει ἡμῶν. Πολὺ δ' ἔτι μᾶλλον ἀξιοῦμεν, ὅσοι τῶν ἐν ἄστει ἐγένεσθε, προθύμως ἐπὶ τοὺς Λακεδαιμονίους ἰέναι. ἐκεῖνοι γὰρ, καταστήσαντες ὑμᾶς ἐς ὀλιγαρχίαν καὶ

§. 6. *ἡγεῖσθαι.* A. J. Br. Caſt. *ἐνηγεῖσθαι.*

*ἀπέστησε Θηβαίων.* Alia interim acciderunt, veluti pugna cum Thebanis, de qua Plutarchus in Apophthegm. p. 870. *Λύσανδρος ἐρωτώμενος ὅπως ὁ Χάρων ἐνίκησεν αὐτόν; τῇ πολυμαχανίᾳ εἶπεν.*

§. 7. *Τεγέᾳ.* Pauſanias iii. 5. p. 215. *παρὰ Τεγεατῶν καὶ ἐξ Ἀρκαδίας τῆς ἄλλης ἀθροίζων δύναμιν.*

*Ἀθήναζε.* Athenienſes tunc legatos miſerant ad Lacedæmonios, rogaturi, ut jure et diſceptatione res repeterent, quos Lacedæmonii contemtos cum ira dimiſerunt, auctore Pauſania iii. p. 228.

§. 8. *ψηφισαμένοις.* Margo Leoncl. *ψηφισαμένων.*

*εἷς ἀνήρ.* Erianthes, de quo ſupra ad ii. 2. 19.

*τοῖς συμμάχοις καθήμενος.* In conſilio Lacedæmoniorum et ſociorum ſedens. Articulum omittunt A. J. Br. Caſt.

ἐς ἔχθραν τῷ δήμῳ, ἀφικόμενοι πολλῇ δυνάμει, ὡς ὑμῖν σύμμαχοι, παρέδοσαν ὑμᾶς τῷ πλήθει· ὥστε τὸ μὲν ἐπ' ἐκείνοις εἶναι, ἀπολώλατε, ὁ δὲ δῆμος οὑτοσὶ ὑμᾶς ἔσωσε. Καὶ μὴν ὅτι μέν, ὦ ἄνδρες Ἀθηναῖοι, βούλοισθ' ἂν τὴν 10 ἀρχήν, ἣν πρότερον ἐκέκτησθε, ἀναλαβεῖν, πάντες ἐπιστάμεθα· τοῦτο δὲ πῶς μᾶλλον εἰκὸς γενέσθαι, ἢ εἰ αὐτοὶ τοῖς ὑπ' ἐκείνων ἀδικουμένοις βοηθοῖτε; ὅτι δὲ πολλῶν ἄρχουσι, μὴ φοβηθῆτε, ἀλλὰ πολὺ μᾶλλον διὰ τοῦτο θαῤῥεῖτε, ἐνθυμούμενοι, ὅτι καὶ ὑμεῖς, ὅτε πλείστων ἤρχετε, τότε πλείστους ἐχθροὺς ἐκέκτησθε. ἀλλ' ἕως μὲν οὐκ εἶχον, ὅποι ἀποσταῖεν, ἔκρυπτον τὴν πρὸς ὑμᾶς ἔχθραν· ἐπεὶ δέ γε Λακεδαιμόνιοι προέστησαν, τότε ἔφηναν, οἷα περὶ ὑμῶν ἐγίγνωσκον. καὶ νῦν γε, ἂν φανεροὶ γενώμεθα ἡμεῖς τε καὶ 11 ὑμεῖς ξυνασπιδοῦντες ἐναντία τοῖς Λακεδαιμονίοις, εὖ ἴστε, ἀναφανήσονται πολλοὶ οἱ μισοῦντες αὐτούς. Ὡς δὲ ἀληθῆ λέγομεν, ἐὰν ἀναλογίσησθε, αὐτίκα γνώσεσθε. τίς γὰρ ἤδη καταλείπεται αὐτοῖς εὐμενής; οὐκ Ἀργεῖοι μὲν ἀεί ποτε δυσμενεῖς αὐτοῖς ὑπάρχουσιν; Ἠλεῖοι γε μήν, νῦν ἐστε- 12 ρημένοι χώρας καὶ πόλεων, ἐχθροὶ αὐτοῖς προσγεγένηνται. Κορινθίους δέ, καὶ Ἀρκάδας, καὶ Ἀχαιοὺς τί φῶμεν; οἱ ἐν μὲν τῷ πρὸς ὑμᾶς πολέμῳ, μάλα λιπαρούμενοι ὑπ' ἐκείνων πάντων καὶ πόνων καὶ κινδύνων καὶ τῶν δαπανημάτων μετεῖχον· ἐπεὶ δ' ἔπραξαν, ἃ ἐβούλοντο, οἱ Λακεδαιμόνιοι, ποίας ἢ ἀρχῆς, ἢ τιμῆς, ἢ ποίων χρημάτων μεταδεδώκασιν αὐτοῖς; ἀλλὰ τοὺς μὲν εἵλωτας ἁρμοστὰς καθιστάναι

§. 10. βοηθοῖτε. Junt. βοηθοῖντε. Cast. βοηθῆτε.

§. 11. ξυνασπιδοῦντες. A. J. Br. Castal. ξυνασπιδιοῦντες. Leoncl. et Steph. malunt ξυνασπιοῦντες, quod probat Morus, quoniam verbi ἀσπιδοῦν exempla probata non extent. Sed infra vii. 4. 37. legitur συνασπιδοῦντες sine ulla varietate.

§. 12. χώρας. St. et Leoncl. οὐ χώρας πολλῆς. Quod equidem probo, ne Elei omni plane terra privati fuisse dicantur.

καὶ τῶν. Morus articulum sibi suspectum inclusit. Paulo antea verba μάλα λιπαρούμενοι scio defendi posse; sed multo magis suspicio odii Arcadum in Lacedæmonios augebitur, si legas μάλα ταλαιπωρούμενοι.

εἵλωτας. Auget odium, quod non

ἀξιοῦσι, τῶν δὲ ξυμμάχων ἐλευθέρων ὄντων, ἐπεὶ εὐτύχησαν, δεσπόται ἀναπεφήνασιν. 13 Ἀλλὰ μὴν καὶ οὓς ὑμῶν ἀπέστησαν, φανεροί εἰσιν ἐξηπατηκότες· ἀντὶ γὰρ ἐλευθερίας διπλῆν αὐτοῖς δουλείαν παρεσχήκασιν· ὑπό τε γὰρ τῶν ἁρμοστῶν τυραννοῦνται, καὶ ὑπὸ δέκα ἀνδρῶν, οὓς Λύσανδρος κατέστησεν ἐν ἑκάστῃ πόλει. ὁ γε μὴν τῆς Ἀσίας βασιλεὺς, καὶ τὰ μέγιστα αὐτοῖς συμβαλόμενος πρὸς τὸ ὑμῶν κρατῆσαι, νῦν τί διάφορον πάσχει, ἢ εἰ μεθ' ὑμῶν κατεπολέμησεν αὐτούς; 14 Πῶς οὖν οὐκ εἰκὸς, ἐὰν ὑμεῖς αὖ προστῆτε τῶν οὕτω φανερῶς ἀδικουμένων, νῦν ὑμᾶς πολὺ ἤδη μεγίστους τῶν πώποτε γενέσθαι; ὅτε μὲν γὰρ ἤρχετε, τῶν κατὰ θάλατταν μόνον δήπου ἡγεῖσθε· νῦν δὲ πάντων, καὶ ἡμῶν, καὶ Πελοποννησίων, καὶ ὧν πρόσθεν ἤρχετε, καὶ αὐτοῦ βασιλέως, τοῦ μεγίστην δύναμιν ἔχοντος, ἡγεμόνες ἂν γένησθε. Καίτοι ἦμεν πολλοῦ ἄξιοι καὶ ἐκείνοις σύμμαχοι, ὡς ὑμεῖς ἐπίστασθε· νῦν δέ γε εἰκὸς τῷ παντὶ ὑμῖν ἐῤῥωμενεστέρως ἡμᾶς ἕψεσθαι, ἢ τότε Λακεδαιμονίοις· οὐδὲ γὰρ ὑπὲρ νησιωτῶν ἢ Συρακουσίων, οὐδ' ὑπὲρ ἀλλοτρίων, ὥσπερ τότε, ἀλλ' ὑπὲρ ἡμῶν αὐτῶν ἀδικουμένων βοηθήσομεν. 15 Καὶ τοῦτο μέντοι χρὴ εὖ εἰδέναι, ὅτι ἡ Λακεδαιμονίων πλεονεξία πολὺ εὐκαταλυτωτέρα ἐστὶ τῆς ὑμετέρας γενομένης ἀρχῆς. ὑμεῖς μὲν γὰρ, ἔχοντες ναυτικὸν, οὐχ ἑκόντων ἤρχετε· οὗτοι δὲ, ὀλίγοι ὄντες, πολλαπλασίων ὄντων, καὶ οὐδὲν χεῖρον ὡπλισμένων πλεονεκτοῦσι. ταῦτ' οὖν λέγομεν ἡμεῖς· εὖ γε μέντοι ἐπίστασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι νομίζομεν, ἐπὶ πολὺ

Spartanos, nec περιοίκους, sed Helotes mitti, ait, harmostas a Lacedæmoniis, et liberis servos præfici.

§. 13. συμβαλόμενος. Recte hoc vulgato συμβαλλόμενος substituit Morus. Deinceps Margo Leoncl. εἰς τὸ ὑμῶν.

§. 14. ἕψεσθαι. Margo Leonclav. συμμαχήσειν. Cæterum τῷ παντὶ similiter supra ii. 3. 22. πῶς οὐ ταῦτα τῷ παντὶ ἐκείνων ἀδικώτερα.

§. 15. ὑμεῖς μὲν γάρ. A. J. Br. Cast. omittunt μέν. Opponuntur sibi οὐχ ἑκόντες et πολλαπλάσιοι οὐδὲν χεῖρον ὡπλισμένοι, deinde ἔχοντες ναυτικὸν et ὀλίγοι ὄντες. Nescio an bene.

μείζω ἀγαθὰ παρακαλεῖν ὑμᾶς τῇ ὑμετέρᾳ πόλει, ἢ τῇ ἡμετέρᾳ.

16 Ὁ μὲν ταῦτ' εἰπὼν, ἐπαύσατο. τῶν δ' Ἀθηναίων πάμπολλοι μὲν ξυνηγόρευον, πάντες δ' ἐψηφίσαντο βοηθεῖν αὐτοῖς. Θρασύβουλος δ', ἀποκρινάμενος τὸ ψήφισμα, καὶ τοῦτο ἀνεδείκνυτο, ὅτι, ἀτειχίστου τοῦ Πειραιῶς ὄντος, ὅμως παρακινδυνεύσοιεν χάριτα αὐτοῖς ἀποδοῦναι μείζονα, ἢ ἔλαβον. ὑμεῖς μὲν γὰρ, ἔφη, οὐ ξυνεστρατεύσατε ἐφ' ἡμᾶς, ἡμεῖς δέ γε μεθ' ὑμῶν μαχούμεθα ἐκείνοις, ἂν ἴωσιν ἐφ' ὑμᾶς. 17 Οἱ μὲν δὴ Θηβαῖοι ἀπελθόντες παρεσκευάζοντο ὡς ἀμυνούμενοι, οἱ δ' Ἀθηναῖοι ὡς βοηθήσοντες. καὶ μὴν οἱ Λακεδαιμόνιοι οὐκέτι ἔμελλον, ἀλλὰ Παυσανίας μὲν ὁ βασιλεὺς ἐπορεύετο ἐς τὴν Βοιωτίαν, τό τε οἴκοθεν ἔχων στράτευμα καὶ τὸ ἐκ Πελοποννήσου· πλὴν Κορίνθιοι οὐκ ἠκολούθουν αὐτοῖς. ὁ δὲ Λύσανδρος, ἄγων τὸ ἀπὸ Φωκέων καὶ Ὀρχομενοῦ καὶ τῶν κατ' ἐκεῖνα χωρίων στράτευμα, ἔφθη τὸν Παυσανίαν ἐν τῷ Ἁλιάρτῳ γενόμενος. 18 Ἥκων δὲ, οὐκέτι ἡσυχίαν ἔχων ἀνέμενε τὸ ἀπὸ Λακεδαιμονίων στράτευμα, ἀλλὰ, σὺν οἷς εἶχεν, ᾔει πρὸς τὸ τεῖχος τῶν Ἁλιαρτίων. καὶ τὸ μὲν πρῶτον ἔπειθεν αὐτοὺς ἀφίστασθαι Θηβαίων, καὶ αὐτονόμους γίγνεσθαι· ἐπεὶ δὲ τῶν Θηβαίων τινὲς ὄντες ἐν τῷ τείχει διεκώλυον, προσέβαλε πρὸς τὸ τεῖχος. 19 Ἀκούσαντες δὲ ταῦτα οἱ Θηβαῖοι, δρόμῳ ἐβοήθουν οἵ τε ὁπλῖται καὶ οἱ ἱππεῖς. ὁπότερα μὲν οὖν εἴτε

§. 16. ξυνηγόρευον. A. J. Br. Caſt. ξυνηγορεύοντο.

ἀποκρινάμενος. Brodæus interpretabatur: pſephiſma referebat. Morus: cum reſpondens iis declaraſſet ſummam decreti. Ita Demoſthen. contra Euergum p. 1149. ἀποκρίνεται ἡμῖν ἡ βουλὴ ψηφίσματι.

ξυνεστρατεύσατε. Male A. J. Br. Caſt. ξυνεστρατοπεδεύσατε. Cæterum in eandem ſententiam locus eſt Demoſthenis pro Corona p. 258. Λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων καὶ τὰ κύκλῳ τῆς Ἀττικῆς κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς Εὔβοιαν, Τάναγραν, τὴν Βοιωτίαν ἅπασαν, Μέγαρα, Αἴγιναν, Κλεώνας, τὰς ἄλλας νήσους, οὐ ναῦς οὐ τείχη τῆς πόλεως τότε κεκτημένης, ἐξήλθετε εἰς Ἁλίαρτον.

§. 17. ἐκ Πελοποννήσου. Præpoſitionem omiſit Junt. Caſtal.

§. 18. οὐκέτι. Caſt. οὐχ ἡσυχίαν. Deinceps Margo L. et St. ἀπὸ Λακεδαίμονος. Quæ lectio mihi arridet.

λαθόντες τὸν Λύσανδρον ἐπέπεσον αὐτῷ, εἴτε καὶ αἰσθόμενος προσιόντας ὡς κρατήσων ὑπέμενεν, ἄδηλον· τοῦτο δ᾽ οὖν σαφὲς, ὅτι παρὰ τὸ τεῖχος ἡ μάχη ἐγένετο, καὶ τρόπαιον ἕστηκε πρὸς τὰς πύλας τῶν Ἁλιαρτίων. ἐπεὶ δὲ ἀποθανόντος Λυσάνδρου ἔφευγον οἱ ἄλλοι πρὸς τὸ ὄρος,
20 ἐδίωκον ἐρρωμένως οἱ Θηβαῖοι. Ὡς δὲ ἄνω ἤδη ἦσαν διώκοντες, καὶ στενοχωρία τε καὶ δυσπορία ἐλάμβανεν αὐτοὺς, ὑποστρέψαντες οἱ ὁπλῖται ἠκόντιζόν τε καὶ ἔβαλλον. ὡς δὲ ἔπεσον αὐτῶν δύο ἢ τρεῖς οἱ πρῶτοι, καὶ ἐπὶ τοὺς λοιποὺς ἐπεκυλίνδουν πέτρους ἐς τὸ κάταντες, καὶ πολλῇ προθυμίᾳ ἐνέκειντο, ἐτρέφθησαν οἱ Θηβαῖοι ἀπὸ τοῦ κατάντους, καὶ
21 ἀποθνήσκουσιν αὐτῶν πλείους ἢ διακόσιοι. Ταύτῃ μὲν οὖν τῇ ἡμέρᾳ οἱ Θηβαῖοι ἠθύμουν, νομίζοντες, οὐκ ἐλάττω κακὰ πεπονθέναι, ἢ πεποιηκέναι· τῇ δ᾽ ὑστεραίᾳ, ἐπεὶ ᾔσθοντο ἀπεληλυθότας ἐν νυκτὶ τούς τε Φωκέας καὶ τοὺς ἄλλους ἅπαντας οἴκαδε ἑκάστους, ἐκ τούτου δὴ μεῖζον ἐφρόνησαν ἐπὶ τῷ γεγενημένῳ. ἐπεὶ δ᾽ αὖ ὁ Παυσανίας ἀνεφαίνετο ἔχων τὸ ἐκ Λακεδαίμονος στράτευμα, πάλιν αὖ ἐν μεγάλῳ κινδύνῳ ἡγοῦντο εἶναι, καὶ πολλὴν ἔφασαν σιωπήν τε

§. 19. ἐπέπεσον. Hoc ex margine L. et St. recepi. Vulgo ἔπεσον. Cæterum eſt pleonaſmus in verbis ὁπότερα—εἴτε—εἴτε. Cæterum rem ipſam nimis obſcure narrat Noſter. Litteras ad Pauſaniam interceptas a Thebanis habet Plutarchus. Pauſanias iii. p. 215. ἐσεληλύθεσαν δὲ ἤδη καὶ Θηβαίων καὶ Ἀθηναίων τινὲς κρύφα ἐς τὴν πόλιν, ὧν ἐπεξελθόντων καὶ πρὸ τοῦ τείχους ταξαμένων etc. Idem x. p. 774. στρατιᾶς ἔκ τε Θηβῶν ἐνούσης ἤδη καὶ ἐξ Ἀθηνῶν.

τοῦτο δ᾽ οὖν. Malim τοῦτο γ᾽ οὖν. Lyſander fuit occiſus a Nearcho Haliartenſi in colle Archelide, etiam Alopeco dicto, ad fluvium Hoplitem, teſtante Plutarcho de Oraculorum poeticorum defectu, et in Lyſandro c. 39. Fluvium agri Haliartii Lophin habet Pauſan. ix. p. 777. Gloriam occiſi Lyſandri vindicant ſibi Athenienſes apud Ariſtidem tom. ii. p. 105. de quo diſſenſu bene judicat Weſſeling ad Diodorum i. p. 705.

§. 20. διώκοντες. Diodor. xiv. 81. τῶν δὲ Βοιωτῶν ἡ μὲν ὅλη φάλαγξ ταχέως ἐπέστρεψεν ἀπὸ τοῦ διωγμοῦ, τῶν δὲ Θηβαίων ὡς διακόσιοι προχειρότερον εἰς τόπους τραχεῖς ἑαυτοὺς δόντες ἀνῃρέθησαν. Plutarchus tercentos edit, eoſque ait fuiſſe ſuſpectos Laconiſmi, et voluiſſe ea animi promtitudine culpam a ſe removere. Lacedæmonios mille occubuiſſe addit.

στενοχωρία. In margine St. et Leonclav. δυσχωρία τε καὶ στενοπορία ὑπελάμβανεν.

§. 21. ἐφρόνησαν. Margo Leonclav. ἐφρόνουν.

ἀνεφαίνετο. Plutarchus ἐκ Πλαταιῶν εἰς Θεσπίας πορευόμενος addit.

ἔφασαν σιωπήν τε. V. D. in Bibl. Crit. Amſtel. emendabat; πολλὴ ἀφασία τε καὶ ταπεινότης ἐν τῷ—ῃ αὐτῶν.

καὶ ταπεινότητα ἐν τῷ στρατεύματι εἶναι αὐτῶν. 22 Ὡς δὲ τῇ ὑστεραίᾳ οἵ τε Ἀθηναῖοι ἐλθόντες ξυμπαρετάξαντο, ὅ τε Παυσανίας οὐ προσῆγεν, οὐδὲ ἐμάχετο, ἐκ τούτου τὸ μὲν Θηβαίων πολὺ μεῖζον φρόνημα ἐγένετο· ὁ δὲ Παυσανίας, συγκαλέσας πολεμάρχους καὶ πεντηκοστῆρας, ἐβουλεύετο, πότερον μάχην ξυνάπτοι, ἢ ὑπόσπονδον τόν τε Λύσανδρον ἀναιροῖτο, καὶ τοὺς μετ' αὐτοῦ πεσόντας. 23 Λογιζόμενος δὲ ὁ Παυσανίας, καὶ οἱ ἄλλοι οἱ ἐν τέλει τῶν Λακεδαιμονίων, ὡς Λύσανδρος τετελευτηκὼς εἴη, καὶ τὸ μετ' αὐτοῦ στράτευμα ἡττημένον ἀποκεχωρήκοι, καὶ Κορίνθιοι μὲν παντάπασιν οὐκ ἠκολούθουν αὐτοῖς, οἱ δὲ παρόντες οὐ προθύμως στρατεύοιντο· ἐλογίζοντο δὲ καὶ τὸ ἱππικὸν, ὡς τὸ μὲν ἀντίπαλον πολὺ, τὸ δ' αὐτῶν ὀλίγον εἴη, καὶ ὅτι οἱ νεκροὶ ὑπὸ τῷ τείχει ἔκειντο, ὥστε οὐδὲ κρείττοσιν οὖσι διὰ τοὺς ἀπὸ τῶν πύργων ῥᾴδιον εἴη ἀνελέσθαι· διὰ οὖν πάντα ταῦτα ἔδοξεν αὐτοῖς, τοὺς νεκροὺς ὑποσπόνδους ἀναιρεῖσθαι. 24 Οἱ μέντοι Θηβαῖοι εἶπον, ὅτι οὐκ ἂν ἀποδοῖεν τοὺς νεκροὺς, εἰ μὴ ἐφ' ᾧ τε ἀπιέναι ἐκ τῆς χώρας. οἱ δὲ ἄσμενοί τε ταῦτα ἤκουσαν, καὶ ἀνελόμενοι τοὺς νεκροὺς ἀπῄεσαν ἐκ τῆς Βοιωτίας. τούτων δὲ πραχθέντων, οἱ μὲν Λακεδαιμόνιοι ἀθύμως ἀπῄεσαν· οἱ δὲ Θηβαῖοι μάλ' ὑβριστικῶς, εἰ καὶ μικρόν τις τῶν χωρίων που ἐπιβαίη, παίοντες ἐδίωκον ἐς τὰς ὁδούς.

Scilicet nullam putat is cauſam eſſe, cur alienam hic auctoritatem præferret Xenophon, cum reliqua ex ſua narraverit; vocem ἀφάσιαν librarium interpretari voluiſſe appoſito σιωπῇ, et deinde alium ex ἀφασίᾳ non intellecto effeciſſe ἔφασαν. Neceſſitatem emendandi equidem nullam video; nec magnam veri ſpeciem opinio V. D. habet.

§. 22. Ἀθηναῖοι. Athenienſes ducebat Thraſybulus, auctore Plutarcho in Lyſ. c. 29. et Pauſania iii. 5. qui defendit cauſam Pauſaniæ. Verum jam antea partem Athenienſium adfuiſſe, ante fuit monitum.

προσῆγεν. Emendabat προῆγεν Kuhn ad Æliani V. H. iii. 1. 11.

§. 23. οἱ ἐν τέλει. Recte articulum repeti debere, judicavit Steph. vulgo omiſſum. Morus interpretatur triginta regis comites, de quibus ſupra. Plutarchus πρεσβυτέρους τῶν Σπαρτιατῶν appellat, eoſque ait obſtitiſſe conſilio Pauſaniæ et pugnam renovari voluiſſe.

ἀπὸ τῶν πύργων. An fuit olim ἐπὶ τῶν πύργων?

§. 24. οὐκ ἄν. Caſtal. ἂν omiſit, ut et ſequentem articulum τοὺς ante νεκρούς.

που ἐπιβαίη. L. et St. τοῦ ἐπιβαίη.

αὕτη μὲν δὴ οὕτως ἡ στρατιὰ τῶν Λακεδαιμονίων διελύθη.
25 Ὁ μέντοι Παυσανίας ἐπεὶ ἀφίκετο οἴκαδε, ἐκρίνετο περὶ θανάτου. κατηγορουμένου δ᾽ αὐτοῦ, καὶ ὅτι ὑστερήσειεν ἐς Ἁλίαρτον τοῦ Λυσάνδρου, ξυνθέμενος ἐς τὴν αὐτὴν ἡμέραν παρέσεσθαι, καὶ ὅτι ὑποσπόνδους, ἀλλ᾽ οὐ μάχῃ, ἐπειρᾶτο τοὺς νεκροὺς ἀναιρεῖσθαι, καὶ ὅτι τὸν δῆμον τῶν Ἀθηναίων, λαβὼν ἐν τῷ Πειραιεῖ, ἀνῆκε, καὶ πρὸς τούτοις, οὐ παρόντος ἐν τῇ δίκῃ, θάνατος αὐτοῦ κατεγνώσθη· καὶ ἔφυγεν ἐς Τεγέαν, καὶ ἐτελεύτησε μέντοι ἐκεῖ νόσῳ. κατὰ μὲν οὖν τὴν Ἑλλάδα ταῦτ᾽ ἐπράχθη.

δὴ οὕτως. A. J. Br. Caſt. δὴ ὄντως et deinceps οὕτως inſerunt ante διελύθη. Pro στρατιὰ Morus cum Leoncl. præfert στρατεία.

§. 25. ἀνῆκε. Hujus quidem rei crimen et judicium jam antea ſubierat Pauſanias, ſed abſolutus fuerat, auctore Pauſania iii. 5. p. 215.

οὐ παρόντος. Plutarchus Lyſ. c. 31. οὐχ ὑποστὰς τὴν κρίσιν.

Τεγέαν. Plutarchus: κἀκεῖ κατεβίωσεν ἱκέτης ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς. Pauſanias iii. 5. p. 216. Ἀθηνᾶς Ἀλέας habet. Nec tamen in exſilio animum habuit alienum a patria Pauſanias, ut apparet ex dicto ejus apud Plutarchum Apophthegm. Lacon. p. 860.

κατὰ μὲν οὖν. Ald. omiſit οὖν, ſed Junt. Bryl. Caſt. ſimul μὲν οὖν.

# ΞΕΝΟΦΩΝΤΟΣ

## ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

## ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

### ΚΕΦ. Α.

Ο ΔΕ Ἀγησίλαος, ἐπεὶ ἀφίκετο ἅμα μετοπώρῳ ἐς τὴν τοῦ Φαρναβάζου Φρυγίαν, τὴν μὲν χώραν ἔκαε καὶ ἐπόρθει, πόλεις δὲ τὰς μὲν βίᾳ, τὰς δὲ ἑκούσας προσελάμβανε. λέγοντος δὲ τοῦ Σπιθριδάτου, ὡς, εἰ ἔλθοι πρὸς τὴν Παφλαγονίαν, τὸν τῶν Παφλαγόνων βασιλέα καὶ ἐς λόγους ἄξοι, καὶ ξύμμαχον ποιήσοι, προθύμως ἐπορεύετο, πάλαι τούτου ἐπιθυμῶν, τοῦ ἀφιστάναι τὸ ἔθνος ἀπὸ βασιλέως. — Ol. 96. $\frac{2}{3}$. — 2

Ἐπεὶ δὲ ἀφίκετο ἐς τὴν Παφλαγονίαν, ἦλθε Κότυς, καὶ ξυμμαχίαν ἐποιήσατο· καὶ γὰρ καλούμενος ὑπὸ βασιλέως οὐκ ἀναβεβήκει. πείσαντος δὲ τοῦ Σπιθριδάτου, κατέλιπε τῷ Ἀγησιλάῳ Κότυς χιλίους μὲν ἱππέας, δισχιλίους δὲ πελταστάς. χάριν δὲ τούτων εἰδὼς Ἀγησίλαος τῷ Σπιθριδάτῃ· Εἰπέ μοι, ἔφη, ὦ Σπιθριδάτα, οὐκ ἂν δοίης Κότυϊ τὴν θυγατέρα; πολύ γε, ἔφη, μᾶλλον, ἢ ἐκεῖνος ἂν λάβοι φυγάδος ἀνδρὸς, βασιλεύων πολλῆς χώρας καὶ δυνάμεως. Τότε μὲν οὖν ταῦτα μόνον ἐρρήθη περὶ τοῦ γάμου. — 3, 4, 5

§. 2. Παφλαγονίαν. L. et St. addunt: σὺν αὐτῷ, ſed ut ſuſpectum includunt.

τὸ ἔθνος. Margo St. et Leonclav. τὶ ἔθνος. Morus τὸ interpretatur τοῦτο.

§. 3. ἦλθε Κότυς. Ita recte emendavit Leonclav. vulgatum ἦλθεν Ὄτυς.

πελταστάς. In Ageſilao iii. 4. eſt πελτοφόρους.

ἐπεὶ δὲ Κότυς ἔμελλεν ἀπιέναι, ἦλθε πρὸς τὸν Ἀγησίλαον ἀσπασόμενος. λόγου δὲ ἦρξατο ὁ Ἀγησίλαος, παρόντων 6 τῶν τριάκοντα, μεταστησάμενος τὸν Σπιθριδάτην. Λέξον μοι, ἔφη, ὦ Κότυ, ποίου τινὸς γένους ἐστὶν ὁ Σπιθριδάτης; ὁ δ᾽ εἶπεν, ὅτι Περσῶν οὐδενὸς ἐνδεέστερος. τὸν δ᾽ υἱὸν, ἔφη, ἑώρακας αὐτοῦ ὡς καλός ἐστι; τί δ᾽ οὐ μέλλω; καὶ γὰρ ἑσπέρας ξυνεδείπνουν αὐτῷ. τούτου μέν φασι τὴν θυγατέρα αὐτῷ καλλίονα εἶναι. νὴ Δί᾽, ἔφη ὁ Κότυς· καλὴ 7 γάρ ἐστι. Καὶ ἐγὼ μὲν, ἔφη, ἐπεὶ φίλος ἡμῖν γεγένησαι, συμβουλεύσαιμ᾽ ἄν σοι τὴν παῖδα γενέσθαι γυναῖκα, καλλίστην μὲν οὖσαν· (οὗ τί ἀνδρὶ ἥδιον;) πατρὸς δ᾽ εὐγενεστάτου, δύναμιν δ᾽ ἔχοντος τοσαύτην. ὃς, ὑπὸ Φαρναβάζου ἀδικηθεὶς, οὕτω τιμωρεῖται αὐτὸν, ὥστε φυγάδα πάσης 8 τῆς χώρας, ὡς ὁρᾷς, πεποίηκεν. εὖ ἴσθι μέντοι, ἔφη, ὥσπερ ἐκεῖνον ἐχθρὸν ὄντα δύναται τιμωρεῖσθαι, οὕτω καὶ φίλον ἄνδρα εὐεργετεῖν δύναιτο. νόμιζε δὲ, τούτων πραχθέντων, μὴ κεῖνον ἄν σοι μόνον κηδεστὴν εἶναι, ἀλλὰ καὶ ἐμὲ, καὶ τοὺς ἄλλους Λακεδαιμονίους· ἡμῶν δὲ ἡγουμένων 9 τῆς Ἑλλάδος, καὶ τὴν ἄλλην Ἑλλάδα. καὶ μὴν μεγαλειοτέρως γε σοῦ εἰ ταῦτα πράττοις, τίς ἄν ποτε γήμειε; ποίαν γὰρ νύμφην πώποτε τοσοῦτοι ἱππεῖς καὶ πελτασταὶ καὶ ὁπλῖται προὔπεμψαν, ὅσοι τὴν σὴν γυναῖκα ἐς τὸν σὸν 10 οἶκον προπέμψειαν ἄν; Καὶ ὁ Κότυς ἐπήρετο· δοκοῦντα δ᾽, ἔφη, ὦ Ἀγησίλαε, καὶ Σπιθριδάτῃ ταῦτα λέγεις; μὰ τοὺς θεοὺς, ἔφη, ὦ Κότυ. ἐκεῖνος μὲν ἐμέ γε οὐκ ἐκέλευσε ταῦτα λέγειν· ἐγὼ μέντοι, καίπερ ὑπερχαίρω, ὅταν ἐχθρὸν τιμωρῶμαι, πολὺ μᾶλλόν μοι δοκῶ ἥδεσθαι, ὅταν 11 τι τοῖς φίλοις ἀγαθὸν ἐξευρίσκω. Τί οὖν, ἔφη, οὐ συν-

§. 7. συμβουλεύσαιμ᾽. Margo Leoncl. συμβουλεύοιμι ἄν.

γενέσθαι. Franc. Portus legi volebat ἀγαγέσθαι. Recte, puto.

ὃς ὑπό. Margo St. Leonclav. ὡς ὑπό.

§. 9. γε σοῦ. A. J. Br. Cast. omittunt σοῦ.

§. 10. ὑπερχαίρω. Margo L. et St. ὑπερχαίρων.

θάνῃ, εἰ καὶ ἐκείνῳ βουλομένῳ ταῦτ᾽ ἐστί; καὶ ὁ Ἀγησίλαος, ἴτ᾽, ἔφη, ὑμεῖς, ὦ Ἡριππίδα, καὶ διδάσκετε αὐτὸν βουληθῆναι, ἅπερ ἡμεῖς. Οἱ μὲν δὴ ἀναστάντες ἐδίδασκον. 12 ἐπεὶ δὲ διέτριβον, βούλει, ἔφη, ὦ Κότυ, καὶ ἡμεῖς δεῦρο καλέσωμεν αὐτόν; πολύ γ᾽ ἂν οἶμαι μᾶλλον, ἔφη, ὑπὸ σοῦ πεισθῆναι αὐτὸν, ἢ ὑπὸ τῶν ἄλλων ἁπάντων. ἐκ τούτου δὲ ἐκάλει ὁ Ἀγησίλαος τὸν Σπιθριδάτην τε καὶ τοὺς ἄλλους. Προσιόντων δ᾽ αὐτῶν, εἶπεν ὁ Ἡριππίδας· τὰ 13 μὲν ἄλλα, ὦ Ἀγησίλαε, τὰ ῥηθέντα τί ἄν τις μακρολογοίη; τέλος δὲ λέγει Σπιθριδάτης, πᾶν ποιεῖν ἂν ἡδέως, ὅ τι σοι δοκοίη. ἐμοὶ μὲν τοίνυν, ἔφη ὁ Ἀγησίλαος, δοκεῖ, 14 σὲ μὲν, ὦ Σπιθριδάτα, τύχῃ ἀγαθῇ διδόναι Κότυϊ τὴν θυγατέρα, σὲ δὲ λαμβάνειν. τὴν μέντοι παῖδα πρὸ ἦρος οὐκ ἂν δυναίμεθα πεζῇ ἀγαγεῖν. ἀλλὰ ναὶ μὰ Δί᾽, ἔφη ὁ Κότυς, κατὰ θάλατταν ἤδη ἂν πέμποιτο, εἰ [σὺ] βούλοιο. Ἐκ τούτου δεξιὰς δόντες καὶ λαβόντες ἐπὶ τούτοις, 15 ἀπέπεμπον τὸν Κότυν.

Καὶ εὐθὺς ὁ Ἀγησίλαος, ἐπεὶ ἔγνω αὐτὸν σπεύδοντα, τριήρη πληρώσας, καὶ Καλλίαν Λακεδαιμόνιον κελεύσας ἀπαγαγεῖν τὴν παῖδα, αὐτὸς ἐπὶ Δασκυλίου ἐπορεύετο, ἔνθα καὶ τὰ βασίλεια ἦν Φαρναβάζῳ, καὶ κῶμαι περὶ αὐτὰ πολλαὶ καὶ μεγάλαι, καὶ ἄφθονα ἔχουσαι τὰ ἐπιτήδεια, καὶ θῆραι, αἱ μὲν ἐν περιειργασμένοις παραδείσοις, αἱ δὲ καὶ ἀναπεπταμένοις τόποις, πάγκαλαι. περιέῤῥει 16

§. 12. ἐκ τούτου δέ. Morus malebat δή. Recte, puto.

τὸν Σπιθριδάτην. Articulum omittunt A. J. Br. Cast.

§. 13. αὐτῶν. Margo Leoncl. εὐθύς. Sed ita post προσιόντων δὲ fuerit interpungendum.

§. 14. ἤδη—σύ. Hæc omittunt A. J. Br. Castal.

§. 15. Καλλίαν. Eundem nominat in Agesilao viii. 3. et Polyænus.

ἐπορεύετο. Margo Leonclav. ἀπεπορεύετο. Dascylion an idem sit cum Δασκύλου κώμη apud Athenæum ii. pag. 43. nescio. Sed in Phrygia ille ibidem ponit Μηνὸς κώμην, et Λέοντος κώμην. Videtur igitur Phrygia κωμηδὸν seu per pagos habitata fuisse, quod narratio Xenophontis ubique arguere videtur.

θῆραι. Ita Brodæus scribere jussit pro θήρας in A. J. Br. Castal.

δὲ καὶ ποταμὸς, παντοδαπῶν ἰχθύων πλήρης. ἦν δὲ καὶ
τὰ πτηνὰ ἄφθονα τοῖς ὀρνιθεῦσαι δυναμένοις. ἐνταῦθα
μὲν δὴ διεχείμαζε, [καὶ] αὐτόθεν [καὶ] σὺν προνομαῖς
17 τὰ ἐπιτήδεια τῇ στρατιᾷ λαμβάνων. Καταφρονητικῶς
δέ ποτε καὶ ἀφυλάκτως, διὰ τὸ μηδὲν πρότερον ἐσφάλ-
θαι, λαμβανόντων τῶν στρατιωτῶν τὰ ἐπιτήδεια, ἐπέτυχεν
αὐτοῖς ὁ Φαρνάβαζος, κατὰ τὸ πεδίον ἐσπαρμένοις, ἅρ-
ματα μὲν ἔχων δύο δρεπανηφόρα, ἱππέας δὲ ὡς τετρακο-
18 σίους. οἱ δὲ Ἕλληνες ὡς εἶδον αὐτὸν προσελαύνοντα,
ξυνέδραμον ὡς ἐς ἑπτακοσίους. ὁ δ᾽ οὐκ ἐμέλλησεν, ἀλλὰ
προστησάμενος τὰ ἅρματα, αὐτὸς δὲ σὺν τοῖς ἱππεῦσιν
19 ὄπισθεν γενόμενος, ἐκέλευσεν ἐλαύνειν ἐς αὐτούς. ὡς δὲ τὰ
ἅρματα ἐμβαλόντα διεσκέδασε τὸ ἀθρόον, ταχὺ οἱ ἱππεῖς
κατέβαλον ὡς ἐς ἑκατὸν ἀνθρώπους, οἱ δ᾽ ἄλλοι κατέφυ-
γον πρὸς Ἀγησίλαον· ἐγγὺς γὰρ ἔτυχε σὺν τοῖς ὁπλίταις
20 ὤν. Ἐκ δὲ τούτου, τρίτῃ ἢ τετάρτῃ ἡμέρᾳ, αἰσθάνεται ὁ
Σπιθριδάτης τὸν Φαρνάβαζον ἐν Καυῇ κώμῃ μεγάλῃ στρα-
τοπεδευόμενον, ἀπέχοντα στάδια ὡς ἑξήκοντα καὶ ἑκατὸν,
21 καὶ εὐθὺς λέγει πρὸς τὸν Ἡριππίδαν. καὶ ὁ Ἡριππίδας,
ἐπιθυμῶν ἀεὶ λαμπρόν τι ἐργάζεσθαι, αἰτεῖ τὸν Ἀγησί-
λαον ὁπλίτας τε ἐς δισχιλίους, καὶ πελταστὰς ἄλλους τοσού-
τους, καὶ ἱππέας τούς τε Σπιθριδάτου καὶ τοὺς Παφλαγόνας,
22 καὶ τῶν Ἑλλήνων ὁπόσους πείσειεν. ἐπεὶ δὲ ὑπέσχετο αὐ-
τῷ, ἐθύετο· καὶ ἅμα δείλῃ καλλιερησάμενος, κατέλυσε
τὴν θυσίαν. ἐκ δὲ τούτου δειπνήσαντας παρήγγειλε παρεῖ-
23 ναι πρόσθεν τοῦ στρατοπέδου. σκότους δὲ γενομένου, οὐδ᾽ οἱ
ἡμίσεις ἑκάστων ἐξῆλθον. ὅπως δὲ μὴ, εἰ ἀποτρέποιτο,

§. 16. *καὶ αὐτόθεν καί.* A. J. Bryl. Caſtal. poſterius καὶ omittunt; utrumque incluſit Morus.

[*Καὶ αὐτόθεν καὶ σὺν προνομαῖς*— H. e. *Tum ex hoc ipſo loco, ubi hibernabat, tum ex locis circumjacentibus, dimiſſis pabulatoribus* etc. Sic videtur recte feciſſe, qui primus addidit alterum *καί*. *F. A. Wolfius.*]

§. 23. ἐξῆλθον. Vitio operarum editio Mori habet ἐξῆλθεν.

καταγελῷεν αὐτοῦ οἱ ἄλλοι τριάκοντα, ἐπορεύετο σὺν ᾗ εἶχε δυνάμει. Ἅμα δὲ τῇ ἡμέρᾳ ἐπιπεσὼν τῇ Φαρναβάζου στρατοπεδείᾳ, τῆς μὲν προφυλακῆς αὐτοῦ, Μυσῶν ὄντων, πολλοὶ ἔπεσον, αὐτοὶ δὲ διαφεύγουσι, τὸ δὲ στρατόπεδον ἁλίσκεται, καὶ πολλὰ μὲν ἐκπώματα, καὶ ἄλλα δή, οἷα Φαρναβάζου κτήματα, πρὸς δὲ τούτοις σκεύη πολλά, καὶ ὑποζύγια σκευοφόρα. διὰ γὰρ τὸ φοβεῖσθαι, μή, εἴ που καταςαίη, κυκλωθεὶς πολιορκοῖτο, ἄλλοτε ἄλλῃ τῆς χώρας ἐπῄει, ὥσπερ οἱ νομάδες, καὶ μάλα ἀφανίζων τὰς στρατοπεδεύσεις. Ὑποστήσας δὲ Ἡριππίδας ταξιάρχους καὶ λοχαγούς, ἀφείλετο ἅπαντα τόν τε Σπιθριδάτην καὶ τοὺς Παφλαγόνας, ἵνα δὴ πολλὰ ἀπαγάγοι τὰ αἰχμάλωτα τοῖς λαφυροπώλαις. ἐκεῖνοι μέντοι ταῦτα παθόντες, οὐκ ἤνεγκαν, ἀλλ' ὡς ἀδικηθέντες καὶ ἀτιμασθέντες, νυκτὸς συσκευασάμενοι ᾤχοντο ἀπιόντες ἐς Σάρδεις πρὸς Ἀριαῖον, πιστεύοντες, ὅτι καὶ ὁ Ἀριαῖος ἀποστὰς βασιλέως ἐπολέμησεν αὐτῷ. Ἀγησιλάῳ μὲν δὴ τῆς ἀπολείψεως τοῦ Σπιθριδάτου καὶ τοῦ Μεγαβάζου καὶ τῶν Παφλαγόνων οὐδὲν ἐγένετο βαρύτερον ἐν τῇ στρατείᾳ.

(Margin section numbers: 24, 25, 26, 27, 28)

§. 24. ἐπιπεσών. Pro ἐπιπεσόντος αὐτοῦ, ut monuit Morus.

τῇ στρατοπεδείᾳ. Inuſitatum mihi accidit pro τῷ στρατοπέδῳ.

[στρατοπεδείᾳ. Verbum hoc ſæpius legitur, ut apud Dionyſium Halic. et Arrianum, noſtri imitatorem, e quo plura trahi potuiſſent. Occurrit etiam ἀντιστρατοπεδεία. Paullo ante ſyntaxi nominativi, ἐπιπεσών, ſimilis eſt illa ii. 2. 3. ὁ ἕτερος τῷ ἑτέρῳ παραγγέλλων, ubi de hac forma nihil monuiſti. Cf. Cyrop. viii. 3. 12. *F. A. Wolfius.*]

§. 26. ὑποστήσας. Ante hoc verbum in St. et L. inſeritur membrum hoc: ἐπεὶ δὲ τὰ ληφθέντα χρήματα ἀπήγαγον οἵ τε Παφλαγόνες καὶ ὁ Σπιθριδάτης, ὑποστήσας etc. quæ, unde addita ſint, ignoro. Etſi vero Morus particulam hanc ad ſenſum perficiendum minus neceſſariam putabat, ego tamen non ſolum neceſſariam eam, aut ei ſimilia verba cenſeo, ſed ne ſic quidem omnia ſana præſtiterim, quamvis cum Leoncl. ἐπιστήσας legas. De re ipſa Plutarch. Ageſil. cap. 11. πικρὸς ὢν ἐξεταστὴς τῶν κλαπέντων, καὶ τοὺς βαρβάρους ἀναγκάζων ἀποτίθεσθαι καὶ φάντα φωρῶν καὶ διερευνώμενος.

§. 27. πιστεύοντες. Margo Leoncl. πιστεύσαντες.

Ἀριαῖος. Is eſt, qui cum Cyro bellum geſſerat contra Artaxerxem, et Cyri ὕπαρχος Xenophonti Anab. i. 8. Diodoro xiv. 24. σατράπης Cyri dicitur. In utroque ſcriptore libri variant inter Ἀριαῖος et Ἀριδαῖος, aliqui etiam Ἀρισταῖος habent.

§. 28. μὲν δή. Sequitur ἀπὸ τῆς ἀπολήψεως in A. J. Br. Caſt. Primus Fr. Portus correxit ἀπολείψεως.

Μεγαβάζου. Ita Ald. Contra Μεγαβύζου Junt. Caſt. Bryl. In Ageſilao cap. 5. et Plutarcho c. 11. eſt Μεγα-

29 Ἦν δέ τις Ἀπολλοφάνης Κυζικηνὸς, ὃς καὶ Φαρναβάζῳ ἐτύγχανεν ἐκ παλαιοῦ ξένος ὢν, καὶ Ἀγησιλάῳ κατ' ἐκεῖνον τὸν χρόνον ἐξενώθη. οὗτος οὖν εἶπε πρὸς τὸν Ἀγησίλαον, ὡς οἴοιτο, συναγαγεῖν ἂν αὐτῷ ἐς λόγους περὶ φιλίας Φαρνάβαζον. ὡς δ' ἤκουσεν αὐτοῦ, σπονδὰς λαβὼν καὶ δεξιὰν, παρῆν ἄγων τὸν Φαρνάβαζον ἐς συγκείμενον

30 χωρίον. Ἔνθα δὴ Ἀγησίλαος καὶ οἱ περὶ αὐτὸν τριάκοντα χαμαὶ ἐν πόᾳ τινὶ κατακείμενοι ἀνέμενον· ὁ δὲ Φαρνάβαζος ἧκεν ἔχων στολὴν, πολλοῦ χρυσοῦ ἀξίαν. ὑποτιθέντων δὲ τῶν θεραπόντων ῥαπτὰ, ἐφ' ὧν καθίζουσιν οἱ Πέρσαι μαλακῶς, ᾐσχύνθη ἐντρυφῆσαι, ὁρῶν τοῦ Ἀγησιλάου τὴν φαυλότητα. κατεκλίνθη οὖν καὶ αὐτὸς, ὥσπερ εἶχε,

31 χαμαί. καὶ πρῶτα μὲν ἀλλήλοις χαίρειν προσεῖπον, ἔπειτα τὴν δεξιὰν προτείναντος τοῦ Φαρναβάζου, ἀντιπροὔτεινε καὶ ὁ Ἀγησίλαος. μετὰ δὲ τοῦτο ἤρξατο λόγου ὁ Φαρ-

32 νάβαζος· καὶ γὰρ ἦν πρεσβύτερος· Ὦ Ἀγησίλαε, καὶ πάντες οἱ παρόντες Λακεδαιμόνιοι, ἐγὼ ὑμῖν, ὅτε τοῖς Ἀθηναίοις ἐπολεμεῖτε, φίλος καὶ ξύμμαχος ἐγενόμην· καὶ τὸ μὲν ὑμέτερον ναυτικὸν, χρήματα παρέχων, ἰσχυρὸν ἐποίουν· ἐν δὲ τῇ γῇ, αὐτὸς ἀπὸ τοῦ ἵππου μαχόμενος μεθ' ὑμῶν, ἐς τὴν θάλατταν κατεδίωκον τοὺς πολεμίους. καὶ διπλοῦν, ὥσπερ Τισσαφέρνους, οὐδὲν πώποτέ μου οὔτε ποιήσαντος οὔτ' εἰπόντος πρὸς ὑμᾶς ἔχοιτ' ἂν κατηγορῆσαι.

βάτου. In Apophthegm. Laconicis p. 787. eſt Μεγαβέτου et Μεγαβήτου. Amorem Ageſilai in hunc puerum pluribus celebravit Xenophon in Ageſilao.

§. 29. ἂν αὐτῷ. A. J. Bryl. Caſt. omittunt αὐτῷ.

§. 30. πόᾳ τινί. Plutarchus: ὑπὸ σκιᾷ τινι πόας οὔσης βαθείας.

πολλοῦ χρυσοῦ. Poſterius ſuſpectum habet verbum Fr. Portus, igitur incluſit Leoncl.

[στολὴν πολλοῦ χρυσοῦ ἀξίαν. H. e. ἀξίαν εἰς πολὺν χρυσὸν, ut loquuntur alii: *cujus pretium æquale erat auro multo*. Vana videtur eſſe ſuſpicio. *F. A. Wolfius.*]

δὲ τῶν. St. et L. δὲ αὐτῷ τῶν.

καθίζουσιν. Ita recte St. pro καθίσουσιν. Plutarchus pro ῥαπτοῖς habet κώδια μαλακὰ καὶ ποικίλους δαπίδας.

§. 32. [διπλοῦν. Huc pertinet Horatii *duplex Ulyſſes*. Quod miſere laborarunt quidam ex uno Rheſo explicare, quum in Græcis uſus ſit ſatis frequens. *F. A. Wolfius.*]

οὔτε ποιήσαντος. A. J. Bryl. Caſt. omittunt οὔτε.

τοιοῦτος δὲ γενόμενος, οὕτω νῦν διάκειμαι ὑφ' ὑμῶν, ὡς οὐδὲ 33 δεῖπνον ἔχω ἐν τῇ ἐμαυτοῦ χώρᾳ, εἰ μή τι, ὧν ἂν ὑμεῖς λίπητε, ξυλλέξομαι, ὥσπερ τὰ θηρία. ἃ δέ μοι ὁ πατὴρ καὶ οἰκήματα καλὰ, καὶ παραδείσους καὶ δένδρων καὶ θηρίων μεστοὺς κατέλιπεν, ἐφ' οἷς εὐφραινόμην, ταῦτα πάντα ὁρῶ τὰ μὲν κατακεκαυμένα, τὰ δὲ κατακεκομμένα. εἰ οὖν ἐγὼ μὴ γιγνώσκω μήτε τὰ δίκαια, μήτε τὰ ὅσια, ὑμεῖς δὴ διδάξατέ με, ὅπως ταῦτ' ἐστὶν ἀνδρῶν ἐπισταμένων χάριτας ἀποδιδόναι. Ὁ μὲν ταῦτ' εἶπεν. οἱ δὲ τριάκοντα 34 πάντες μὲν ἐπῃσχύνθησαν αὐτὸν, καὶ ἐσιώπησαν· ὁ δὲ Ἀγησίλαος χρόνῳ ποτὲ εἶπεν· Ἀλλ' οἶμαι μέν σε, ὦ Φαρνάβαζε, εἰδέναι, ὅτι καὶ ἐν ταῖς Ἑλληνικαῖς πόλεσι ξένοι ἀλλήλοις γίνονται οἱ ἄνθρωποι. οὗτοι δὲ, ὅταν αἱ πόλεις πολέμιαι γένωνται, σὺν ταῖς πατρίσι καὶ τοῖς ἐξενωμένοις πολεμοῦσι, καὶ, ἐὰν οὕτω τύχωσιν, ἔστιν ὅτε καὶ ἀπέκτειναν ἀλλήλους. καὶ ἡμεῖς οὖν νῦν, βασιλεῖ τῷ ὑμετέρῳ πολεμοῦντες, πάντα ἠναγκάσμεθα τὰ ἐκείνου πολέμια νομίζειν· σοί γε μέντοι φίλοι γενέσθαι περὶ παντὸς ἂν ποιησαίμεθα. καὶ εἰ μὲν ἀλλάξασθαί σοι ἔδει ἀντὶ δεσπότου βασιλέως 35 ἡμᾶς δεσπότας, οὐκ ἂν ἔγωγέ σοι ξυνεβούλευον· νῦν δὲ ἔξεστί σοι, μεθ' ἡμῶν γενομένῳ, μηδένα προσκυνοῦντα, μηδὲ δεσπότην ἔχοντα, ζῆν καρπούμενον τὰ σαυτοῦ. καίτοι 36 ἐλεύθερον εἶναι, ἐγὼ μὲν οἶμαι ἀντάξιον εἶναι τῶν πάντων χρημάτων. οὐδὲ μέντοι τοῦτό σε κελεύομεν, πένητα μὲν, ἐλεύθερον δὲ εἶναι, ἀλλ' ἡμῖν ξυμμάχοις χρώμενον αὔξειν μὴ τὴν βασιλέως, ἀλλὰ τὴν σαυτοῦ ἀρχὴν, τοὺς νῦν ὁμοδούλους σοι καταστρεφόμενον, ὥστε σοὺς ὑπηκόους εἶναι. καίτοι

§. 33. ξυλλέξομαι. Cast. ξυλλέξωμαι.

ὑμεῖς δή. Ita scripsi suadente Moro pro ὑμεῖς δέ.

§. 34. ἐσιώπησαν. Plutarch. ὑπ' αἰσχύνης κύψαντες ἐς τὴν γῆν.

§. 35. τὰ σαυτοῦ. Margo Leonclav. τὰ ἑαυτοῦ.

§. 36. σοὺς ὑπηκόους. Junt. τοὺς ὑπηκόους. Castal. σοὶ ὑπ. atque hanc ego lectionem probaverim.

εἰ ἅμα τ' ἐλεύθερος εἴης, καὶ πλούσιος γένοιο, τίνος ἂν
37 δέοιο, μὴ οὐχὶ πάμπαν εὐδαίμων εἶναι; Οὐκοῦν, ἔφη ὁ
Φαρνάβαζος, ἁπλῶς ὑμῖν ἀποκρίνομαι, ἅπερ ποιήσω;
Πρέπει γοῦν σοι. Ἐγὼ τοίνυν, ἔφη, ἐὰν βασιλεὺς ἄλλον
μὲν στρατηγὸν πέμπῃ, ἐμὲ δὲ ὑπήκοον ἐκείνου τάττῃ, βουλή-
σομαι ὑμῖν καὶ φίλος καὶ σύμμαχος εἶναι· ἐὰν μέντοι μοι
τὴν ἀρχὴν προστάττῃ, (τοιοῦτόν τι, ὡς ἔοικε, φιλοτιμία ἐστὶ)
εὖ χρὴ εἰδέναι, ὅτι πολεμήσω ὑμῖν ὡς ἂν δύνωμαι ἄριστα.
38 Ἀκούσας ταῦτα ὁ Ἀγησίλαος, ἐλάβετο τῆς χειρὸς αὐτοῦ,
καὶ εἶπεν· εἴθ', ὦ λῷστε, σὺ, τοιοῦτος ὢν, φίλος ἡμῖν γένοιο.
ἓν δ' οὖν, ἔφη, ἐπίστω, ὅτι νῦν τε ἄπειμι ὡς ἂν δύνωμαι
τάχιστα ἐκ τῆς χώρας τῆς σῆς, τοῦ τε λοιποῦ, κἂν πόλεμος
ᾖ, ἕως ἂν ἐπ' ἄλλον ἔχωμεν στρατεύεσθαι, σοῦ τε καὶ τῶν
σῶν ἀφεξόμεθα.

39 Τούτων δὲ λεχθέντων, διέλυσαν τὸν σύλλογον. καὶ ὁ
μὲν Φαρνάβαζος, ἀναβὰς ἐπὶ τὸν ἵππον, ἀπῄει· ὁ δὲ
ἐκ τῆς Παραπίτας υἱὸς αὐτοῦ, καλὸς ἔτι ὤν, ὑπο-
λειφθεὶς καὶ προσδραμὼν, ξένον σε, ἔφη, ὦ Ἀγησίλαε,
ποιοῦμαι. Ἐγὼ δέ γε δέχομαι. Μέμνησο νῦν, ἔφη.
Καὶ εὐθὺς τὸ παλτὸν (εἶχε δὲ καλὸν) ἔδωκε τῷ Ἀγησι-
λάῳ. ὁ δὲ δεξάμενος, φάλαρα ἔχοντος περὶ τῷ ἵππῳ
Ἰδαίου τοῦ γραφέως πάγκαλα, περιελὼν ἀντέδωκεν αὐ-
τῷ. τότε μὲν οὖν ὁ παῖς, ἀναπηδήσας ἐπὶ τὸν ἵππον,
40 μετεδίωκε τὸν πατέρα. Ὡς δ' ἐν τῇ τοῦ Φαρναβάζου

§. 37. φιλοτιμία. Ita Bryl. Caſt. Sed vulgatum φιλοτιμίας emendabat Fr. Portus legendo: τὸ τοιοῦτον δὲ φιλοτιμίας ἐστί. Leoncl. ἐπεὶ τοιοῦτόν τι φιλοτιμία ἐστί.

§. 38. ὡς ἂν δύνωμαι. In Ageſ. eſt ἕως ἂν ἐγὼ δύνωμαι κράτιστα. iii. 5.

§. 39. διέλυσαν. Margo Leonclav. διέλυσεν. Deinceps A. J. Br. Caſt. καὶ ὁ μὲν Φαρναβ. Recte, igitur inſerui μέν.

Παραπίτας. In Juſtino xli. 5. 8. pro Priapatius Gronov. Obſ. iv. 10. legebat Parapitus.

καλὸς ἔτι. Merito in his hæſit Morus. Forte fuit: νέος μὲν ἔτι καλὸς δὲ ὤν.

ἐγὼ δέ γε. Equidem malim ἐγὼ δὲ σέ.

ἔχοντος. Ita recte ex Plutarchi Ageſilao c. 13. ſenſu poſtulante reſcripſerunt L. et St. pro ἔχων

Ἰδαίου τοῦ γραφέως. Plutarcho Ἀδαῖος, quod præferebat Valcken. ad Theocrit. p. 263. qui γραφία h. l. eſſe ſcribam monuit. Atque ita verſio Plutarchi latina.

ἀποδημίᾳ, ἀποστερῶν ὁ ἀδελφὸς τὴν ἀρχὴν, φυγάδα ἐποίησε τὸν τῆς Παραπίτας υἱὸν, τά τ' ἄλλα ὁ Ἀγησίλαος ἐπεμελεῖτο αὐτοῦ, καὶ, ἐρασθέντος αὐτοῦ τοῦ Εὐάλκους υἱέως Ἀθηναίου, πάντ' ἐποίησεν, ὅπως ἂν δι' ἐκεῖνον ἐγκριθείη εἰς τὸ στάδιον ἐν Ὀλυμπίᾳ, μέγιστος ὢν τῶν παίδων.

Καὶ τότε δὴ, ὥσπερ εἶπε πρὸς τὸν Φαρνάβαζον, εὐθὺς 41 ἀπεπορεύετο ἀπὸ τῆς χώρας. σχεδὸν δέ τι καὶ ἔαρ ὑπέφαινεν ἤδη. ἀφικόμενος δὲ ἐς Θήβης πεδίον, κατεστρατοπεδεύσατο περὶ τὸ τῆς Ἀστυρίνης Ἀρτέμιδος ἱερὸν, καὶ ἐκεῖ, πρὸς ᾧ εἶχε, ξυνέλεγε πανταχόθεν παμπληθὲς στράτευμα. παρεσκευάζετο γὰρ πορευσόμενος ὡς δύναιτο ἀνωτάτω, νομίζων, ὁπόσα ὄπισθεν ποιήσαιτο ἔθνη, πάντα ἀποστερήσειν βασιλέως.

## ΚΕΦ. Β.

Ἀγησίλαος μὲν δὴ ἐν τούτοις ἦν. οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ σαφῶς ᾔσθοντο τά τε χρήματα ἐληλυθότα ἐς τὴν Ἑλλάδα, καὶ τὰς μεγίστας πόλεις ξυνεστηκυίας ἐπὶ πολέμῳ πρὸς ἑαυτοὺς, ἐν κινδύνῳ τε τὴν πόλιν ἐνόμισαν, καὶ στρατεύειν ἀναγκαῖον ἡγήσαντο εἶναι. καὶ αὐτοὶ μὲν ταῦτα 2 παρεσκευάζοντο· εὐθὺς δὲ ἐπὶ τὸν Ἀγησίλαον πέμπουσιν

§. 40. *ἀποστερῶν ὁ ἀδελφός.* Articulum de meo addidi, utpote neceſſarium. De re ita Plutarchus: *τὸν οἶκον ἀποστερηθέντος αὐτοῦ καὶ φυγόντος ὑπὸ τῶν ἀδελφῶν εἰς Πελοπόννησον.*

*Εὐάλκους.* Plutarchus ait puerum Athenienſem fuiſſe *μέγαν καὶ σκληρὸν*, adeo ut vereretur amator, ne a certamine puerorum magnitudo et ſtatura eum excluderet. Puto *σκληρὸν* dici, qui ab Atticis *σκληφρός*. Cf. Timæi Gloſſar. p. 233. Ceterum de puero Athenienſi Plutarchus ita: *ἀθλητοῦ παιδὸς ἐξ Ἀθηνῶν.* Pro Eualce igitur athletam nominavit. Eualcem ipſum equidem ignoro.

*εἰς τὸ στάδιον.* Præpoſitionem addidit Brodæus, probante Leoncl. Vulgatam tamen lectionem, ut ſanam, laudatam video a Valckenario ad Herodot. p. 382.

§. 41. *σχεδὸν δέ τι.* Margo Leoncl. *σχεδὸν δὲ καὶ τὸ ἔαρ.*

*Θήβης πεδίον.* Ab urbe vetuſta Thebe Troadis.

*Ἀστυρίνης.* Junt. Bryl. Caſt. *Ἀστυρίης.* Caſtal. etiam articulum *τὸ* omiſit. Plinius poſt Theben nominat Aſtyren. De Dianæ Aſtyrinæ templo Strabo xiii. p. 613. Vid. n. ad iv. 8. 8.

§. 1. *πρὸς ἑαυτούς.* Morus conjicit legendum *ἑαυτάς*: Neſcio, quam ob cauſam. Societatem intelligit civitatum Græciæ contra Lacedæmonios factæ, cujus ſynedrium fuit Corinthi. Vide Diodorum xiv. 82.

§. 2. *εὐθὺς δέ.* Caſtal. addidit *καί.*

Ἐπικυδίδαν. ὁ δ᾽ ἐπεὶ ἀφίκετο, τά τε ἄλλα διηγεῖτο ὡς ἔχοι, καὶ ὅτι ἡ πόλις ἐπιστέλλοι αὐτῷ, βοηθεῖν ὡς τάχιστα 3 τῇ πατρίδι. Ὁ δὲ Ἀγησίλαος ἐπεὶ ἤκουσε, χαλεπῶς μὲν ἤνεγκεν, ἐνθυμούμενος, οἵων τιμῶν καὶ οἵων ἐλπίδων ἀπεστέρητο· ὅμως δὲ ξυγκαλέσας τοὺς ξυμμάχους, ἐδήλωσε τὰ ὑπὸ τῆς πόλεως παραγγελλόμενα, καὶ εἶπεν, ὅτι ἀναγκαῖον εἴη βοηθεῖν τῇ πατρίδι· κἄν τοι ἐκεῖνα καλῶς γένηται, εὖ ἐπίστασθε, ἔφη, ὦ ἄνδρες ξύμμαχοι, ὅτι οὐ μὴ ἐπιλάθωμαι ὑμῶν, ἀλλὰ πάλιν παρέσομαι, πράξων, 4 ὧν ὑμεῖς δεῖσθε. ἀκούσαντες δὲ ταῦτα, πολλὰ μὲν ἐδάκρυσαν, πάντες δ᾽ ἐπεψηφίσαντο βοηθεῖν μετ᾽ Ἀγησιλάου τῇ Λακεδαίμονι· εἰ δὲ καλῶς τἀκεῖ γένοιτο, λαβόν-5 τες αὐτὸν, πάλιν ἥκειν ἐς τὴν Ἀσίαν. Καὶ οἱ μὲν δὴ ξυνεσκευάζοντο ὡς ἀκολουθήσοντες. ὁ δ᾽ Ἀγησίλαος ἐν μὲν τῇ Ἀσίᾳ κατέλιπεν Εὔξενον ἁρμοστὴν, καὶ φρουροὺς παρ᾽ αὐτῷ οὐκ ἔλαττον τετρακισχιλίων, ἵνα δύναιτο διασώζειν τὰς πόλεις· αὐτὸς δὲ, ὁρῶν, ὅτι οἱ πολλοὶ τῶν στρατιωτῶν μένειν ἐπεθύμουν μᾶλλον, ἢ ἐφ᾽ Ἕλληνας στρατεύεσθαι, βουλόμενος ὡς βελτίστους καὶ πλείστους ἄγειν μεθ᾽ ἑαυτοῦ, ἆθλα προὔθηκε ταῖς πόλεσιν, ἥτις ἄριστον στράτευμα πέμποι, καὶ τῶν μισθοφόρων τοῖς λοχαγοῖς, ὅστις εὐοπλότατον λόχον ἔχων συστρατεύοιτο, καὶ ὁπλιτῶν καὶ

Ἐπικυδίδαν. Inter ſocios Lyſandri in pugna apud Ægoſpotamum Eteonicum et Ἐπικυρίδαν Pauſanias x. p. 820. quod nomen idem eſſe puto, niſi ſit etiam homo.

[Ἐπικυδίδαν. Infra v. 4. 39. Κλέωνα καὶ Ἐπιλυτίδαν Σπαρτιάτας nominat, ubi nomen in fonte vitiatum eſt. Thucyd. v. 12. Lacedæmonios memorat Ῥαμφίαν (Clearchi patrem puto, cujus etiam Xenophon meminit,) et Ἐπικυδίδαν. Igitur ſcriptura in Pauſania vitioſa eſſe videtur. *Ex Addendis.*]

§. 3. κἄν τοι ἐκεῖνα. Ita A. J. Bryl. Caſt. ἐὰν μέντοι L. St. Mihi videtur legendum κἂν τὰ ἐκεῖ. Ita paulo poſt: εἰ δὲ καλῶς τἀκεῖ γένοιτο. Infra vi. 2. 14. ἐὰν τἀκεῖ καλῶς γένηται. Video nunc mecum ſentire Kœppen.

πράξων. A. J. Bryl. Caſtal. πράξας.

§. 4. ἐπεψηφίσαντο. Margo Leoncl. ἐψηφίσαντο.

§. 5. οἱ πολλοὶ τῶν στρατιωτῶν. Perſarum timiditate cognita, et mollitie divitiiſque eorum frui cœperant milites: quare bellum in Aſia continuare quam contra Græcos in patria redintegrare malebant.

τοξοτῶν καὶ πελταστῶν. προεῖπε δὲ καὶ τοῖς ἱππάρχοις, ὅστις εὐιπποτάτην καὶ εὐοπλοτάτην τάξιν παρέχοιτο, ὡς καὶ τούτοις νικητήριον δώσων. 6 Τὴν δὲ κρίσιν ἔφη ποιήσειν, ἐπεὶ διαβαίησαν ἐκ τῆς Ἀσίας ἐς τὴν Εὐρώπην, ἐν Χερρονήσῳ ὅπως εὖ εἰδείησαν, ὅτι τοὺς στρατευσομένους δεῖ εὐκρινεῖν. 7 ἦν δὲ τὰ ἆθλα, τὰ μὲν πλεῖστα, ὅπλα ἐκπεπονημένα ἐς κόσμον, καὶ ὁπλιτικὰ, καὶ ἱππικά· ἦσαν δὲ καὶ στέφανοι χρυσοῖ. τὰ δὲ πάντα ἆθλα οὐκ ἔλαττον ἐγένοντο, ἢ ἀπὸ τεττάρων ταλάντων. τοσούτων μέντοι ἀναλωθέντων, παμπόλλων χρημάτων ὅπλα ἐς τὴν στρατιὰν κατεσκευάσθη. 8 Ἐπεὶ δὲ διέβη τὸν Ἑλλήσποντον, κριταὶ κατέστησαν Λακεδαιμονίων μὲν Μένασκος καὶ Ἡριππίδας καὶ Ὄρσιππος· τῶν δὲ ξυμμάχων εἷς ἀπὸ πόλεως. καὶ Ἀγησίλαος μὲν, ἐπεὶ τὴν κρίσιν ἐποίησεν, ἔχων τὸ στράτευμα, ἐπορεύετο τὴν αὐτὴν ὁδὸν, ἥνπερ βασιλεὺς, ὅτε ἐπὶ τὴν Ἑλλάδα ἐστράτευεν.

9 Ἐν δὲ τούτῳ οἱ μὲν ἔφοροι φρουρὰν ἔφαινον· ἡ δὲ πόλις, ἐπεὶ Ἀγησίπολις παῖς ἔτι ἦν, Ἀριστόδημον, τοῦ γένους ὄντα, καὶ τοῦ παιδὸς πρόδικον, ἡγεῖσθαι τῇ στρατιᾷ ἐκέλευον.

§. 6. δεῖ εὐκρινεῖν. Accurate omnia agere, accurate ſe parare debere. Simplex verbum rarius reperitur, compoſitum διευκρινεῖν ſæpe. Demoſth. c. Aphob. p. 818. τοῦτ᾽ οὖν διευκρινησάμενος, i. e. re ita ordinata, conſtituta.

§. 7. ἐγένοντο. St. Leonclav. ἐγένετο.

§. 9. ἔφαινον. Margo Leoncl. ἔφηναν. Recte puto. Cæterum de intervallo temporis inter hanc novam et poſtremam pugnam ad Haliartum Demoſthen. pro Corona p. 258. καὶ πάλιν οὐ πολλαῖς ἡμέραις ὕστερον εἰς Κόρινθον. Ante Eubulidem archontem accidit pugna Corinthiaca, eo autem archonte, pugna in Lechæo. Hinc apud Ariſtidem tom. iii. p. 474. edit. Jebb. dicitur Eubulides ἄρχων μέσος τῆς ἐν Κορίνθῳ μάχης καὶ τῆς ἐν Λεχαίῳ. Hunc locum Ariſtidis debeo Weſſelingio. Alium Lyſiæ habet Harpocration in Λέχαιον, ubi Lechæus archonte Mnaſippo captus dicitur; quem equidem archontem ignoro. Lyſias pro Mantitheo p. 579. poſt pugnam ad Haliartum: μετὰ ταῦτα εἰς Κόρινθον ἐξόδου γενομένης καὶ πάντων εἰδότων, ὅτι δεήσει κινδυνεύειν. Ubi Thraſybulum Stirienſem ducem fuiſſe, apparet ex p. 580.

Ἀγησίπολις. Pauſaniæ exſulis filius. Plutarch. Ageſ. c. 20.

πρόδικον. Tutorem, ἐπίτροπον, proprio Spartanis vocabulo, teſte Plutarcho Lycurg. c. 3. Pauſanias iii. 5. p. 216. Ariſtodemum ideo appellat ἐπιτροπεύοντα. Ita interpretatur etiam Heſychius verbum προδικεῖν.

[πρόδικον. Exemplum aliud habet Thucydides i. 107. Νικομήδης τοῦ Κλεομβρότου ὑπὲρ Πλειστοάνακτος τοῦ Παυσανίου βασιλέως νέου ὄντος ἔτι ἡγουμένου. *Ex Addendis.*]

10 Ἐπεὶ δ᾽ ἐξῄεσαν μὲν οἱ Λακεδαιμόνιοι, ξυνειλεγμένοι δ᾽ ἦσαν οἱ ἐναντίοι, ξυνελθόντες ἐβουλεύοντο, πῶς ἂν τὴν 11 μάχην ξυμφορώτατα σφίσιν αὐτοῖς ποιήσοιντο. Τιμόλαος μὲν δὴ Κορίνθιος ἔλεξεν· Ἀλλ᾽ ἐμοὶ δοκεῖ, ἔφη, ὦ ἄνδρες ξύμμαχοι, ὅμοιον εἶναι τὸ τῶν Λακεδαιμονίων πρᾶγμα, οἷόν περ τὸ τῶν ποταμῶν. οἵ τε γὰρ ποταμοὶ πρὸς μὲν ταῖς πηγαῖς οὐ μεγάλοι εἰσὶν, ἀλλ᾽ εὐδιάβατοι· ὅσῳ δ᾽ ἂν πορρωτέρω γένωνται, ἐπεμβάλλοντες ἕτεροι πο- 12 ταμοὶ ἰσχυρότερον αὐτῶν τὸ ῥεῦμα ποιοῦσι. καὶ οἱ Λακεδαιμόνιοι ὡσαύτως, ἔνθεν μὲν ἐξέρχονται αὐτοὶ, μόνοι εἰσί· προϊόντες δὲ, καὶ παραλαμβάνοντες τὰς πόλεις, πλείονές τε καὶ δυσμαχώτεροι γίγνονται. ὁρῶ δ᾽ ἔγωγ᾽, ἔφη, καὶ ὁπόσοι σφῆκας ἐξαιρεῖν βούλονται, ἐὰν μὲν ἐκθέοντας τοὺς σφῆκας πειρῶνται θηρᾶν, ὑπὸ πολλῶν τυπτομένους· ἐὰν δ᾽ ἔτι ἔνδον ὄντων τὸ πῦρ προσφέρωσι, πάσχοντας μὲν οὐδὲν, χειρουμένους δὲ τοὺς σφῆκας. Ταῦτ᾽ οὖν ἐνθυμούμενος ἡγοῦμαι κράτιστον εἶναι, μάλιστα μὲν ἐν αὐτῇ· εἰ δὲ μὴ, ὅτι ἐγγύτατα τῆς Λακεδαίμονος τὴν μάχην ποιεῖσθαι. 13 Δόξαντος δ᾽ εὖ λέγειν αὐτοῦ, ἐψηφίσαντο ταῦτα. ἐν ᾧ δὲ περὶ ἡγεμονίας τε διεπράττοντο, καὶ διωμολογοῦντο, ἐς ὁπόσους δέοι τάττεσθαι πᾶν τὸ στράτευμα, ὅπως μὴ, λίαν βαθείας τὰς φάλαγγας ποιούμεναι αἱ πόλεις, κύκλωσιν τοῖς πολεμίοις παρέχοιεν, ἐν τούτῳ οἱ Λακεδαιμόνιοι, καὶ δὴ Τεγεάτας παρειληφότες καὶ Μαντινέας, ἐξῄεσαν τὴν ἀμ-

§. 10. ποιήσοιντο. A. J. Br. Castal. ποιήσαιντο. Quæ mihi lectio ob præcedens ἂν placet.

§. 12. προσφέρωσι. A. J. Br. Cast. ἐκφέρωσι.

ἐνθυμούμενος. Ita scripsi, sensu postulante, pro ἐνθυμουμένους.

§. 13. τὴν ἀμφίαλον. Male Brodæus: Amphialum oppidum transgressi erant; quæ interpretatio contra grammaticas regulas peccat. Pirkheimer vertit: exierant in maritima loca. Goldhagen. versus mare contenderant. Leoncl. egrediuntur maritima via. Ἀμφίαλος, scilicet ὁδὸς, est via inter maria ducens, vel juxta mare. Igitur credere oportet Aristodemum egressum per Arcadiam et Eleam juxta mare copias partim collegisse, partim circumduxisse, ita, ut juxta sinum Corinthiacum ex adverso hostium adveniret, montes juxta Sicyonem sibi amicam superaret, et deinde in planum juxta mare descenderet.

φίαλον. Καὶ πορευόμενοι, σχεδόν τι ἅμα οἱ μὲν περὶ τοὺς Κορινθίους ἐν τῇ Νεμέᾳ ἦσαν, οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἐν τῷ Σικυῶνι. ἐμβαλόντων δὲ αὐτῶν κατὰ τὴν Ἐπιεικίαν, τὸ μὲν πρῶτον ἐκ τῶν ὑπερδεξίων βάλλοντες αὐτοὺς καὶ τοξεύοντες μάλα κακῶς ἐποίουν οἱ γυμνῆτες τῶν ἀντιπάλων· ὡς δὲ κατέβησαν ἐπὶ τὴν θάλατταν, ταύτῃ προήεσαν διὰ τοῦ πεδίου, τέμνοντες καὶ κάοντες τὴν χώραν· καὶ οἱ ἕτεροι μέντοι ἐλθόντες κατεστρατοπεδεύσαντο, ἔμπροσθεν ποιησάμενοι τὴν χαράδραν· ἐπεὶ δὲ προϊόντες οἱ Λακεδαιμόνιοι οὐκέτι δέκα στάδια ἀπεῖχον τῶν πολεμίων, κἀκεῖνοι αὐτοῦ στρατοπεδευσάμενοι ἡσυχίαν εἶχον. [14] [15]

Φράσω δὲ καὶ τὸ πλῆθος ἑκατέρων. ξυνελέγησαν γὰρ ὁπλῖται Λακεδαιμονίων μὲν ἐς ἑξακισχιλίους, Ἠλείων δὲ καὶ Τριφυλλίων καὶ Ἀκρωρείων καὶ Λασιωνέων ἐγγὺς τρισχίλιοι, καὶ οἱ Σικυωνίων πεντακόσιοι καὶ χίλιοι, Ἐπιδαυρίων δὲ καὶ Τροιζηνίων καὶ Ἑρμιονίων καὶ Ἁλιέων ἐγένοντο οὐκ ἐλάττους τρισχιλίων. πρὸς δὲ τούτοις ἱππεῖς μὲν [16]

Quodſi has itineris ambages nimias putaveris, tunc per mediam Arcadiam et Achaiam verſus ſinum Corinthiacum et juxta eum ad Sicyonem duxerit Ariſtodemus; tum vero ἀμφίαλος ὁδὸς diceretur via, juxta ſinum Corinthiacum ducens copias.

§. 14. Νεμέᾳ. Agro Nemeenſi, ad fluvium Nemeam pugnatum fuit auctore Diodoro xiv. 83. Fluvium Nemeam habet Livius xxxiii. 15. Ita paulo poſt ἐν τῷ Σικυῶνι, agro Sicyoniorum.

Ἐπιεικίαν. Iterum nominatur infra iv. 4. Montem fuiſſe, reliqua arguunt, quo tranſcenſo Lacedæmonii in planum juxta mare deſcenderunt.

§. 15. προήεσαν. Ita recte cum Leoncl. Morus pro προσήεσαν.

ἐλθόντες. Margo Leonclav. ἀπελθόντες. Sed videntur potius hoſtes Lacedæmoniis occurriſſe: igitur Morus vulgatum interpretatur: inſecuti.

χαράδραν. Æſchines, ubi primam ſuam militiam narrat, de falſa legat. p. 331. συμπαραπέμπων μετὰ τῶν ἡλικιωτῶν καὶ τῶν Ἀλκιβιάδου ξένων τὴν εἰς Φλιοῦντα παραπομπὴν, κινδύνου συμβάντος ἡμῖν περὶ τὴν Νεμεάδα καλουμένην χαράδραν. Fuit igitur nomen loci in agro Nemeenſi.

[χαράδραν. Locum eundem nominari puto a Thucydide v. 60. ἐν τῷ χαράδρῳ, οὗπερ τὰς ἀπὸ στρατιᾶς δίκας, πρὶν ἐσιέναι, κρίνουσιν. Nemeam enim ibidem memorat. Statius in Thebaide: *Quæque pavet longa ſpumantem valle Charadron Neris, et ingenti turritæ mole Cleonæ.* Cleonas habet Xenophon vii. 5. 15. Variatur igitur ſcriptura inter Χάραδρα et Χάραδρον. Nomen fluvii fuiſſe puto, cui appoſita erat urbs Neris in valle. *Ex Addendis.*]

§. 16. Λασιωνίων. Male Editiones, quas vidi, Λασιωνέων. Paulo antea A. J. Bryl. Caſtal. Ἀκρωρίων.

Λακεδαιμονίων περὶ ἑξακοσίους, Κρῆτες δὲ τοξόται ἠκολού-
θουν ὡς τριακόσιοι. καὶ μὴν σφενδονῆται Μαργανέων καὶ
Λεδρίνων καὶ Ἀμφιδόλων οὐκ ἐλάττους τετρακοσίων. Φλι-
άσιοι μέντοι οὐκ ἠκολούθουν· ἐκεχειρίαν γὰρ ἔφασαν ἔχειν.
17 αὕτη μὲν δὴ μετὰ Λακεδαιμονίων δύναμις ἦν. Ἡ γεμὴν
τῶν πολεμίων ἠθροίσθη, Ἀθηναίων μὲν ἐς ἑξακισχιλίους
ὁπλίτας, Ἀργείων δ' ἐλέγοντο περὶ ἑπτακισχιλίους· Βοι-
ωτῶν δὲ, ἐπεὶ Ὀρχομένιοι οὐ παρῆσαν, περὶ πεντακισχι-
λίους· Κορινθίων γεμὴν ἐς τρισχιλίους· καὶ μὴν ἐξ Εὐβοίας
ἁπάσης οὐκ ἐλάττους τρισχιλίων. ὁπλιτικὸν μὲν δὴ τοσοῦ-
τον. ἱππεῖς δὲ, Βοιωτῶν μὲν, ἐπεὶ Ὀρχομένιοι οὐ παρῆσαν,
ἐς ὀκτακοσίους, Ἀθηναίων δ' ἐς ἑξακοσίους, καὶ Χαλκιδέων
τῶν ἐξ Εὐβοίας ἐς ἑκατὸν, Λοκρῶν δὲ τῶν Ὀπουντίων ἐς
πεντήκοντα. καὶ ψιλὸν δὲ, ξὺν τοῖς τῶν Κορινθίων, πλέον
ἦν. καὶ γὰρ Λοκροὶ οἱ Ὀζόλαι, καὶ Μηλιεῖς, καὶ Ἀκαρ-
νᾶνες παρῆσαν αὐτοῖς.

18 Αὕτη μὲν δὴ ἑκατέρων ἡ δύναμις ἐγένετο. οἱ δὲ Βοιωτοὶ,
ἕως μὲν τὸ εὐώνυμον εἶχον, οὐδέν τι κατήπειγον τὴν μάχην
ξυνάπτειν· ἐπεὶ δὲ οἱ μὲν Ἀθηναῖοι κατὰ Λακεδαιμονίους
ἐγένοντο, αὐτοὶ δὲ τὸ δεξιὸν ἔσχον, καὶ κατ' Ἀχαιοὺς ἀντετά-
χθησαν, εὐθὺς τά τε ἱερὰ καλὰ ἔφασαν εἶναι, καὶ παρ-
ήγγειλαν παρασκευάζεσθαι, ὡς μάχης ἐσομένης. καὶ
πρῶτον μὲν ἀμελήσαντες τοῦ ἐς ἑκκαίδεκα, βαθεῖαν
παντελῶς ἐποιήσαντο τὴν φάλαγγα, ἔτι δὲ καὶ ἦγον ἐπὶ

Λεδρίνων. Legendum Λετρίνων, monitum supra ad iii. 2.

αὕτη μὲν δή. Diodorus equites numerat omnino 500, pedites 23,000. Xenophon contra summam posuit, rotundi quidem numeri, 14,800.

§. 17. ἦγε μήν. In exercitu sociorum Diodorus, ait, fuisse pedites plus quam 15,000, equites 500. Contra Xenophon immensa differentia ponit pedites 24,000, equites 1500, non numeratis velitibus.

§. 18. ἕως μέν. Quamdiu in sinistro cornu stabant contra Lacedæmonios. Deinde facta fuit conversio et mutatio aciei, ita, ut Thebani in dextro cornu contra Achæos starent. Aperte igitur Xenophon accusat Thebanorum timiditatem, quasi Lacedæmonios maxime veriti fuissent in pugna. Merito: an injuria? ignoro. Suos certe Laconas ubique exornare conatur Xenophon.

τὰ δεξιά, ὅπως ὑπερέχοιεν τῷ κέρατι τῶν πολεμίων· οἱ δ' Ἀθηναῖοι, ἵνα μὴ διασπασθῶσιν, ἐπηκολούθουν, καίπερ γιγνώσκοντες, ὅτι κίνδυνος εἴη κυκλωθῆναι. 19 Τέως μὲν οὖν οἱ Λακεδαιμόνιοι οὐκ ᾐσθάνοντο προσιόντων τῶν πολεμίων· καὶ γὰρ ἦν λάσιον τὸ χωρίον· ἐπεὶ δ' ἐπαιάνισαν, τότε δὴ ἔγνωσαν, καὶ εὐθὺς ἀντιπαρήγγειλαν ἅπαντας διασκευάζεσθαι ὡς ἐς μάχην. ἐπεὶ δὲ ξυνετάχθησαν, ὡς ἑκάστους οἱ ξεναγοὶ ἔταξαν, παρηγγύησαν μὲν ἀκολουθεῖν τῷ ἡγουμένῳ, ἦγον δὲ καὶ οἱ Λακεδαιμόνιοι ἐπὶ τὰ δεξιά· καὶ οὕτω πολὺ ὑπερέτεινον τὸ κέρας, ὥστε τῶν Ἀθηναίων αἱ μὲν ἓξ φυλαὶ κατὰ τοὺς Λακεδαιμονίους ἐγένοντο, αἱ δὲ τέτταρες κατὰ Τεγεάτας. 20 οὐκέτι δὲ στάδιον ἀπεχόντων, σφαγιασάμενοι οἱ Λακεδαιμόνιοι τῇ Ἀγροτέρᾳ, ὥσπερ νομίζεται, τὴν χίμαιραν, ἡγοῦντο ἐπὶ τοὺς ἐναντίους, τὸ ὑπερέχον ἐπικάμψαντες ἐς κύκλωσιν. Ἐπεὶ δὲ ξυνέμιξαν,

διασπασθῶσιν. Steph. διασπασθείησαν. Sed noftram lectionem ex A. J. Br. Caft. revocare juffit etiam Leoncl.

§. 19. ἅπαντας. A. J. Bryl. Caft. ἅπαντες. Quam lectionem fi mecum probaveris, tunc ἀντιπαρήγγειλαν de militibus interpretaberis conclamantibus ad arma et pæani hoftium refpondentibus; aut de diverfis diverforum fociorum ducibus.

ξεναγοί. Caftal. ξυναγωγοί.

τῷ ἡγουμένῳ. Quænam exercitus pars ea eft? Nam Lacedæmonii non funt, qui ducunt, fed fequuntur aliam partem: ἦγον δὲ καὶ οἱ Λακεδαιμόνιοι. Quod fi vero Lacedæmonii, uti par erat, exercitum omnem dirigebant et ducebant, quo vellent, tum delendum erit καὶ pòft verba ἦγον δέ.

[Τῷ ἡγουμένῳ, non video, cur de exercitus parte quadam ceperis. Aliter Leoncl. quem fequar. Neque laboraverim in proximo καί. *F. A. Wolfius.*]

ὑπερέτεινον. A. J. Br. Caftal. ὑπερετείναντο.

φυλαί. Ex ordine decem tribuum milites Athenienfes lectos fuiffe, eafque tribus etiam in acie diftinctas fuiffe, poft Sigonium ex h. l. et Thucydideo vi. 98. admonet Morus. Hinc φυλάρχους dici duces militiæ equeftris, ut ταξιάρχους pedeftris. Pertinuiffe tamen tribuum diftinctionem etiam ad pedites, ex Thucydidis loco manifeftum effe ftatuit: et in noftro loco non omnes intelligi equeftres tribus, fed pedeftres etiam, vero fimile putat. Locus eft omnium clariffimus Lyfiæ pro Mantitheo p. 580, ubi de hac ipfa pugna Corinthiaca eft: καὶ μάλιστα τῆς ἡμετέρας φυλῆς δυστυχησάσης καὶ πλείστων ἐνθανόντων, et ftatim ubi de pugna ad Coroneam fermo eft, Mantitheus fe ultro offert: προσελθὼν ἐγὼ τὸν ταξίαρχον ἐκέλευον ἀκληρωτὶ τὴν ἡμετέραν τάξιν πέμπειν. Hic igitur tribus eadem τάξις dicitur, quoniam ex peditatu componitur. Denique idem contra Agoratum p. 498. οὔτε ταξίαρχος εἰς τὴν φυλὴν κατατάξας. ubi tamem Reifke malebat: οὔτε ταξίαρχος αὐτὸν εἰς τάξιν, οὔτε φύλαρχος εἰς φυλήν. Male! Cæterum inepte Margo Leoncl. φυλακαὶ habet.

§. 20. Ἀγροτέρᾳ. De more vide Xenophontem de Republ. Laced. xiii. Ælianum V. H. ii. 25. et Valckenair ad Herodot. p. 489.

οἱ μὲν ἄλλοι ξύμμαχοι πάντες οἱ τῶν Λακεδαιμονίων ἐκρατήθησαν ὑπὸ τῶν ἐναντίων· Πελληνεῖς δὲ, κατὰ Θεσπιέας γενόμενοι, ἐμάχοντό τε, καὶ ἐν χώρᾳ ἔπιπτον ἑκα-
21 τέρων. αὐτοὶ δὲ οἱ Λακεδαιμόνιοι, ὅσον τε κατεῖχον, τῶν Ἀθηναίων ἐκράτησαν, καὶ κυκλωσάμενοι τῷ ὑπερέχοντι, πολλοὺς ἀπέκτειναν αὐτῶν, καὶ, ἅτε δὴ ἀπαθεῖς ὄντες, ξυντεταγμένοι ἐπορεύοντο, καὶ τὰς μὲν τέτταρας φυλὰς τῶν Ἀθηναίων, πρὶν ἐκ τῆς διώξεως ἐπαναχωρῆσαι, παρῆλθον· ὥστε οὐκ ἀπέθανον αὐτῶν, πλὴν εἴ τις ἐν τῇ ξυμβολῇ
22 ὑπὸ Τεγεατῶν· τοῖς δὲ Ἀργείοις ἐπιτυγχάνουσιν οἱ Λακεδαιμόνιοι ἀναχωροῦσι, καὶ μέλλοντος τοῦ πρώτου πολεμάρχου ἐκ τοῦ ἐναντίου ξυμβάλλειν αὐτοῖς, λέγεταί ἄρα τις ἀναβοῆσαι, παριέναι τοὺς πρώτους. ὡς δὲ τοῦτ' ἐγένετο, παραθέοντας δὴ παίοντες ἐς τὰ γυμνὰ, πολλοὺς ἀπέκτειναν αὐτῶν. ἐπελάβοντο δὲ καὶ Κορινθίων ἀναχωρούντων. ἔτι δ' ἐνέτυχον οἱ Λακεδαιμόνιοι καὶ τῶν Θηβαίων τισὶν ἀναχωροῦσιν ἐκ τῆς διώξεως, καὶ ἀπέκτειναν συχνοὺς αὐτῶν.
23 τούτων δὲ γενομένων, οἱ ἡττώμενοι τὸ μὲν πρῶτον ἔφυγον ἐς τὰ τείχη· ἔπειτα δ' εἰρξάντων Κορινθίων, πάλιν κατ-

ἑκατέρων. Morus suspicatur addendum τινὲς aut πολλοί.

[Ad ἑκατέρων subaudiendum, non addendum, τινές. Saepe haec ellipsis occurrit in hac forma, ut Plat. Symp. c. 36. extr. F. A. Wolfius.]

§. 21. ὅσον τε κατεῖχον. Morus: quaqua patebat campus, quem acies Laconica obtinebat. Male. Mens est: opposuit Lacedaemonios sibi adversos habuisse 6 tribus Atheniensium, reliquae oppositae stabant Tegeatis. Vicerunt igitur Lacedaemonii, quot quot sibi oppositas habuerunt tribus Atheniensium. Reliquae quatuor contra Tegeatas vicerant et persecutae hostem erravant. Ceterum ex Platonis Menexeno p. 298. apparet, Athenienses cautatos hostis angustias loci. Ubi enim est: τῶν τε ἐν Κορίνθῳ χρησαμένων δυσχωρίᾳ.

§. 22. παρῆσαν. A. Junt. Br. Cast. παρῆσαν. Ex quo deinde L. St. παρεῖναι effecerunt, nullo sensu. In versione Leoncl. est permittendum esse, ut primi praeterirent. Expedit igitur hoc ipsum παριέναι, transmittere.

παραθέοντας. Male A. J. Br. Cast. παραθέοντες.

ἔτι — ἀναχωροῦσιν. Hoc membrum excidit prima Stephaniana editione.

§. 23. τὰ τείχη. Demosthenes contra Leptinem p. 472. Ἐπ' ἡ μεγάλη μάχη πρὸς Λακεδαιμονίους ἐγένετο ἡ ἐν Κορίνθῳ, τῶν ἐν τῇ πόλει βουλευσαμένων μετὰ τὴν μάχην μὴ δέχεσθαι τῷ τείχει τοὺς στρατιώτας, ἀλλὰ πρὸς Λακεδαιμονίους ἐπικηρυκεύεσθαι, ὁρῶντες (οἱ ἐν Κορίνθῳ φεύγοντες) ἀνέῳξαν τὰς πύλας καὶ παρὰ τὴν κρατούντων Λακεδαιμονίων, ἔξω ἐβούλευσαν, οὐδ' ἐβουλεύσαντο ὑπὲρ τῆς αὐτῶν σωτηρίας, ἀλλὰ ἔθεσαν μεθ' ὅπλων ἁπάντων Πελοποννησίων ἀνοῖξαι τὰς πύλας ἡμῖν ὑπὲρ τοῦ

εσκήνωσαν ἐς τὸ ἀρχαῖον ϛρατόπεδον. Λακεδαιμόνιοι δὲ αὖ ἐπαναχωρήσαντες, ἔνθα τὸ πρῶτον τοῖς πολεμίοις ξυνέμιξαν, ἐςήσαντο τρόπαιον. καὶ αὕτη μὲν δὴ ἡ μάχη οὕτως ἐγένετο.

## ΚΕΦ. Γ.

Ὁ δ' Ἀγησίλαος σπεύδων μὲν ἐκ τῆς Ἀσίας ἐβοήθει· ὄντι δὲ αὐτῷ ἐν Ἀμφιπόλει ἀγγέλλει Δερκυλλίδας, ὅτι νικῷεν τε αὖ Λακεδαιμόνιοι, καὶ αὐτῶν μὲν τεθνάναι ὀκτὼ, τῶν δὲ πολεμίων παμπληθεῖς. ἐδήλου δὲ, ὅτι καὶ τῶν ξυμμάχων οὐκ ὀλίγοι πεπτωκότες εἶεν. Ἐρομένου δὲ τοῦ 2 Ἀγησιλάου· ἆρ' ἂν, ὦ Δερκυλλίδα, ἐν καιρῷ γένοιτο, εἰ αἱ ξυμπέμπουσαι πόλεις ἡμῖν τοὺς ϛρατιώτας τὴν νίκην ὡς τάχιϛα πύθοιντο; ἀπεκρίνατο δὴ ὁ Δερκυλλίδας· εὐθυμοτέρους γοῦν εἰκὸς ταῦτ' ἀκούσαντας εἶναι. οὐκοῦν σὺ, ἐπεὶ παρεγένου, κάλλιϛ' ἂν ἀπαγγείλαις; ὁ δὲ, ἄσμενος ἀκούσας, (καὶ γὰρ ἀεὶ φιλοπόλεμος ἦν) εἶπεν· εἰ σὺ τάττοις.

πολλῶν καὶ μᾶλλον εἵλον τὸ μεθ' ὑμῶν τῶν τότε ϛρατευομένων εἴτι δέοι πάσχειν ἢ χωρὶς ὑμῶν ἀκινδύνως σώζεσθαι· καὶ εἰσέφερον τὸ ϛράτευμα καὶ διέσωσαν καὶ ὑμᾶς καὶ τοὺς συμμάχους. Ἐπειδὴ δ' ἡ πρὸς Λακεδαιμονίους εἰρήνη μετὰ ταῦτ' ἐγένετο, ἡ ἐπ' Ἀνταλκίδου, ἀντὶ τῶν ἔργων τούτων ὑπὸ Λακεδαιμονίων ἐξέπεσον· ὑποδεξάμενοι δ' ὑμεῖς αὐτοὺς ἐποιήσατε ἔργον ἀνθρώπων καλῶν κἀγαθῶν· ἐψηφίσασθε γὰρ αὐτοῖς ἅπανθ' ὧν ἐδέοντο. Hujus egregii loci pars extrema pertinet ad Xenophontis libri v. c. 2. §. 31. verba : οἱ μὲν σφαγεῖς καὶ οἱ μεταίτιοι τοῦ ἔργου, ἀπῆλθον ἐκ τῆς Κορίνθου. Simul ex loco Demofthenis manifeftum eft, hoc noftro in loco legendum effe εἰρξάντων pro ἀρξάντων. A Corinthiis enim exclufi redeunt in priora caftra. Igitur non dubitavi certiffimam emendationem in ipfa oratione ponere. Ulpianus ad Demofthenem laudat de hac pugna, præter Ephorum et Androtionem, Hyperidis orationem adverfus Dionem. Comparavit Xenophontis locum nuperus Interpres *Fr. Aug. Wolf.* fed vitium non vidit, quo fublato major utrique loco lux utrinque accenditur.

[ἀρξάντων Κορινθίων. Palmam veriffimæ correctionis ultro tibi defero. Vulgatum illud fi Xenophontis effet, et eo fenfu, quo vertitur, alio ordine fcriptum effet, ἔπειτα δὲ πάλιν κατεσκήνωσαν ἐς τὸ ἀρχαῖον ϛρατόπεδον, ἀρξάντων Κορινθίων. *F. A. Wolfius.*]

οὕτως ἐγένετο. Partem utriufque exercitus viciffe, et ex Lacedæmoniis 1100. ex hoftibus eorum 2800. cecidiffe, narrat Diodorus xii. 83.

§. 1. Ἀμφιπόλει. Macedoniæ.

Δερκυλλίδας. Fuerat ab Agefilao ad Tiffaphernem legatus iii. 4. poftea in Europam rediiffe videtur.

§. 2. ἀπαγγείλαις; Recte fignum interrogationis pofuit hic Caftal.

φιλοπόλεμος. St. L. φιλαπόδημος habent, quæ lectio multo aptior huic loco videtur. Quod Morus, vulgatam defendens, ftatuit, Dercyllidam quæfiviffe aliquam occafionem bello

ἀλλὰ τάττω, ἔφη, καὶ προσαπαγγέλλειν λέγω, ὅτι, ἐὰν καὶ τάδε εὖ γένηται, πάλιν παρεσόμεθα, ὥσπερ καὶ ἔφαμεν. 3 Ὁ μὲν δὴ Δερκυλλίδας ἀφ' Ἑλλησπόντου ἤδη ἐπορεύετο· ὁ δ' Ἀγησίλαος, διαλλάξας Μακεδονίαν, ἐς Θετταλίαν ἀφίκετο. Λαρισσαῖοι μὲν οὖν καὶ Κρανώνιοι καὶ Σκοτουσσαῖοι καὶ Φαρσάλιοι, ξύμμαχοι ὄντες Βοιωτοῖς, καὶ πάντες δὲ Θετταλοὶ, πλὴν ὅσοι αὐτῶν φυγάδες τότ' ἐτύγχανον, ἐκακούργουν αὐτὸν ἐπακολουθοῦντες. 4 ὁ δὲ τέως μὲν ἦγεν ἐν πλαισίῳ τὸ στράτευμα, τοὺς ἡμίσεις μὲν ἔμπροσθεν, τοὺς ἡμίσεις δ' ἐπ' οὐρᾷ ἔχων τῶν ἱππέων· ἐπεὶ δὲ ἐκώλυον τῆς πορείας οἱ Θετταλοὶ, ἐπελαύνοντες τοῖς ὄπισθεν, παραπέμπει ἐπ' οὐρὰν καὶ τὸ ἀπὸ τοῦ στόματος ἱππικὸν, πλὴν 5 τῶν περὶ αὐτόν. Ὡς δὲ παρετάξαντο ἀλλήλοις, οἱ μὲν Θετταλοὶ, νομίσαντες οὐκ ἐν καλῷ εἶναι πρὸς τοὺς ὁπλίτας 6 ἱππομαχεῖν, στρέψαντες, βάδην ἀπεχώρουν. οἱ δὲ μάλα σωφρόνως ἐπηκολούθουν. γνοὺς δὲ ὁ Ἀγησίλαος, ἃ ἑκάτεροι ἡμάρτανον, πέμπει τοὺς περὶ αὐτὸν μάλα εὐρώστους ἱππέας, καὶ κελεύει τοῖς τε ἄλλοις παραγγέλλειν, καὶ αὐτοὺς διώκειν ὡς τάχιστα, καὶ μηκέτι δοῦναι αὐτοῖς ἀναστροφήν.

ſe immiſcendi, eaque deinde uſum fuiſſe, ut ex libro iv. 8. appareat, hoc mihi rationem legationis hujus non videtur habere veram aut probabilem.

λέγω, ὅτι. Ita A. J. Bryl. Caſtal. Contra κελεύω St. L.

§. 3. διαλλάξας. In Ageſilao ii. 2. ἐξαμείψας.

τότ' ἐτύγχανον. Ageſ. τότ' ὄντες ἐτ. In Memorab. i. 6. 2. ἀνυπόδητός τε καὶ ἀχίτων διατελεῖς quidam etiam ὢν addi voluerunt.

αὐτὸν ἐπακολουθοῦντες. Ageſil. οὗτοι ἐφεπόμενοι.

§. 4. ἐπ' οὐρᾷ. Ageſ. οὐράν.

πορείας. Ageſil. addit αὐτὸν et pro ἐπελαύνοντες habet ἐπιτιθέμενοι.

στόματος. Ageſil. τοῦ προηγουμένου στρατεύματος καὶ τῶν περὶ αὐτόν. In Anabaſi iii. 4. 42. in agmine quadrato ſimiliter στόμα et οὐραγίαν diſtinguit, ubi Codices rectius οὐρὰν habent.

§. 5. Θέτταλοι. Plutarchus Apophthegm. p. 795. numerat 500. equites.

§. 6. μάλα σωφρόνως. Ageſ. μαλ' ἀφρόνως ἐφείποντο. Manifeſtum eſt, lentitudinem hic in utroque milite culpari; quare σωφρόνως præfero.

πέμπει τοὺς περί. Ageſ. παραπέμπει τοὺς ἀμφί. Intelligit trecentos equites electos, quos reges Lacedæmonii veluti ſtipatores ſecum habebant, auctore Thucyd. v. 72. Herodot. viii. 124. In loco ejuſdem vi. 56. ubi centum modo numerat, vitium eſſe ſuſpicabatur Larcher in Interpret. gallica Anabaſ. ad iii. 4. 43. tom. i. p. 237.

ὡς τάχιστα. Ageſ. κατὰ κράτος.

Οἱ δὲ Θετ͂αλοὶ ὡς εἶδον παρὰ δόξαν ἐλαύνοντας, οἱ μὲν 7 αὐτῶν ἔφυγον, οἱ δ᾽ ἀνέστρεψαν. οἱ δὲ πειρώμενοι τοῦτο ποιεῖν, πλαγίους ἔχοντες τοὺς ἵππους ἡλίσκοντο. Πολύμα- 8 χος μέντοι ὁ Φαρσάλιος ἱππαρχῶν ἀνέστρεψέ τε, καὶ μαχόμενος ξὺν τοῖς περὶ αὐτὸν ἀποθνήσκει. ὡς δὲ τοῦτο ἐγένετο, φυγὴ τῶν Θετ͂αλῶν ἐξαισία γίγνεται· ὥστε οἱ μὲν ἀπέθνησκον αὐτῶν, οἱ δὲ καὶ ἡλίσκοντο. ἔστησαν δ᾽ οὖν οὐ πρόσθεν, πρὶν ἐν τῷ ὄρει Ναρθακίῳ ἐγένοντο. Καὶ 9 τότε μὲν δὴ ὁ Ἀγησίλαος τρόπαιόν τ᾽ ἐστήσατο μεταξὺ Πραντὸς καὶ Ναρθακίου, καὶ αὐτοῦ ἔμεινε, μάλα ἡδόμενος τῷ ἔργῳ, ὅτι τοὺς μέγιστον φρονοῦντας ἐπὶ ἱππικῇ ἐνενικήκει, ξὺν ᾧ αὐτὸς ξυνέλεξεν ἱππικῷ. τῇ δ᾽ ὑστεραίᾳ ὑπερβάλλων τὰ Ἀχαϊκὰ τῆς Φθίας ὄρη, τὴν λοιπὴν πᾶσαν διὰ φιλίας ἐπορεύετο, μέχρι πρὸς τὰ Βοιωτῶν ὅρια.

Ὄντος δ᾽ αὐτοῦ ἐπὶ τῇ ἐμβολῇ, ὁ ἥλιος μηνοειδὴς ἔδοξε 10 φανῆναι· καὶ ἠγγέλθη, ὅτι ἡττημένοι εἶεν Λακεδαιμόνιοι τῇ ναυμαχίᾳ, καὶ ὁ ναύαρχος Πείσανδρος τεθναίη. ἐλέ- 11

§. 7. οἱ δ᾽ ἀνέστρεψαν. Agef. οὐδ᾽ ἀνέστρεψαν, οἱ δὲ καὶ ἀναστρέφειν πειρώμενοι: quæ mihi lectio magis placet.

[Οἱ δὲ καὶ ἀναστρέφειν πειρώμενοι, in Agefilao, variatio Sophiftæ eft, ficut alia plurima in ifto libro, non lectio. *F. A. Wolfius.*]

πλαγίους—ἵππους. Leoncl. ex verfione Bilibaldi et Philelphi ἱππεῖς emendabat, et Agefilai equites interpretabatur.

§. 8. Πολύμαχος. Agef. Πολύχαρμος.

τῶν Θετ͂αλῶν. Hæc in Agefilao omiffa funt.

ἡλίσκοντο. Agef. ζῶντες addit.

ἐν τῷ ὄρει. Agef. πρὶν ἢ ἐπὶ—Ναρθακιέων. Plutarch. Agefil. 16. ex h. l. ὑπὸ τῷ Ναρθακίῳ, τρόπαιον ἔστησε. In Apophthegm. p. 795. male legitur ὑπὸ τῶν Ναρθακίων, ut monuit Morus. Fr. Portus τῶν Ἀτρακίων h. l. emendabat et deinceps Πραντὸς καὶ Ἀτρακίας. Cæterum ἐν ante Ναρθ. repetunt A. J. Br. Caft. Steph.

§. 9. Πραντός. Edd. vetuftæ πράντος. Vitium ex Agefilao correxit Stephan. In Byzantino Steph. eft: Πρᾶς πόλις Περραιβική. Palmerius Exerc. p. 70. dubitat, num de vetufta Perrhæbia ad Peneum et Lariffam, an de nova ad Pindum montem Stephanus dixerit.

ἔμεινε. Agefil. κατέμεινε.

ξυνέλεξεν. Agef. ἐμηχανήσατο. Plutarchus Apophthegmat. p. 795. συστησάμενος τὸ ἱππικὸν αὐτὸς δι᾽ αὑτοῦ.

λοιπήν. Agef. ἤδη addit, ubi tamen Ariftides etiam omifit.

μέχρι πρός. Agefil. εἰς τά. Pro ὅρια apud Ariftidem ὄρεια legi monet Leoncl.

§. 10. ἐπὶ τῇ ἐμβολῇ. Polyænus ii. 1. 3. ὅσον οὔπω παρετάσσετο.

μηνοειδής. Plutarchus c. 17. ἥλιος ἐκλείπων. Eclipfin hanc folarem ad anni Juliani 4320. menfis Augufti diem 15. referre calculos aftronomicos, monet Dodwell.

Πείσανδρος. A. J. Br. Caftal. Πίσανδρος. Diodorus vitiofe Περίαρχος. Vid. n. ad iv. 8. 8.

γετο δὲ καὶ, ᾧ τρόπῳ ἡ ναυμαχία ἐγένετο. Εἶναι μὲν γὰρ περὶ Κνίδον τὸν ἐπίπλουν ἀλλήλοις· Φαρνάβαζον δὲ, ναύαρχον ὄντα, ξὺν ταῖς Φοινίσσαις εἶναι, Κόνωνα δὲ, τὸ Ἑλ-
12 ληνικὸν ἔχοντα, τετάχθαι ἔμπροσθεν αὐτοῦ. ἀντιπαραταξαμένου δὲ τοῦ Πεισάνδρου, καὶ πολὺ ἐλαττόνων αὐτῷ τῶν νεῶν φανεισῶν τῶν αὐτοῦ τοῦ μετὰ Κόνωνος Ἑλληνικοῦ, τοὺς μὲν ἀπὸ τοῦ εὐωνύμου ξυμμάχους εὐθὺς αὐτῷ φεύγειν, αὐτὸν δὲ, ξυμμίξαντα τοῖς πολεμίοις ἐμβολὰς ἐχούσῃ τῇ

§. 11. ᾧ τρόπῳ. Polyænus i. 48. 5. ait, Cononem fuiſſe in ſiniſtro latere claſſis, ergo dextro Lacedæmoniæ adverſus; in dextro ſimulatam navem στρατηγίδα collocaſſe, in quam primam hoſtes impetum fecerint.

Κόνωνα. Fugam ejus ad Euagoram poſt pugnam apud Ægoſpotamos vidimus ſupra ii. 1. 29. ubi conf. notam. Ordinem rerum mari geſtarum poſtea nunc perſequamur. Iſocrates ad Philippum p. 185. πλεύσας δ' εἰς Κύπρον χρόνον μέν τινα περὶ τὴν τῶν ἰδίων ἐπιμέλειαν διέτριβεν. αἰσθόμενος δὲ Ἀγησίλαον εἰς τὴν Ἀσίαν μετὰ πολλῆς δυνάμεως διαβεβηκότα καὶ πορθοῦντα τὴν χώραν—πέμπων ὡς τοὺς βασιλέως στρατηγοὺς ὑπισχνεῖται ποιήσειν. Transgreſſum in Aſiam Ageſilaum anno primo Olympiadis 96. docet Dodwell; ab hoc igitur anno cœperunt molitiones bellicæ Cononis, quas ſupra ad librum ii. 1. 29. annotavi. Sequenti anno regem adiiſſe Perſarum, ſtatuit Dodwell; etſi Diodorus anno ejus Olympiadis primo accidiſſe refert. Tempus ſolum hibernum annotavit Nepos cap. 4. Tertio anno, ſeu Olymp. 96. $\frac{2}{3}$. Dodwell. aſſignat reditum Ageſilai ex Aſia et victoriam navalem Cononis. Quæ ſi comparemus cum Iſocratis loco, ſupra laudato, alioque in Panegyrico c. 39. accuratius quædam definire licebit fortaſſe. Ἐν δὲ, inquit, τῷ πολέμῳ τῷ περὶ Κνίδον—στρατηγοῦντος αὐτῷ Κόνωνος—τρία μὲν ἔτη περιεῖδε τὸ ναυτικὸν τὸ περὶ τὴν Ἀσίαν ὑπὸ τριηρῶν ἑκατὸν μόνον πολιορκούμενον, πεντεκαίδεκα δὲ μηνῶν τοὺς στρατιώτας τὸν μισθὸν ἀπεστέρησεν (ὁ βασιλεὺς) ὥστε τὸ μὲν ἐπ' ἐκείνῳ πολλάκις ἂν διελύθησαν, διὰ δὲ τὸν ἐφεστῶτα κίνδυνον καὶ τὴν συμμαχίαν τὴν περὶ Κόρινθον συστᾶσαν μόλις ποτὲ ναυμαχοῦντες ἐνίκησαν. De mercede menſium 16. negata claſſi repetit cap. 41. Tres hos annos ſi retro calculaveris, initium imperii navalis a Conone cœpti et apparati belli a Perſis contra Lacedæmonios incidet in Olympiadis 95. annum poſtremum ſeu $\frac{4}{1}$. Sequenti enim anno Ageſilaus in Aſiam tranſiit, ex ratione Dodwelli, ſed pace hiemem tranſegit; tertio bella in Lydia geſſit; quarto rediit et Conon. vicit. Ab anni igitur parte poſteriore Olympiadis 95. 4. ad priorem anni 3. Olymp. 96. efficiuntur tres anni. Atque hæc ipſa initia bellici apparatus Perſarum ſignavit Xenophon iii. cap. 4. ab initio, ubi Herondas Syracuſius, trecentas naves a Perſis parari, nunciat Lacedæmoniis. Quem locum Dodwellus ad Olymp. 95. $\frac{3}{4}$. recte retulit; etſi locum Iſocratis ignoravit, qui calculos ejus egregie firmat. Atque ex his temporum notis definienda ſunt, quæ ſupra ad ii. 1. 29. ex Lyſia attuli de Cononis et Athenienſium apparatu bellico. Cum Conone fuiſſe non alios Athenienſes, quam φυγάδας καὶ ἐθελοντὰς, ait Plato in Menexeno p. 296. ed. Dupont. Atque hæ ſunt, quas Iſocrates Panegyr. c. 39. vocat τὰς ὑπηρεσίας τὰς παρ' ἡμῶν.

§. 12. ἐλαττόνων. Diodorus xiv. 83. Lacedæmoniorum naves numerat 85, Pharnabazi et Cononis plus quam 90.

μετὰ Κόνωνος. τοῦ μὲν μετὰ Κόνωνος αὐτοῦ Ἑλληνικοῦ A. J. Br. Caſtal.

ἐμβολάς. Impulſus et incurſus navis roſtratæ in adverſam, et facta eo navis adverſæ ἀνάρρηξις dicitur ἐμβολή. Diodorus xiv. 45. ὁπότε γὰρ αἱ τριήρεις ἐς ἐμβολὴν ἐπεφέροντο—ὥστε τὰς πληγὰς γίγνεσθαι κατ' ἐμβολὴν—ὁπότε δ' οἱ

τριήρει, πρὸς τὴν γῆν ἐξωσθῆναι· καὶ τοὺς μὲν ἄλλους, ὅσοι ἐς τὴν γῆν ἐξεώσθησαν, ἀπολιπόντας τὰς ναῦς, σώζεσθαι, ὅποι δύναιντο, ἐς τὴν Κνίδον, αὐτὸν δὲ ἐπὶ τῇ νηὶ μαχόμενον ἀποθανεῖν. Ὁ μὲν οὖν Ἀγησίλαος, πυθόμενος ταῦτα, 13 τὸ μὲν πρῶτον χαλεπῶς ἔφερεν· ἐπεὶ μέντοι ἐνεθυμήθη, ὅτι τοῦ στρατεύματος τὸ πλεῖστον εἴη αὐτῷ οἷον ἀγαθῶν μὲν γιγνομένων ἡδέως μετέχειν, εἰ δέ τι χαλεπὸν ὁρῴη, οὐκ ἀνάγκην εἶναι κοινωνεῖν αὐτοῖς, ἐκ τούτου μεταβαλὼν ἔλεγεν, ὡς ἀγγέλλοιτο ὁ μὲν Πείσανδρος τετελευτηκὼς, νικῴη δὲ τῇ ναυμαχίᾳ. ἅμα δὲ ταῦτα λέγων, καὶ ἐβουθύ- 14 τει ὡς εὐαγγέλια, καὶ πολλοῖς διέπεμπε τῶν τεθυμένων· ὥστε, ἀκροβολισμοῦ ὄντος πρὸς τοὺς πολεμίους, ἐκράτησαν οἱ τοῦ Ἀγησιλάου, τῷ λόγῳ, ὡς Λακεδαιμονίων νικώντων τῇ ναυμαχίᾳ.

Ἦσαν δ' οἱ μὲν ἀντιτεταγμένοι τῷ Ἀγησιλάῳ Βοιωτοὶ, 15 Ἀθηναῖοι, Ἀργεῖοι, Κορίνθιοι, Αἰνιᾶνες, Εὐβοεῖς, Λοκροὶ ἀμφότεροι· σὺν Ἀγησιλάῳ δὲ, Λακεδαιμονίων μὲν μόρα ἡ ἐκ Κορίνθου διαβᾶσα, ἥμισυ δὲ μόρας τῆς ἐξ Ὀρχο-

κυβερνῆται ταῖς ἐμπειρίαις ἐκκρούσειαν τὰς ἐπιφοράς. Ibidem c. 46. τὰς ἐμβολὰς ἀπράκτους συνέβαινε γενέσθαι τῶν τυπτομένων νεῶν ὑποχωρουσῶν. Idem xiii. 99. τοῖς ἐμβόλοις τύπτων ἄπλους ἐποίει—τὸ δὲ τελευταῖον δοὺς ἔμβολον τῇ τοῦ Περικλέους τριήρει βιαιότερον, τῆς μὲν τριήρους ἐπὶ πολὺν ἀνέρρηξε τόπον, τοῦ δὲ στόματος ἐναρμοσθέντος εἰς τὴν ἀκίδα καὶ μὴ δυναμένων αὐτῶν ἀνακρούεσθαι: ubi in poſteriore membro legendum eſt: δοὺς ἐμβολήν. Polyænus i. 40. 9. ἐμβολαῖς ἀναρρηγνύειν habet; et iii. 10. 11. διδόναι διττὰς ἐμβολάς.

ἐξεώσθησαν. A. J. Bryl. Caſt. ἐξώσθησαν.

ὅπη. Ita recte Margo L. St. pro vulgato ὅποι.

ἀποθανεῖν. Periiſſe archonte Eubulide, teſtatur Lyſias Orat. p. 632. hoc eſt Olymp. 96. 3. Diodorus ad annum 2. refert.

§. 13. ἔφερεν. Margo Leoncl. ἤνεγκεν.

οἷον ἀγαθῶν. Margo Leoncl. οἰόμενος. Ita eſt in Caſtal.

ὁρῴη. A. J. Br. Caſt. ὁρῷεν.

μεταβαλών. Plutarchus c. 17. et ex eo Polyænus: τἀναντία λέγειν ἐκέλευσε τοὺς ἀπὸ θαλάττης ἥκοντας. Male Morus interpretatur, quaſi dictum ſit μεταβαλὼν ſc. ἑαυτόν.

§. 14. διέπεμπε. Polyænus: διέπεμψε τοῖς φίλοις μερίδας ἀπὸ τῶν ἱερείων.

§. 15. ἦσαν. Poſt pugnam Corinthiacam hæc accidit non multis diebus teſte Lyſia pro Mantitheo p. 581. οὐ πολλαῖς ὕστερον ἡμέραις μετὰ ταῦτα ἐν Κορίνθῳ χωρίων ἰσχυρῶν κατειλημμένων, ὥστε τοὺς πολεμίους μὴ δύνασθαι παριέναι, Ἀγησιλάου δ' εἰς τὴν Βοιωτίαν ἐμβαλόντος.

ἐκ Κορίνθου. Plutarchus Apophthegm. p. 795. Διφρίδα δ' οἴκοθεν ἀπαγγείλαντος αὐτῷ εὐθὺς ἐκ παρόδου ἐμβαλεῖν εἰς τὴν Βοιωτίαν καί τοι ἐκ μείζονος παρασκευῆς τοῦτο ποιῆσαι ὕστερον διανοούμενος οὐκ ἀπειθήσας τοῖς ἄρχουσι δύο μυριάδας τῶν

μενȣ· ἔτι δὲ οἱ ἐκ Λακεδαίμονος νεοδαμώδεις συστρατευσάμενοι αὐτῷ· πρὸς δὲ τȣ́τοις, οὗ Ἡριππίδας ἐξενάγει ξενικȣ̃· ἔτι δὲ οἱ ἀπὸ τῶν ἐν τῇ Ἀσίᾳ πόλεων Ἑλληνίδων, καὶ ἀπὸ τῶν ἐν τῇ Εὐρώπῃ πόλεων Ἑλληνίδων, ὅσας διϊὼν παρέλαβεν. αὐτόθεν δὲ προσεγένοντο ὁπλῖται Ὀρχομένιοι καὶ Φωκεῖς. πελτασταὶ γεμὴν πολλῷ πλέονες οἱ μετ' Αγησιλάου· ἱππεῖς δ' αὖ παραπλήσιοι ἀμφοτέροις τὸ πλῆ-16θος. Ἡ μὲν δὴ δύναμις αὕτη ἀμφοτέρων· διηγήσομαι δὲ καὶ τὴν μάχην, καὶ πῆ ἐγένετο, οἵα οὐκ ἄλλη τῶν γ' ἐφ' ἡμῶν. συνῄεσαν μὲν γὰρ ἐς τὸ κατὰ Κορώνειαν πεδίον οἱ μὲν σὺν Ἀγησιλάῳ ἀπὸ τȣ̃ Κηφισσȣ̃, οἱ δὲ σὺν Θηβαίοις ἀπὸ τȣ̃ Ἑλικῶνος. εἶχε δ' Ἀγησίλαος μὲν δεξιὸν τὸ μετ' αὐτȣ̃, Ὀρχομένιοι δ' αὐτῷ ἔσχατοι ἦσαν τȣ̃ εὐωνύμȣ. οἱ δ' αὖ Θηβαῖοι αὐτοὶ μὲν δεξιὸν εἶχον, Ἀργεῖοι δ' αὐ-17τοῖς τὸ εὐώνυμον. Συνιόντων δὲ, τέως μὲν σιγὴ πολλὴ ἐπ' ἀμφοτέρων ἦν· ἡνίκα δ' ἀπεῖχον ἀλλήλων ὅσον στάδιον, ἀλαλάξαντες οἱ Θηβαῖοι δρόμῳ ὁμόσε ἐφέροντο. ὡς δὲ τριῶν ἔτι πλέθρων ἐν μέσῳ ὄντων, ἀντεξέδραμον ἀπὸ τῆς Ἀγησιλάȣ φάλαγγος, ὧν Ἡριππίδας ἐξενάγει, καὶ σὺν αὐτοῖς Ἴωνες, καὶ Αἰολεῖς, καὶ Ἑλλησπόντιοι. καὶ πάντες οὗτοι τῶν συνεκδραμόντων τε ἐγένοντο, καὶ ἐς δόρυ ἀφικόμενοι ἔτρεψαν τὸ καθ' αὑτȣ́ς. Ἀργεῖοι μέντοι οὐκ

περὶ Κόρινθον στρατευομένων μεταπεμψάμενος ἐπέβη τῆς Βοιωτίας ubi legendum esse δύο μύρας monuit ad h. l. Morus.

§. 16. καὶ πῆ ἐγένετο. In Agesil. ii. 9. καὶ γὰρ ἐγένετο ἅπερ. quam lectionem præferebat Leoncl. In marg. L. est καὶ πῶς.

τῶν γ' ἐφ'. In Ages. γε omittitur. Plutarch. Apophthegmat. p. 796. ex h. l. repetit: τὴν μεγίστην τῶν καθ' ἑαυτὸν γενομένων.

Ἑλικῶνος. In Ages. sequitur: ἑώρων δὲ τάς τε φάλαγγας ἀλλήλων μάλα ἰσομάλȣς, σχεδὸν δὲ καὶ οἱ ἱππεῖς ἦσαν ἑκατέρων ἰσοπληθεῖς.

εἶχε δ' Ἀγησίλαος. In Ages. est: ὁ Ἀγησίλαος τὸ δεξιὸν τȣ̃ μεθ' αὑτοῦ. Plutarchus: αὐτὸς δὲ τὸ δεξιὸν κέρας ἐπῆγεν. Articulum utroque equidem in loco restituendum puto.

δεξιὸν εἶχον. In Agesil. δεξιοὶ ἦσαν— εὐώνυμον εἶχον.

§. 17. ἐπ' ἀμφοτέρων. In Agesilao: ἀπ' ἀμφοτέρων.

ἐξενάγει. In Agesilao pergit ita: ἦσαν δ' αὐτοὶ τῶν τε ἐξ οἴκȣ αὐτῷ συστρατευσαμένων καὶ τῶν Κυρείων τινὲς καὶ Ἴωνες δὲ καὶ Αἰολεῖς καὶ Ἑλλ.

ἔτρεψαν τό. In Agesil. ἐτρέψαντο τὸ, quod recte præferebat Zeune.

Ἀργεῖοι μέντοι. In Agesilao simpliciter est μὲν, et pro περὶ ibi est ἀμφί.

ἐδέξαντο τοὺς περὶ Ἀγησίλαον, ἀλλ' ἔφυγον ἐπὶ τὸν Ἑλικῶνα. **18** Κἀνταῦθα οἱ μέν τινες τῶν ξένων ἐστεφάνουν ἤδη τὸν Ἀγησίλαον, ἀγγέλλει δέ τις αὐτῷ, ὅτι οἱ Θηβαῖοι, τοὺς Ὀρχομενίους διακόψαντες, ἐν τοῖς σκευοφόροις εἴησαν. καὶ ὁ μὲν εὐθὺς ἐξελίξας τὴν φάλαγγα ἦγεν ἐπ' αὐτούς· οἱ δ' αὖ Θηβαῖοι ὡς εἶδον τοὺς ξυμμάχους πρὸς Ἑλικῶνι πεφευγότας, διαπεσεῖν βουλόμενοι πρὸς τοὺς ἑαυτῶν, συσπειραθέντες ἐχώρουν ἐῤῥωμένως. **19** Ἐνταῦθα δὴ Ἀγησίλαον ἀνδρεῖον μὲν ἔξεστιν εἰπεῖν ἀναμφισβητήτως· οὐ μέντοι εἵλετό γε τὰ ἀσφαλέστατα. ἐξὸν γὰρ αὐτῷ, παρέντι τοὺς διαπίπτοντας, ἀκολουθοῦντι χειροῦσθαι τοὺς ὄπισθεν, οὐκ ἐποίησε τοῦτο, ἀλλ' ἀντιμέτωπος συνέῤῥαξε τοῖς Θηβαίοις· καὶ συμβαλόντες τὰς ἀσπίδας, ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον. τέλος δὲ, τῶν Θηβαίων οἱ μὲν διαπίπτουσι πρὸς τὸν Ἑλικῶνα, πολλοὶ δὲ ἀποχωροῦντες ἀπέθανον. **20** Ἐπεὶ δὲ ἡ μὲν νίκη Ἀγησιλάου ἐγεγένητο, τετρωμένος δ' αὐτὸς προσενήνεκτο πρὸς τὴν φάλαγγα, προσελάσαντές τινες τῶν ἱππέων, λέγουσιν αὐτῷ, ὅτι τῶν πολεμίων ὡς ὀγδοήκοντα σὺν ὅπλοις ὑπὸ τῷ νεῷ εἰσι· καὶ ἠρώτων, τί χρὴ ποιεῖν. ὁ δὲ, καίπερ πολλὰ τραύματα ἔχων, ὅμως οὐκ ἐπελάθετο τοῦ θείου, ἀλλ' ἐᾶν τ' ἀπιέναι ᾗ βούλοιντο ἐκέλευσε, καὶ ἀδικεῖν οὐκ εἴα. τότε μὲν οὖν

§. 18. εἴησαν. In Agesilao εἰσίν.

Ἑλικῶνι. Articulus τῷ additur in Agesilao. Contra male deinceps omittitur verbum συσπειραθέντες.

§. 19. ἀναμφισβητήτως. In Agesil. ἀναμφιλόγως.

παρέντι. Plutarchus: καὶ παίειν ὑπόμενος παραλλάξαντας.

ἀντιμέτωπος. Cast. ἀντιμέτωπον.

ἀπέκτεινον. Verbum hoc omisit Junt. Cast. Post ἀπέθνησκον in Agesilao sequitur: καὶ κραυγὴ μὲν οὐδεμία παρῆν, οὐ μὴν οὐδὲ σιγή. Φωνὴ δέ τις ἦν τοιαύτη, οἵαν ὀργή τε καὶ μάχη παράσχοιτ' ἄν. Hujus loci elegantiam et vehementiam, oratione expressam, omissis verborum copulis, laudat Longinus c. 19. Similis est locus in Cyropædia vii. 1. 38.

§. 20. ἐπεὶ δέ. In Ages. ἐπειδὴ δέ.

Ἀγησιλάου. In Agesilao σὺν Ἀγησιλάῳ ἐγένετο.

προσενήνεκτο. In Ages. προσηνέχθη.

ὡς ὀγδοήκοντα. In Agesilao omittitur ὡς.

σὺν ὅπλοις. In Ages. σὺν τοῖς ὅπλοις.

τῷ νεῷ. Minervæ Itoniæ Plutarchus Ages. c. 19. et ex eo Polyænus ii. 1. 4.

ἔχων. In Ages. additur: πάντοσε καὶ παντοίοις ὅπλοις.

ᾗ βούλοιντο. In Ages. ὅποι—ἐκέλευε.

εἴα. In Ages. addit: καὶ προπέμψαι

(καὶ γὰρ ἦν ἤδη ὀψέ) δειπνοποιησάμενοι ἐκοιμήθησαν.
21 Πρωῒ δὲ Γῦλιν τὸν πολέμαρχον παρατάξαι τε ἐκέλευσε τὸ στράτευμα, καὶ τρόπαιον ἵστασθαι, καὶ στεφανοῦσθαι πάντας τῷ θεῷ, καὶ τοὺς αὐλητὰς πάντας αὐλεῖν. καὶ οἱ μὲν ταῦτ' ἐποίουν· οἱ δὲ Θηβαῖοι ἔπεμψαν κήρυκας, ὑποσπόνδους τοὺς νεκροὺς αἰτοῦντες θάψαι. καὶ οὕτω δὴ αἵ τε σπονδαὶ γίγνονται, καὶ Ἀγησίλαος μὲν ἐς Δελφοὺς ἀφικόμενος δεκάτην τῶν ἐκ τῆς λείας τῷ θεῷ ἀπέθυσεν, οὐκ ἐλάττω ἑκατὸν ταλάντων· Γῦλις δὲ ὁ πολέμαρχος, ἔχων τὸ στράτευμα, ἀπεχώρησεν ἐς Φωκέας, ἐκεῖθεν δ' ἐς τὴν Λοκρίδα
22 ἐμβάλλει. Καὶ τὴν μὲν ἄλλην ἡμέραν οἱ στρατιῶται καὶ σκεύη ἐκ τῶν κωμῶν καὶ σῖτον ἥρπαζον· ἐπεὶ δὲ πρὸς ἑσπέραν ἦν, τελευταῖον ἀποχωρούντων τῶν Λακεδαιμονίων, ἐπηκολούθουν αὐτοῖς οἱ Λοκροί, βάλλοντες καὶ ἀκοντίζοντες. ὡς δ' αὐτῶν οἱ Λακεδαιμόνιοι ὑποστρέψαντες καὶ διώξαντες κατέβαλόν τινας, ἐκ τούτου ὄπισθεν μὲν οὐκέτι ἐπηκολού-
23 θουν, ἐκ δὲ τῶν ὑπερδεξίων ἔβαλλον. Οἱ δ' ἐπεχείρησαν

ἐπέταξε τοὺς ἀμφ' αὐτὸν ἱππεῖς ἕως τοῦ ἐν τῷ ἀσφαλεῖ ἐγένοντο.

ἤδη ὀψέ. In Agefil. additur: συνελκύσαντες τοὺς τῶν πολεμίων νεκροὺς εἴσω φάλαγγος ἐδειπνοποιήσαντο καὶ ἐκοιμ. Plutarch. Agef. cap. 19. φοράδην ἐνεχθῆναι πρὸς τὴν φάλαγγα καὶ τοὺς νεκροὺς ἰδεῖν ἐντὸς τῶν ὅπλων συγκεκομισμένους. Ex Plutarcho apparet, in priore Xenophontis loco vocem τῶν πολεμίων effe fpuriam et delendam. Neque enim hoftium occiforum cadavera, fed fuorum militum intra caftra fubtrahere juffit, ne numero eorum deprehenfo hoftes animos majores fumerent, et ut fuorum corpora per præconem eo lubentius pofcerent ad fepulturam; hoc enim apud Græcos fignum erat victoriæ traditæ, tefte Plutarcho in Nicia cap. 6. et Juftino vi. 6. Aliam nobis Agefilai rationem, qua numerum fuorum, in prælio occiforum, abfcondit, narrat Polyænus ii. 1. 23. ὁ δὲ μέσης νυκτὸς τοὺς πιστοτάτους διέπεμψε κελεύσας οὓς δύναιντο γνωρίσαι Σπαρτιάτας νεκροὺς, ἐπαμησαμένους κόνιν ἀποκρύψαι. Quo facto hoftes, cum dies ortus fuiffet, et fuorum corpora viderent, pauca vero hoftium occiforum, animo conciderunt, et fponte victoriam Lacedæmoniis tradiderunt. Xenophon noftro in loco ftratagema illud omifit, ejufque loco aliud commemorat. Victoria igitur fuit dubia; et dubitabant Lacedæmonii, an hoftes per præconem corpora fuorum depofcere ad fepulturam parati fint.

§. 21. Γῦλιν—παρατάξαι. In Agefilao eft Γῦλον. In Epigrammate Damageti Analectorum tom. ii. p. 39. eft: Γῦλλις Spartanus. Verbum παρατάξαι omifit Plutarchus, qui bene addit, explicans h. l. ἐξελέγξαι βουλόμενος τοὺς Θηβαίους εἰ διαμαχοῦνται.

Δελφούς. Ibi multis vulneribus acceptis corporis curam geffit auctore Diodoro xiv 84. In Agefilao ii. 16. articulus ὁ additur ante Ἀγησ.

ἐκ τῆς λείας. Plutarchus: τῶν ἐκ τῆς Ἀσίας λαφύρων. Unde Morus h. l. emendabat ἐκ τῆς Ἀσίας.

μὲν καὶ πρὸς τὸ σιμὸν διώκειν· ἐπεὶ δὲ σκότος ἐγίγνετο, καὶ ἀποχωροῦντες οἱ μὲν διὰ τὴν δυσχωρίαν ἔπιπτον, οἱ δὲ καὶ διὰ τὸ μὴ προορᾶν τοὺς ἔμπροσθεν, οἱ δὲ καὶ ὑπὸ τῶν βελῶν· ἐνταῦθα ἀποθνήσκουσι Γῦλίς τε ὁ πολέμαρχος, καὶ τῶν παραστατῶν πολλοὶ, καὶ οἱ πάντες ὡς ὀκτωκαίδεκα τῶν στρατιωτῶν, οἱ μὲν καταλευσθέντες, οἱ δὲ καὶ τραυματισθέντες. εἰ δὲ μὴ ἐβοήθησαν αὐτοῖς ἐκ τοῦ στρατοπέδου δειπνοῦντες, ἐκινδύνευσαν ἂν ἅπαντες ἀπολέσθαι.

## ΚΕΦ. Δ.

ΜΕΤΑ τοῦτο γε μὴν ἀφείθη μὲν κατὰ πόλεις τὸ ἄλλο στράτευμα, ἀπέπλευσε δὲ καὶ ὁ Ἀγησίλαος ἐπ' οἴκου. Ἐκ δὲ τούτου ἐπολέμουν Ἀθηναῖοι μὲν, καὶ Βοιωτοὶ, καὶ Ἀργεῖοι, καὶ οἱ σύμμαχοι αὐτῶν, ἐκ Κορίνθου ὁρμώμενοι, Λακεδαιμόνιοι δὲ καὶ οἱ σύμμαχοι ἐκ Σικυῶνος. ὁρῶντες δὲ οἱ Κορίνθιοι ἑαυτῶν μὲν καὶ τὴν χώραν δῃουμένην, καὶ — ἀποθνήσκοντας, διὰ τὸ ἀεὶ τῶν πολεμίων ἐγγὺς εἶναι, τοὺς δ' ἄλλους συμμάχους καὶ αὐτοὺς ἐν εἰρήνῃ ὄντας, καὶ τὰς χώρας αὐτῶν ἐνεργοὺς οὔσας, οἱ πλεῖστοι καὶ βέλτιστοι αὐτῶν εἰρήνης ἐπεθύμησαν, καὶ συνιστάμενοι ἐδίδασκον ταῦτα ἀλλήλους. (Ol. 96. $\frac{1}{4}$.)

2 Γνόντες δὲ οἱ Ἀργεῖοι, καὶ Βοιωτοὶ, καὶ Ἀθηναῖοι, καὶ Κορινθίων οἵ τε τῶν παρὰ βασιλέως χρημάτων μετεσχηκότες, καὶ οἱ τοῦ πολέμου αἰτιώτατοι γεγενημένοι, ὡς, εἰ μὴ ἐκποδὼν ποιήσαιντο τοὺς ἐπὶ τὴν εἰρήνην τετραμμένους, κινδυνεύσει πάλιν ἡ πόλις λακωνίσαι· οὕτω δὴ καὶ σφαγὰς ἐπεχείρουν ποιεῖσθαι. καὶ πρῶτον μὲν τὸ πάντων ἀνο-

§. 23. τὸ σιμόν. Ita recte Castal. pro vulgato τὸν σιμόν.

τοὺς ἔμπροσθεν. Margo Leonclav. τὰ ἔμπροσθεν.

πολλοί. Ita aut πλεῖστοι scribendum censebat Leoncl. Vulgo πελλεῖς. In versione Pirkheimeri est: Gylis et Pelles. Atque ita Castal. scripsit, veluti nomen proprium esset viri Πελλεῖς. Stephanus commemorat lectionem, nescio unde, τελεῖς, aliam Πελληνεῖς.

§. 1. δὲ καὶ ὁ. Castal. omisit καί. Deinceps ante ἀποθνήσκοντας Fr. Portus et Leoncl. τοὺς ἀνθρώπους, Stephanus πολλοὺς inserit.

σιώτατον ἐβουλεύσαντο. οἱ μὲν γὰρ ἄλλοι, κἂν νόμῳ τις καταγνωσθῇ, οὐκ ἀποκτιννύουσιν ἐν ἑορτῇ· ἐκεῖνοι δ' Εὐκλείων τὴν τελευταίαν προείλοντο, ὅτι πλείους ἂν ᾤοντο 3 λαβεῖν ἐν τῇ ἀγορᾷ, ὥστε ἀποκτεῖναι. Ὡς δ' ἐσημάνθη, οἷς εἴρητο, οὓς ἔδει ἀποκτεῖναι, σπασάμενοι τὰ ξίφη, ἔπαιον τὸν μέν τινα συνεστηκότα ἐν κύκλῳ, τὸν δὲ καθήμενον, τὸν δέ τινα ἐν θεάτρῳ, ἔστι δὲ ὃν καὶ κριτὴν καθήμενον. ὡς δ' ἐγνώσθη τὸ πρᾶγμα, εὐθὺς ἔφευγον οἱ βέλτιστοι, οἱ μὲν πρὸς τὰ ἀγάλματα τῶν ἐν τῇ ἀγορᾷ θεῶν, οἱ δ' ἐπὶ τοὺς βωμούς· ἔνθα δὴ οἱ ἀνοσιώτατοι καὶ παντάπασι μηδὲν νόμιμον φρονοῦντες, οἵ τε κελεύοντες καὶ οἱ πειθόμενοι, ἔσφαττον καὶ πρὸς τοῖς ἱεροῖς· ὥστ' ἐνίους καὶ τῶν οὐ τυπτομένων, νομίμων δ' ὄντων ἀνθρώπων, ἀδημο-4 νῆσαι τὰς ψυχάς, ἰδόντας τὴν ἀσέβειαν. Ἀποθνήσκουσι δὲ οὕτω τῶν μὲν πρεσβυτέρων πολλοί· (μᾶλλον γὰρ ἔτυχον ἐν τῇ ἀγορᾷ ὄντες·) οἱ δὲ νεώτεροι, ὑποπτεύσαντος Πασιμήλου τὸ μέλλον ἔσεσθαι, ἡσυχίαν ἔσχον ἐν τῷ Κρανίῳ. ὡς δὲ τῆς κραυγῆς ᾔσθοντο, καὶ φεύγοντές τινες ἐκ τοῦ πράγματος ἀφίκοντο πρὸς αὐτούς, ἐκ τούτου ἀναδραμόντες κατὰ τὴν Ἀκροκόρινθον, προσβαλόντας μὲν Ἀργείους καὶ τοὺς 5 ἄλλους ἀπεκρούσαντο· βουλευομένων δέ, τί χρὴ ποιεῖν, πίπτει τὸ κιονόκρανον ἀπὸ τοῦ κίονος, οὔτε σεισμοῦ, οὔτε ἀνέ-

§. 2. Εὐκλείων. De tempore horum festorum dierum si accurate traditum a quoquam fuisset, de initio seditionis constaret. Sed nihil equidem reperi de Eucleis.

§. 3. συνεστηκότα. Cum aliis consistentem in circulis, conciliabulis.

κριτήν. Scilicet ludorum theatricorum.

[κριτὴν καθήμενον. Aliquid apposuisset, puto, si *ludorum* judicem designaret. *F. A. Wolfius.*]

μηδὲν νόμιμον. Ita Castal. In reliquis antiquis editionibus μηδέ. In St. et Leoncl. οὐδέν.

§. 4. Κρανίῳ. Ante urbem fuit hoc nomine lucus cyparissorum cum gymnasio.

τὴν Ἀκροκόρινθον. In A. J. Bryl. Castal. est τόν. Ita semper Pausanias ii. p. 121. Est montis acumen Corintho imminens. Quod si τὴν malis, intelligendum fuerit ἄκραν.

§. 5. κιονόκρανον. In Cast. est ἀπὸ τῆς κίονος. Templa in Acrocorintho multa fuerunt, igitur et porticus et columellæ.

[ἀπὸ τοῦ κίονος. Eodem Pausaniæ loco, quem Tu laudas, occurrit στήλη quædam in Acrocorintho, matri Deûm sacra, quæ haud dubie nunc intelligitur, quum præfixo articulo scribatur τοῦ κίονος. *F. A. Wolfius.*]

μου γενομένου. καὶ θυομένοις δὲ τοιαῦτα ἦν τὰ ἱερὰ, ὥστε οἱ μάντεις ἔφασαν, ἄμεινον εἶναι, καταβαίνειν ἐκ τοῦ χωρίου. Καὶ τὸ μὲν πρῶτον, ὡς φευξόμενοι ἔξω τῆς Κορινθίας, ἀπεχώρησαν· ἐπεὶ δὲ καὶ οἱ φίλοι αὐτοὺς ἔπειθον, καὶ μητέρες ἰοῦσαι, καὶ ἀδελφοὶ, καὶ αὐτῶν δὲ τῶν ἐν δυνάμει ὄντων ἦσαν, οἳ ὀμνύοντες ὑπισχνοῦντο μηδὲν χαλεπὸν αὐτοὺς πείσεσθαι, οὕτω δὴ ἀπῆλθόν τινες οἴκαδε αὐτῶν. 6 Ὁρῶντες δὲ τοὺς τυραννεύοντας, αἰσθόμενοι δὲ ἀφανιζομένην τὴν πόλιν, διὰ τὸ καὶ ὅρους ἀνασπᾶσθαι, καὶ Ἄργος ἀντὶ Κορίνθου τὴν πατρίδα αὐτῶν ὀνομάζεσθαι, καὶ πολιτείας μὲν ἀναγκαζόμενοι τῆς ἐν Ἄργει μετέχειν, ἧς οὐδὲν ἐδέοντο, ἐν δὲ τῇ πόλει μετοίκων ἔλαττον δυνάμενοι· ἐγένοντό τινες αὐτῶν, οἳ ἐνόμισαν, οὕτω μὲν οὐκ ἀξιοβίωτον εἶναι, πειρωμένους δὲ τὴν πατρίδα, ὥσπερ ἦν καὶ ἐξ ἀρχῆς, Κόρινθον ποιῆσαι, καὶ ἐλευθέραν ἀποδεῖξαι, καὶ τῶν μὲν μιαιφόνων καθαρὰν, εὐνομίᾳ δὲ χρωμένην, ἄξιον εἶναι, εἰ μὲν δύναιντο καταπρᾶξαι ταῦτα, σωτῆρας γενέσθαι τῆς πατρίδος· εἰ δὲ μὴ δύναιντο, τῶν τε καλλίστων καὶ μεγίστων ἀγαθῶν ὀρεγομένους, ἀξιεπαινετωτάτης τελευτῆς τυχεῖν. 7 Οὕτω δὴ ἐπιχειρεῖτον ἄνδρε δύο, Πασίμηλός τε καὶ Ἀλκιμένης, διαδύντε διὰ χειμάρρου, συγγενέσθαι Πραξίτᾳ τῷ Λακεδαιμονίων πολεμάρχῳ, ὃς ἐτύγχανε μετὰ τῆς ἑαυτοῦ μό-

*καὶ θυομένοις.* St. et Leoncl. omiſerunt *καί.*

*φευξόμενοι.* A. J. Br. Caſtal. *φευξούμενοι.*

§. 6. *ὁρῶντες δέ.* In A. J. Br. Caſt. oratio ſic continuatur: *οἴκαδε αὐτῶν ὁρῶντες δὴ τοὺς τυραννεύοντας. Αἰσθανόμενοι δέ.* In Br. tamen et Caſt. eſt *δὲ* pro *δή.*

*πόλιν.* Civitatem recte interpretatur Morus, et comparat locum cum infra v. 2. *τοὺς Κορινθίους τοῖς αὐτοῖς χρῆσθαι νόμοις καὶ συμπολιτεύειν.*

*καὶ πολιτείας.* A. J. Br. Caſt. *καί τι πολιτείας*; unde Morus *καὶ δὴ* efficiebat.

*ἀξιοβίωτον.* Alias dicitur: *ἀβίωτον εἶναι*: pro eo nunc dixit Xenophon: *οὐκ ἀξιοβίωτον*: ſi lectio ſana eſt.

*ἄξιον εἶναι.* Hæc verba, veluti ex ſuperiori *ἀξιοβίωτον* repetita, incluſit Morus. Verum ita fit duriſſima atque inuſitata Græcis verborum ſtructura: *ἐνόμισαν—πειρωμένους—σωτῆρας γενέσθαι,* cum deberet eſſe *πειρώμενοι—σωτῆρες γενέσθαι.* Omnino igitur aut ex verbo *ἀξιοβίωτον* repetendum eſt *ἄξιον*, aut ſingillatim poſteriori membro addendum *ἄξιον εἶναι.* Prior ratio mihi durior videtur; igitur alteram probo.

*τῶν γε.* Ita ſcripſi pro *τῶν τε.*

§. 7. *ἐπιχειρεῖτον.* Caſt. *ἐπιχειρεῖτον—δύω.*

ρας φρουρῶν ἐν Σικυῶνι, καὶ εἶπον, ὅτι δύναιντ' ἂν αὐτῷ παρασχεῖν εἴσοδον ἐς τὰ κατατείνοντα ἐπὶ Λέχαιον τείχη. ὁ δὲ, καὶ πρόσθεν γιγνώσκων τὼ ἄνδρε ἀξιοπίστω ὄντε, ἐπίστευσε, καὶ διαπραξάμενος, ὥστε καὶ τὴν ἀπιέναι μέλλουσαν ἐκ Σικυῶνος μόραν καταμεῖναι, ἔπραττε τὴν εἴσοδον. 8 Ἐπεὶ δὲ τὼ ἄνδρε, κατὰ τύχην, καὶ κατ' ἐπιμέλειαν, ἐγενέσθην φύλακε κατὰ τὰς πύλας ταύτας, ἔνθαπερ τὸ τρόπαιον ἕστηκεν, οὕτω δὴ ἔρχεται ὁ Πραξίτας, ἔχων τήν τε μόραν, καὶ Σικυωνίους, καὶ Κορινθίων ὅσοι φυγάδες ἐτύγχανον ὄντες. ἐπεὶ δ' ἦν πρὸς ταῖς πύλαις, φοβούμενος τὴν εἴσοδον, ἠβουλήθη τῶν πιστῶν ἄνδρα ἐσπέμψαι, σκεψόμενον τὰ ἔνδον. τὼ δὲ εἰσηγαγέτην, καὶ οὕτως ἁπλῶς ἀπεδειξάτην, ὥστε ὁ εἰσελθὼν ἐξήγγειλε, πάντα εἶναι ἀδόλως, οἷά 9 περ ἐλεγέτην. Ἐκ τούτου δ' εἰσέρχεται. ὡς δὲ, πολὺ

§. 8. ἐτύγχανον ὄντες. Diodorus xiv. 86. numerat Corinthios cives occiſos in ſeditione 500, exſules 120.

ἀπεδειξάτην. Deeſſe mihi videntur quædam. Quid ſi ex ſequentibus huc retrahas: οἷά περ ἐλεγέτην?

§. 9. εἰσέρχεται. Diodor. xiv. 86. οἱ μὲν φυγάδες μετὰ Λακεδαιμονίων καὶ τῶν συμμάχων ἐπὶ τὸ Λέχαιον καὶ τὸν ναύσταθμον ἐπελθόντες νυκτὸς κατὰ κράτος εἷλον. τῇ δ' ὑστεραίᾳ τῶν ἐκ τῆς πόλεως ἐπεξελθόντων ὧν Ἰφικράτης ἡγεῖτο, συνέβη γενέσθαι μάχην, ἐν ᾗ Λακεδαιμόνιοι νικήσαντες οὐκ ὀλίγους ἀπέκτειναν· μετὰ δὲ ταῦτα οἵτε Βοιωτοὶ καὶ Ἀθηναῖοι πρὸς δὲ τούτοις Ἀργεῖοι καὶ Κορίνθιοι πάσῃ τῇ δυνάμει παρελθόντες εἰς τὸ Λέχαιον τὸ μὲν πρῶτον πολιορκήσαντες τὸ χωρίον εἰς τὸ ἐντὸς τοῦ διατειχίσματος εἰσεβιάζοντο, μετὰ δὲ ταῦτα τῶν Λακεδαιμονίων καὶ τῶν φυγάδων λαμπρῶς ἀγωνισαμένων ἐξεώσθησαν οἱ Βοιωτοὶ, καὶ οἱ μετ' αὐτῶν ἅπαντες· οὗτοι μὲν οὖν περὶ χιλίους τῶν στρατιωτῶν ἀποβαλόντες εἰς τὴν πόλιν ἀπεχώρησαν. Cujus narrationis, neſcio an mera ſit repetitio, locus cap. 91. οἱ δὲ τὸ Λέχαιον τῆς Κορίνθου κατέχοντες φυγάδες νυκτὸς ὑπό τινων εἰσαχθέντες ἐνεχείρησαν μὲν καταλαμβάνειν τὰ τείχη, τῶν δὲ μετ' Ἰφικράτους ἐκβοηθησάντων, τριακοσίους ἐξ αὐτῶν ἀποβαλόντες ἔφυγον ἐπὶ τὸν ναύσταθμον. Quæ fortaſſe intruſa fuerunt alieno loco. Atque omnino Diodorus reliqua etiam perverſo rerum ordine narrat, ut deinceps demonſtrabo. Polyænus iii. 9. 43. rem ita narrat: Ἰφικράτους ὄντος ἐν Κορίνθῳ, Λακεδαιμόνιοι παρῆλθον ἐς τὴν πόλιν. ὁ δὲ οὐκ εὐθὺς ἀπεκινδύνευσε τὴν δύναμιν συμβαλὼν, ἀλλὰ μαθὼν ὥς ἐστι τὰ περὶ τὴν πόλιν ὀχυρώτατα χωρία, ἡμέρᾳ ταῦτα προκαταλαβὼν τοῖς ἐν τῇ πόλει προεκήρυξεν ἰέναι πρὸς αὐτόν. ἐξιόντων δὲ πάντων καὶ ἀθροιζομένων οἱ Λακεδαιμόνιοι τὸ πλῆθος φοβηθέντες καὶ τὴν φυγὴν (lego φυλακὴν) τῶν ὀχυρῶν τόπων φοβηθέντες ἀμαχεὶ φεύγοντες ᾤχοντο. Sed hæc narratio potius pertinet ad alteram expeditionem, duce Ageſilao, quam narrat Noſter infra c. 5. Contra huc pertinent quæ Polyænus i. 9. 45. retulit, neſcio, quo auctore: Ἰφικράτης ὢν ἐν Κορίνθῳ πυθόμενος ὡς οἱ τἀναντία πράττοντες μισθοφόρους ἐκ Λακεδαίμονος νύκτωρ ἐσδέχεσθαι μέλλοιεν, ἀγείρας τοὺς αὐτοῦ στρατιώτας τοὺς μὲν κατέλιπεν ἔνδον φυλάττειν, τοὺς δ' ἄλλους ἔξω πυλῶν ἀγαγὼν καὶ εἰς τάξιν καταστήσας, ἔσπευσεν ἐπ' ἐκείνην τὴν πύλην, ἣν ἤνοιξαν οἱ δεχόμενοι τοὺς πολεμίους. οἱ μὲν τοὺς πολεμίους ἐσῆγον. τῶν δ' ἐσχάτων ἐσιόντων ἐξαίφνης ἐπιστὰς συνηκολούθησεν αὐτοῖς καὶ συνέπεσεν εἰς τὴν πόλιν (lego πύλην).

διεχόντων τῶν τειχῶν ἀπ' ἀλλήλων, παρατατ]όμενοι ὀλίγοι ἑαυτοῖς ἔδοξαν εἶναι, σταύρωμά τ' ἐποιήσαντο καὶ τάφρον, οἵαν ἐδύναντο, πρὸ αὐτῶν, ἕως δὴ οἱ σύμμαχοι αὐτοῖς βοηθήσαιεν. (ἦν δὲ καὶ ὄπισθεν αὐτῶν ἐν τῷ λιμένι Βοιωτῶν φυλακή.) τὴν μὲν οὖν ἐπὶ τῇ νυκτὶ, ᾗ εἰσῆλθον, ἡμέραν ἄμαχοι διήγαγον· τῇ δ' ὑστεραίᾳ ἧκον οἱ Ἀργεῖοι πασσυδὶ βοηθοῦντες, καὶ εὑρόντες τεταγμένους Λακεδαιμονίους μὲν ἐπὶ τῷ δεξιῷ ἑαυτῶν, Σικυωνίους δὲ ἐχομένους, Κορινθίων δὲ τοὺς φυγάδας ὡς ἐς πεντήκοντα καὶ ἑκατὸν πρὸς τῷ ἑῴῳ τείχει, ἀντιτάττονται ἐχόμενοι [δὲ] τοῦ ἑῴου τείχους οἱ περὶ Ἰφικράτην μισθοφόροι, πρὸς δὲ τούτοις Ἀργεῖοι. εὐώνυμον δ' εἶχον αὐτοῖς Κορίνθιοι οἱ ἐκ τῆς πόλεως. καταφρονήσαντες δὲ τῷ πλήθει, εὐθὺς ἐχώρουν. καὶ τοὺς 10 μὲν Σικυωνίους ἐκράτησαν, καὶ διασπάσαντες τὸ σταύρωμα ἐδίωκον ἐπὶ θάλατταν, καὶ ἐκεῖ πολλοὺς αὐτῶν ἀπέκτειναν. Πασίμαχος δὲ ὁ ἱππαρμοστὴς, ἔχων ἱππέας οὐ πολλοὺς, ὡς ἑώρα τοὺς Σικυωνίους πιεζομένους, καταδήσας ἀπὸ δένδρων τοὺς ἵππους, καὶ ἀφελόμενος τὰς ἀσπίδας αὐτῶν, μετὰ τῶν ἐθελοντῶν ᾔει ἐναντίον τοῖς Ἀργείοις. οἱ δὲ Ἀργεῖοι, ὁρῶντες τὰ σίγματα ἐπὶ τῶν ἀσπίδων, ὡς Σικυωνίους οὐδὲν ἐφοβοῦντο. ἔνθα δὴ λέγεται εἰπὼν ὁ Πασί-

ἀδήλου δὲ ὄντος τοῦ γεγονότος ὡς ἐν νυκτὶ πολλοὺς μὲν αὐτῶν διέφθειρεν, ἡμέρας δὲ γενομένης πολλοὺς εἰς τὰ ἱερὰ φυγόντας ἐχειρώσατο. Athenienſium in Lechæo cædem tangit Plato in Menexeno p. 298. ed. Dup. τῶν ἐν Λεχαίῳ προδοσίᾳ χρησαμένων.

πολὺ διεχόντων. In A. J. Br. Caſtal. οὐ πολὺ διεχόντων. Sed ſequentia redarguunt lectionem iſtam.

ὡς ἐς. Leonclav. poſt ἐς aſteriſcum appoſuit. Diodorus numerat 120. exſules.

ἐχόμενοι [δέ]. Recte Morus incluſit δέ. Contra exſules collocantur mercenarii Iphicratis juxta murum orientalem, contra Lacedæmonios autem Corinthii in ſiniſtro cornu pugnant, oppoſiti dextro cornu Lacedæmoniorum.

Ἰφικράτην. Vulgatum Φιλοκράτη mutavi audacter auctoritate Diodori et Polyæni confiſus. In eodem nomine hæſit V. D. in Bibl. Crit. Amſtel. qui volebat Ἰφικράτη aut Πολύστρατον reſcribi; utriuſque enim nomen in hac expeditione et bello Corinthiaco celebrari ait. Sed certiora docuerunt me loca antea allata Diodori et Polyæni.

Κορίνθιοι οἱ. Ex margine Leonclavii articulum inſerui. Corinthii ex urbe diſtinguuntur ab exſulibus.

§. 10. σίγματα. Sicyonii clypeis inſcriptam literam Σ gerebant. Vide infra ad vii. 5. 20.

μαχος· Ναὶ τὼ σιὼ, Ἀργεῖοι, ψεύσει ὔμμε τὰ σίγματα ταῦτα· χωρεῖν ὁμόσε· καὶ οὕτω μαχόμενος μετ' ὀλίγων
11 πρὸς πολλοὺς ἀποθνήσκει, καὶ ἄλλοι τῶν περὶ αὐτόν. Οἱ μέντοι Φυγάδες τῶν Κορινθίων, νικῶντες τοὺς καθ' αὐτοὺς, διέδυσαν ἄνω, καὶ ἐγένοντο ἐγγὺς τοῦ περὶ τὸ ἄστυ κύκλου· οἱ δ' αὖ Λακεδαιμόνιοι, ὡς ᾔσθοντο κρατούμενα τὰ κατὰ τοὺς Σικυωνίους, βοηθοῦσιν ἐξελθόντες, ἐν ἀριστερᾷ ἔχοντες τὸ σταύρωμα. οἱ γεμὴν Ἀργεῖοι, ἐπεὶ ἤκουσαν ὄπισθεν ὄντας τοὺς Λακεδαιμονίους, στραφέντες δρόμῳ πάλιν ἐκ τοῦ σταυρώματος ἐξέπιπτον. καὶ οἱ μὲν ἐν δεξιᾷ ἔσχατοι αὐτῶν, παιόμενοι ἐς τὰ γυμνὰ ὑπὸ τῶν Λακεδαιμονίων, ἀπέθνησκον· οἱ δὲ πρὸς τῷ τείχει, ἀθρόοι σὺν πολλῷ ὄχλῳ πρὸς τὴν πόλιν ἀπεχώρουν. ὡς δ' ἐνέτυχον τοῖς Φυγάσι τῶν Κορινθίων, καὶ ἔγνωσαν πολεμίους ὄντας, ἀπέκλιναν πάλιν. ἐνταῦθα μέντοι οἱ μὲν, κατὰ τὰς κλίμακας ἀναβαίνοντες, ἥλλοντο κατὰ τοῦ τείχους, καὶ διεφθείροντο· οἱ δὲ, περὶ τὰς κλίμακας ὠθούμενοι καὶ παιόμενοι, ἀπέθνησκον· οἱ
12 δὲ καὶ καταπατούμενοι ὑπ' ἀλλήλων ἀπεπνίγοντο. Οἱ δὲ Λακεδαιμόνιοι οὐκ ἠπόρουν, τίνα ἀποκτείνοιεν· ἔδωκε γὰρ τότε γε ὁ θεὸς αὐτοῖς ἔργον, οἷον οὐδ' εὔξαιντό ποτ' ἄν. τὸ γὰρ ἐγχειρισθῆναι αὐτοῖς πολεμίων πλῆθος πεφοβημένον, ἐκπεπληγμένον, τὰ γυμνὰ παρέχον, ἐπὶ τὸ μάχεσθαι οὐδένα τρεπόμενον, ἐς δὲ τὸ ἀπόλλυσθαι πάντας πάντα ὑπηρετοῦντας, πῶς οὐκ ἄν τις θεῖον ἡγήσαιτο; τότε γοῦν οὕτως ἐν ὀλίγῳ πολλοὶ ἔπεσον, ὥστε, εἰθισμένοι ὁρᾶν οἱ ἄνθρωποι σωροὺς σίτου, ξύλων, λίθων, τότε ἐθεάσαντο σω-

ὔμμε. Castal. ὕμμε. Laconicæ hæc dialecti, ut τὼ σιὼ pro τοὺς θεούς.

§. 11. κύκλου. Murum h. l. interpretatur Morus. Demosth. pro Corona p. 325. καὶ τούτοις ἐτείχισα τὴν χώραν, οὐχὶ τὸν κύκλον μόνον τοῦ Πειραιῶς οὐδὲ τοῦ ἄστεος. Sed potius hic intelligitur ab obsidentibus περιτετειχισμένος κύκλος, qualem in obsessione Mantineæ habes v. 2. 4. et v. 3. 22.

ἥλλοντο. A. Junt. Br. Castal. ἤλλοντο.

§. 12. ἠπόρουν. Male Castal. ηὐπόρουν.

οὐδ' εὔξαιντο. Male Ald. οὐκ et Leoncl. εὔξαντο.

ἐπὶ τό. Ita ex margine Leonclav. rescripsi pro ἐπὶ τῷ.

ρους νεκρῶν. ἀπέθανον δὲ καὶ οἱ ἐν τῷ λιμένι τῶν Βοιωτῶν φύλακες, οἱ μὲν ἐπὶ τῶν τειχῶν, οἱ δὲ ἐπὶ τὰ τέγη τῶν νεωσοίκων ἀναβάντες. 13 Μετὰ μὲν τοίνυν τοῦτο οἱ μὲν Κορίνθιοι καὶ Ἀργεῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἀπήγοντο· οἱ δὲ ξύμμαχοι τῶν Λακεδαιμονίων ἐβοήθουν. ἐπεὶ δὲ ἠθροίσθησαν, ἔγνω Πραξίτας πρῶτον μὲν τῶν τειχῶν καθελεῖν, ὥστε δίοδον στρατοπέδῳ ἱκανὴν εἶναι· ἔπειτα ἀναλαβὼν τὸ στράτευμα, ἦγε τὴν ἐπὶ Μέγαρα· καὶ αἱρεῖ προσβαλὼν πρῶτον μὲν Σιδοῦντα, ἔπειτα δὲ Κρομμυῶνα. καὶ ἐν τούτοις τοῖς τείχεσι καταστήσας φρουρούς, τοὔμπαλιν ἐπορεύετο· καὶ τειχίσας Ἐπιεικίαν, ἵνα φρούριον εἴη πρὸ τῆς φιλίας τοῖς ξυμμάχοις, οὕτω διαφῆκε τὸ στράτευμα, καὶ αὐτὸς τὴν ἐπὶ Λακεδαίμονα ἀπεχώρει.

14 Ἐκ δὲ τούτου στρατιαὶ μὲν μεγάλαι ἑκατέρων διεπέπαυντο, φρουροὺς δὲ πέμπουσαι αἱ πόλεις, αἱ μὲν ἐς Κόρινθον, αἱ δὲ ἐς Σικυῶνα, ἐφύλαττον τὰ τείχη· μισθοφό-

νεωσοίκων. A. J. Br. Caſtal. νεοσήκων.

§. 13. [Κρομμυῶνα. Præter loca, quæ in Indice poſui, pertinet huc locus Thucyd. iv. 42. 44. et 45. ubi Κρομμύων τῆς Κορινθίας dicitur, et ab ipſa urbe Corintho abeſſe dicitur centum et viginti ſtadia. In ora maritima, in qua et Cenchreæ erant, ſitum fuiſſe, docet narratio Thucydidis. Inter collem Colygium, qui mari imminebat inter Χερσόνησον et Ῥεῖτον litoris Corinthiaci, et Cenchreas procurrens mons, Ὄνειον, conſpectum alterius loci intercipiebat; atque ultra Cenchreas verſus ſeptentrionem Crommyon ſitus erat. *Ex Addendis.*]

πρὸ τῆς. A. J. Bryl. Caſtal. Steph. πρὸς τῆς. Sidus et Cromyon fuerunt caſtella in agro et finibus Corinthiorum. Cf. Athenæum vii. p. 82.

§. 14. διεπέπαυντο. Mihi locus hic neſcio quid hiulci et obſcuri habere videtur. Manifeſtum eſt, exercitus eos, qui, ex civibus ipſis Corinthi, Athenarum et reliquarum civitatum ſociarum compoſiti, antea pugnaverunt, nunc quieſcere dici, et contra milite mercenario bellum fuiſſe continuatum. Opponuntur igitur στρατιαὶ militibus mercenariis, τοῖς μισθοφόροις. Verum, ſi cives omnino nulli pugnarunt deinceps, cur στρατιαὶ μεγάλαι, nec ſimpliciter στρατιαὶ nominantur? An forte fuit olim στρατιαὶ μὲν αἱ γ' ἄλλαι ἑκατέρων?

μισθοφόρους. Hoc fuit primum ξενικὸν in Græcia, multis ſumtibus altum. Iſocrates ad Philippum §. 199. ἐν ἐκείνοις δὲ τοῖς χρόνοις οὐκ ἦν ξενικὸν οὐδὲν, ὥστ' ἀναγκαζόμενοι ξενολογεῖν ἐκ τῶν πόλεων πλέον ἀνήλισκον εἰς τὰς διδομένας τοῖς ἕλλησι δωρεὰς ἢ εἰς τὸν εἰς τοὺς στρατιώτας μισθόν. Cf. Valeſius ad Harpocrat. p. 129. Demoſthenes contra Phil. i. p. 46. καὶ πρότερον ποτ' ἀκούω ξενικὸν τρέφειν ἐν Κορίνθῳ τὴν πόλιν, οὗ Πολύστρατος ἡγεῖτο καὶ Ἰφικράτης καὶ Χαβρίας καὶ ἄλλοι τινὲς, καὶ ὑμᾶς αὐτοὺς συστρατεύεσθαι. καὶ οἶδα ἀκούων, ὅτι Λακεδαιμονίους παραταττόμενοι μεθ' ὑμῶν ἐνίκων οὗτοι οἱ ξένοι καὶ ὑμεῖς μετ' ἐκείνων. ἐξ οὗ δ' αὐτὰ καθ' αὐτὰ τὰ ξενικὰ ὑμῖν στρατεύεται, τοὺς φίλους νικᾷ καὶ τοὺς συμμάχους. Harpocration in voce ξενικὸν ait, Cononem hunc mercena-

ρους γεμὴν ἑκάτεροι ἔχοντες, διὰ τούτων ἐῤῥωμένως ἐπολέμουν.

15 Ἔνθα δὴ καὶ Ἰφικράτης, ἐς Φλιοῦντα ἐμβαλὼν, καὶ ἐνεδρευσάμενος, ὀλίγοις δὲ λεηλατῶν, βοηθησάντων τῶν ἐκ τῆς πόλεως ἀφυλάκτως, ἀπέκτεινε τοσούτους, ὥστε, καὶ τοὺς Λακεδαιμονίους πρόσθεν οὐ δεχόμενοι ἐς τὸ τεῖχος οἱ Φλιάσιοι, φοβούμενοι, μὴ τοὺς φάσκοντας ἐπὶ Λακωνισμῷ φεύγειν κατάγοιεν, τότε οὕτω κατεπλάγησαν τοὺς ἐκ Κορίνθου, ὥστε μετεπέμψαντο τε τοὺς Λακεδαιμονίους, καὶ τὴν πόλιν καὶ τὴν ἄκραν φυλάττειν αὐτοῖς παρέδωκαν. οἱ μέντοι Λακεδαιμόνιοι, καίπερ εὐνοϊκῶς ἔχοντες τοῖς φυγάσιν, ὅσον χρόνον εἶχον αὐτῶν τὴν πόλιν, οὐδ᾽ ἐμνήσθησαν παντάπασι περὶ καθόδου φυγάδων· ἀλλ᾽ ἐπεὶ ἀναθαῤῥῆσαι ἐδόκει ἡ πόλις, ἐξῆλθον, καὶ τὴν πόλιν καὶ τοὺς νόμους παραδόντες, οἵανπερ καὶ παρέλαβον.

16 Οἱ δ᾽ αὖ περὶ τὸν Ἰφικράτην, πολλαχόσε καὶ τῆς Ἀρκαδίας ἐμβαλόντες, ἐλεηλάτουν τε καὶ προσέβαλον πρὸς τὰ τείχη· ἔξω γὰρ οἱ τῶν Ἀρκάδων ὁπλῖται παντάπασιν οὐκ ἀντεξῄεσαν· οὕτω τοὺς πελταστὰς ἐπεφόβηντο. τοὺς μέντοι Λακεδαιμονίους οὕτως αὖ οἱ πελτασταὶ ἐδεδίεσαν, ὡς ἐντὸς ἀκοντίσματος οὐ

riorum exercitum primum constituisse, deinde suscepisse Iphicratem, et Chabriam; cum hoc Athenienses duce Iphicrate et Callia moram Laconicam intercepisse, teste Philochoro et Androtione; ubi Photius Calliclem pro Callia nominat. Multa de hoc ξενικῷ Scholiastes Aristophanis ad Pluti vers. 173.

§. 15. ὥστε καὶ τοὺς. Recte Morus monet καὶ h. l. esse pro καί τοι. Diodorus xiv. 92. Phliasios plus quam trecentos occisos ait; deinde Iphicratem, Sicyonem adortum, Sicyonios vicisse et quingentos occidisse. Hæc Diodorus posuit sub Olympiade 96. 4. ubi Wesseling monet, Xenophontem hæc anteriora facere. Dubium est, an Polyænus iii. 9. 49. et 54. hanc expeditionem intelligi voluerit. Nihil certe de insidiis memorat; et exercitum per agrum Phliuntium ductum simpliciter cum pugna memorat. Expeditionem in Sicyonem idem habet iii. 9. 24. Eam Xenophon præteriit, utpote non honorificam suis Lacedæmoniis. Aristides Panathen. t. i. p. 299. ed. Canteri: ἐνίκησαν ἐν Λεχαίῳ καὶ διέφθειραν μικροῦ πᾶν τὸ στρατόπεδον, εἷλον δὲ τὰ ἐν Κορίνθῳ φρούρια καὶ τοὺς ἐγκαθεστῶτας τῶν Λακεδαιμονίων ἐξήλασαν, καὶ τὰ τείχη κατέσκαψαν, ἦλθον δ᾽ ἐς Ἀρκαδίαν καὶ μέχρι τῆς Λακωνικῆς, κατέκλεισαν δὲ τοὺς ἐν Φλιοῦντι, καὶ τῶν ἐπεξελθόντων τρόπαιον ἔστησαν, καὶ Μαντινέων πάλιν καὶ Σικυωνίων αὖθις ἐν τῷ πεδίῳ καὶ τῶν συμμάχων. Itaque etiam ex hoc loco apparet, multa fuisse a Xenophonte omissa.

προσήεσαν τοῖς ὁπλίταις· ἤδη γάρ ποτε, καὶ ἐκ τοσούτου διώξαντες οἱ νεώτεροι τῶν Λακεδαιμονίων, ἑλόντες ἀπέκτειναν τινας αὐτῶν. Καταφρονοῦντες δὲ οἱ Λακεδαιμόνιοι 17 τῶν πελταστῶν, ἔτι μᾶλλον τῶν ἑαυτῶν συμμάχων κατεφρόνουν· καὶ γὰρ οἱ Μαντινεῖς, βοηθήσαντές ποτε, ἐπεκδραμόντες πελτασταῖς, ἐκ τοῦ ἐπὶ Λέχαιον τείνοντος τείχους ἀκοντιζόμενοι ἐνέκλινάν τε, καὶ ἀπέθανόν τινες αὐτῶν φεύγοντες· ὥστε οἱ μὲν Λακεδαιμόνιοι καὶ ἐπισκώπτειν ἐτόλμων, ὡς οἱ σύμμαχοι φοβοῖντο τοὺς πελταστὰς, ὥσπερ μορμῶνας παιδάρια. αὐτοὶ δὲ ἐκ τοῦ Λεχαίου ὁρμώμενοι σὺν μόρᾳ, καὶ τοῖς τῶν Κορινθίων φυγάσι, κύκλῳ περὶ τὸ ἄστυ τῶν Κορινθίων ἐστρατεύοντο. Οἱ δὲ αὖ Ἀθηναῖοι, 18 φοβούμενοι τὴν ῥώμην τῶν Λακεδαιμονίων, μὴ ἐπὶ τὰ μακρὰ τείχη τῶν Κορινθίων, ἃ διῄρητο, ἔλθοιεν ἐπὶ σφᾶς, ἡγήσαντο κράτιστον εἶναι, ἀνατειχίσαι τὰ διῃρημένα ὑπὸ Πραξίτα τείχη. καὶ ἐλθόντες πανδημεὶ μετὰ λιθολόγων καὶ τεκτόνων, τὸ μὲν πρὸς Σικυῶνα καὶ πρὸς ἑσπέραν ἐν ὀλίγαις ἡμέραις πάνυ καλὸν ἐξετείχισαν· τὸ δὲ ἑῷον μᾶλλον κατὰ ἡσυχίαν ἐτείχιζον.

Οἱ δὲ αὖ Λακεδαιμόνιοι, ἐνθυμηθέντες τοὺς Ἀργείους 19 τὰ μὲν οἴκοι καρπουμένους, ἡδομένους δὲ τῷ πολέμῳ, στρατεύουσιν ἐπ' αὐτούς. Ἀγησίλαος δὲ ἡγεῖτο, καὶ δῃώσας πᾶσαν αὐτῶν τὴν χώραν, εὐθὺς ἐκεῖθεν ὑπερβαλὼν κατὰ Τεγέαν ἐς Κόρινθον, αἱρεῖ τὰ ἀνοικοδομηθέντα ὑπὸ τῶν Ἀθηναίων τείχη. παρεγένετο δὲ αὐτῷ καὶ ὁ ἀδελφὸς Τελευτίας κατὰ θάλατταν, ἔχων τριήρεις περὶ δώδεκα·

§. 16. ἐκ τοσούτου. Margo Leonclav. ἐκ τούτου. Male.

§. 18. ἐπεὶ—τείχη τῶν Κορινθίων διῄρητο. Ita ſcripſi ſuadente Leoncl. pro ἐπὶ—Κορινθίων, ἃ διῄρητο, Steph. malebat κατὰ τὰ μακρὰ τείχη.

Σικυῶνα—ἑσπέραν. Margo Leonclavii Σικυῶνος—ἑσπέρας.

§. 19. καρπουμένους. Ex Ageſilao ii. 17. adde: Κόρινθον δὲ προσειληφότας.

Τεγέαν. Ageſil. τὰ στενά. Kœppen legebat Τενέαν.

τὰ ἀνοικοδομηθέντα. In Ageſ. eſt: τὰ ἐπὶ τῷ Λεχαίῳ τείνοντα τείχη. Plutarchus Ageſ. 21. ſimpliciter: τὰ μακρὰ τείχη.

ὥστε μακαρίζεσθαι αὐτῶν τὴν μητέρα, ὅτι τῇ αὐτῇ ἡμέρᾳ ὧν ἔτεκεν ὁ μὲν κατὰ γῆν τὰ τείχη τῶν πολεμίων, ὁ δὲ κατὰ θάλατταν τὰς ναῦς καὶ τὰ νεώρια ᾕρηκε. καὶ τότε μὲν ταῦτα πράξας ὁ Ἀγησίλαος, τό τε τῶν συμμάχων στράτευμα διῆκε, καὶ τὸ πολιτικὸν οἴκαδε ἀπήγαγεν.

## ΚΕΦ. Ε.

Ol. 97. $\frac{4}{1}$. ΕΚ δὲ τούτου οἱ Λακεδαιμόνιοι, ἀκούσαντες τῶν φευγόντων, ὅτι ἐν τῇ πόλει πάντα μὲν τὰ βοσκήματα ἔχοιεν, καὶ σώζοιντο οἱ ἐν τῷ Πειραίῳ, πολλοὶ δὲ τρέφοιντο αὐτόθι, στρατεύουσι πάλιν ἐς τὴν Κόρινθον, Ἀγησιλάου καὶ τότε ἡγουμένου. καὶ πρῶτον μὲν ἦλθεν ἐς Ἰσθμὸν, (καὶ γὰρ ἦν ὁ μὴν, ἐν ᾧ Ἴσθμια γίγνεται) καὶ οἱ Ἀργεῖοι αὐτοῦ ἐτύγχανον τότε ποιοῦντες τὴν θυσίαν τῷ Ποσειδῶνι, ὡς Ἄργους τῆς Κορίνθου ὄντος. ὡς δ᾽ ᾔσθοντο προσιόντα τὸν Ἀγησίλαον, καταλιπόντες καὶ τὰ τεθυμένα καὶ τὰ ἀριστοποιούμενα, σὺν πολλῷ φόβῳ ἀπεχώρουν ἐς τὸ ἄστυ κατὰ τὴν ἐπὶ

*νεώρια ᾕρηκε.* Plutarchus Ageſil. 21. *αὐτὸς μὲν ᾕρει κατὰ γῆν τὰ μακρὰ τείχη, ταῖς δὲ ναυσὶν ὁ Τελευτίας*, ubi legendum eſſe *τὰς δὲ ναῦς*, jam olim Leoncl. ad h. l. monuit.

*καὶ τὸ πολιτικόν.* Quod Stephaniana prior intulit *καὶ τὸ μὲν πολιτικὸν*, jam olim damnavit Fr. Portus, eumque ſecutus Leoncl. Ageſilaus, domum redux, Hyacinthia celebravit, ut Xenophontis Ageſilaus monet. Igitur deinceps novus exoritur annus, ubi denuo ad Hyacinthia redeunt Lacedæmonii, ut recte monuit Dodwellus.

§. 1. *οἱ ἐν τῇ πόλει.* Quoniam in Ageſ. eſt *τοὺς Κορινθίους* ii. 18. monitu Leonclav. addidi articulum *οἱ*.

*Πειραίῳ.* Thucydides viii. 10. *Πειραιὸς* (ſic ille) *τῆς Κορινθίας ἐστὶ λιμὴν ἔρημος καὶ ἔσχατος πρὸς τὰ μεθόρια τῆς Ἐπιδαυρίας.* Itaque ad ſinum Saronicum; cum Strabo Piræum cum Heræo et Œnoe ad Criſſæum ſinum ſtatuat, ut et ipſum Lechæum. Igitur Palmerius Exercit. p. 72. ad hunc noſtrum locum ſuſpicatur, fuiſſe geminum Corinthiacum Piræum, unum ad Saronicum, alterum ad Criſſæum ſinum. De Heræo vide infra ad §. 6.

*ὁ μήν.* Menſis a nullo ſcriptorum veterum diſerte annotatur, ſed Corſini in Diſſert. quarta Agoniſtica docuit, ludos Iſthmicos modo in menſem Panemum, modo in Munychionem aut Thargelionem incidiſſe. Fuerunt ipſi ludi trieterici, et cum Olympiadibus ſi comparentur, in primum et tertium quemvis Olympiadis annum conveniunt. Qui in primum incidebant, menſe Corinthio Panema, Athenienſi Hecatombæone, Romano Julio, celebrabantur; qui vero in tertium annum Olympicum conveniunt, vel ad Munychionem (Aprilem) vel ad Thargelionem (Maium) referendi videntur. Hanc brevem ſummam diſputationis Corſinianæ poſuit etiam Morus.

*σὺν πολλῷ.* L. St. *μάλα σὺν πολλῷ.*

Κεγχρέας ὁδόν. Ὁ μέντοι Ἀγησίλαος ἐκείνους μὲν, καί- 2 περ ὁρῶν, οὐκ ἐδίωκε· κατασκηνήσας δὲ, ἐν τῷ ἱερῷ αὐτός τε τῷ θεῷ ἔθυε, καὶ περιέμενεν, ἕως οἱ φυγάδες τῶν Κορινθίων ἐποίησαν τῷ Ποσειδῶνι τὴν θυσίαν καὶ τὸν ἀγῶνα. ἐποίησαν δὲ καὶ οἱ Ἀργεῖοι, ἀπελθόντος Ἀγησιλάου, ἐξ ἀρχῆς πάλιν Ἴσθμια. καὶ ἐκείνῳ τῷ ἔτει ἔστι μὲν ἃ τῶν ἄθλων δὶς ἕκαστος ἐνικήθη, ἔστι δὲ ἃ δὶς οἱ αὐτοὶ ἐκηρύχθησαν. Τῇ δὲ τετάρτῃ ἡμέρᾳ ὁ Ἀγησίλαος ἦγε πρὸς 3 τὸ Πείραιον τὸ στράτευμα. ἰδὼν δὲ ὑπὸ πολλῶν φυλαττόμενον, ἀπεχώρησε πρὸς τὸ ἄστυ μετ' ἄριστον, ὡς προδιδομένης τῆς πόλεως· ὥστε οἱ Κορίνθιοι, δείσαντες, μὴ προδιδοῖτο ἡ πόλις ὑπό τινων, μετεπέμψαντο τὸν Ἰφικράτην σὺν τοῖς πλείστοις τῶν πελταστῶν. αἰσθόμενος δὲ ὁ Ἀγησίλαος τῆς νυκτὸς παρεληλυθότας αὐτοὺς, ὑποστρέψας ἅμα τῇ ἡμέρᾳ, ἐς τὸ Πείραιον ἦγε. καὶ αὐτὸς μὲν κατὰ

§. 2. ἐξ ἀρχῆς. Diodor. xiv. 86. ſub anno 3. Olympiad. 96. εὐθὺς δὲ τῶν Ἰσθμίων ἐπελθόντων, διεφέροντο περὶ τῆς θέσεως τοῦ ἀγῶνος, καὶ πολλὰ φιλονεικησάντων ἐκράτησαν οἱ Λακεδαιμόνιοι, καὶ τοὺς φυγάδας ἐποίησαν θεῖναι τὸν ἀγῶνα. Hæc ille, veluti paulo poſt initium ſeditionis facta, narrat. Sed Weſſeling p. 710. admonuit, ex narratione Xenophontea non videri eo anno celebrata fuiſſe Iſthmia; quod ſi vero facta ea fuerint, fuiſſe ſecunda ſeu hiberna Iſthmia; nam prima et æſtiva fuiſſe celebrata ſub Olympiadis cujuſque initium. Pauſanias iii. p. 229. οὐ πολλῷ δ' ὕστερον τὸν ἀγῶνα ἔθηκαν τῶν Ἰσθμίων οἱ ἐπὶ Λακωνισμῷ φεύγοντες, Κορίνθιοι δὲ ἐν τῇ πόλει τότε μὲν τῷ Ἀγησιλάου δείματι, ἡσύχαζον· ἀναζεύξαντος δὲ ἐς τὴν Σπάρτην, οὕτω καὶ αὐτοὶ μετὰ Ἀργείων τὰ Ἴσθμια ἄγουσιν. ἀφίκετο δὲ καὶ αὖθις ἐπὶ Κόρινθον στρατιᾷ, καὶ, ἐπῄει γὰρ Ὑακίνθια, ἀφίησι τοὺς Ἀμυκλαιεῖς οἴκαδε ἀπελθόντας τὰ καθεστηκότα τῷ τε Ἀπόλλωνι καὶ Ὑακίνθῳ δρᾶσθαι. ταύτην τὴν μοῖραν etc. ubi verba ἀφίκετο δὲ καὶ αὖθις ἐπὶ Κόρινθον στρατιᾷ novam Ageſilai expeditionem videntur ſignare, niſi dicas, Pauſaniam in interpretando Xenophonte a tempore aberraſſe. Suſpicionem auget de tempore, quod Xenophon in Ageſilao reditum ejus ad Hyacinthia memorat, ubi Hiſtoria Græca ſupra c. 4. in fine eum omiſit. Judicium difficile facit illud, quod ignoratur, Hyacinthia annua an biennia aut triennia fuerint ſacra. Plutarchus locum noſtrum ſic retulit: καί τινες μὲν ἐνίκησαν πάλιν, εἰσὶ δ' οἱ νενικηκότες πρότερον, ὕστερον ἡττημένοι ἀνεγράφησαν, quæ tamen non ſunt in Xenophonte. Denique Ariſtides Eleuſin. Orat. p. 452. εἰς Ἴσθμια τὴν αὐτὴν θεωρίαν ἦγον μὲν Ἀργεῖοι, ἦγον δὲ Κορίνθιοι τοῖς ὅπλοις οἱ ἕτεροι τοὺς ἑτέρους κρατήσαντες. Non ſatis accurate.

§. 3. ὡς προδιδομένης. In Ageſilao eſt: φυλαττόμενον, ὡς ἐνδιδομένης τῆς πόλεως, ἐξ ἀρίστου μετεστρατοπεδεύετο πρὸς τὸ ἄστυ. Cæterum huc pertinet narratio Polyæni iii. 9. 43. quam ſupra ad cap. 4. appoſui, paulum diverſa a Xenophontea.

αἰσθόμενος δέ. Ageſilaus: αἰσθομένου δὲ ὑπὸ νύκτα βεβοηθηκότας ἐκ τοῦ Πειραίου εἰς τὴν πόλιν πασσυδὶ—αἱρεῖ τὸ Πείραιον ἔρημον φυλακῆς.

τὰ θερμὰ παρήει, μόραν δὲ κατὰ τὸ ἀκρότατον ἀνεβίβασε. καὶ ταύτην μὲν τὴν νύκτα ὁ μὲν πρὸς τοῖς θερμοῖς ἐστρατοπεδεύετο, ἡ δὲ μόρα τὰ ἄκρα κατέχουσα ἐνυκτέρευεν.

4 Ἔνθα δὴ καὶ ὁ Ἀγησίλαος μικρῷ μὲν, καιρίῳ δʼ ἐνθυμήματι εὐδοκίμησε. τῶν γὰρ τῇ μόρᾳ φερόντων τὰ σιτία οὐδενὸς πῦρ εἰσενεγκόντος, ψύχους δὲ ὄντος, διά τε τὸ πάνυ ἐφʼ ὑψηλοῦ εἶναι, καὶ διὰ τὸ γενέσθαι ὕδωρ καὶ χάλαζαν πρὸς τὴν ἑσπέραν· (καὶ ἀναβεβήκεσαν δὲ ἔχοντες, οἷα δὴ θέρους, σπειρία) ῥιγούντων δʼ αὐτῶν, καὶ ἐν σκότῳ ἀθύμως πρὸς τὸ δεῖπνον ἐχόντων, πέμπει ὁ Ἀγησίλαος οὐκ ἔλαττον δέκα, φέροντας πῦρ ἐν χύτραις. ἐπεὶ δὲ ἀνέβησαν ἄλλος ἄλλῃ, καὶ πολλὰ καὶ μεγάλα πυρὰ ἐγένετο, ἅτε πολλῆς ὕλης παρούσης, πάντες μὲν ἠλείφοντο, πολλοὶ δὲ καὶ ἐδείπνησαν ἐξαρχῆς. Φανερὸς δὲ ἐγένετο καὶ ὁ νεὼς τοῦ Ποσειδῶνος ταύτῃ τῇ νυκτὶ καιόμενος· ὑφʼ ὅτου δὲ ἐνεπρήσθη, οὐδεὶς οἶδεν.

5 Ἐπεὶ δὲ ᾔσθοντο οἱ ἐν τῷ Πειραίῳ τὰ ἄκρα ἐχόμενα, ἐπὶ μὲν τὸ ἀμύνασθαι οὐκέτι ἐτράποντο, ἐς δὲ τὸ Ἥραιον κατέφυγον καὶ ἄνδρες, καὶ γυναῖκες, καὶ δοῦλοι, καὶ ἐλεύθεροι, καὶ τῶν βοσκημάτων τὰ πλεῖστα. καὶ Ἀγησίλαος μὲν δὴ σὺν τῷ στρατεύματι παρὰ θάλατταν ἐπορεύετο· ἡ δὲ μόρα ἅμα καταβαίνουσα ἀπὸ τῶν

[De voc. θερμὰ plane Tecum ſentio. *Thermopylarum* nomen nullo modo tueri poteſt inſolentem iſtam linguæque contrariam ſignificationem; confirmat illud potius alteram, ut Strabo docet. Mihi Goldhag. videtur bene huc advocaſſe Pauſan. lib. ii. p. 114. ubi *aquæ calidæ* e regione Cenchrearum memorantur, defluentes de ſaxo; Ἑλένης λουτρὸν vocabatur. Hoc ex fonte fortaſſe totus hic tractus id nominis acceperat, Θερμά. *F. A. Wolfius.*]

παρήει. Margo St. et Leonclav. προήει. Morus θερμὰ interpretatur non aquas calidas, ſed anguſtias, exemplo Thermopylarum motus, et quia infra §. 8. ex his thermis evadunt in campum patentem. Sed aquæ calidæ locum habere potuerunt in monte, quemadmodum et anguſtiæ.

§. 4. τῇ μόρᾳ. Hæc verba abſunt A. J. Br. Caſt.

ἀθύμως πρὸς τὸ δεῖπνον. Edere nolebant, Morus interpretatur. Recte.

σπειρία. Veſtimenti genus tenuius et æſtivum fuiſſe, locus hic docet. Grammatici veteres ſimpliciter ἱμάτιον interpretantur, et forum Athenis memorant fuiſſe ἀγορὰν σπειρόπωλιν dictum. Pollux Onom. vii. 78.

Ποσειδῶνος. Cui Iſthmus et ludi Iſthmici ſacra erant.

§. 5. παρὰ θάλατταν. A. J. Br. Caſt. περί.

ἄκρων, Οἰνόην, τὸ ἐντετειχισμένον τεῖχος, αἱρεῖ, καὶ τὰ ἐνόντα ἔλαβε, καὶ πάντες δὲ οἱ στρατιῶται ἐν ταύτῃ τῇ ἡμέρᾳ πολλὰ τὰ ἐπιτήδεια ἐκ τῶν χωρίων ἐλάμβανον. οἱ δ᾽ ἐν τῷ Ἡραίῳ καταπεφευγότες ἐξῄεσαν, ἐπιτρέψοντες Ἀγησιλάῳ γνῶναι, ὅ τι βούλοιτο περὶ σφῶν. ὁ δ᾽ ἔγνω, ὅσοι μὲν τῶν σφαγέων ἦσαν, παραδοῦναι αὐτοὺς τοῖς φυγάσι, τὰ δ᾽ ἄλλα πάντα πραθῆναι. 6 Ἐκ τούτου δὴ ἐξῄει μὲν ἐκ τοῦ Ἡραίου πάμπολλα τὰ αἰχμάλωτα· πρεσβεῖαι δὲ ἄλλοθέν τε πολλαὶ παρῆσαν, καὶ ἐκ Βοιωτῶν ἧκον ἐρησόμενοι, τί ἂν ποιοῦντες εἰρήνης τύχοιεν. ὁ δὲ Ἀγησίλαος μάλα μεγαλοφρόνως τούτους μὲν οὐδ᾽ ὁρᾶν ἐδόκει, καίπερ Φάρακος τοῦ προξένου παρεστηκότος αὐτοῖς, ὅπως προσαγάγοι· καθήμενος δ᾽ ἐπὶ τοῦ περὶ λίμνην κυκλοτεροῦς οἰκοδομήματος, ἐθεώρει πολλὰ τὰ ἐξαγόμενα. τῶν δὲ Λακεδαιμονίων ἀπὸ τῶν ὅπλων σὺν τοῖς δόρασι παρηκολούθουν φύλακες τῶν αἰχμαλώτων, μάλα ὑπὸ τῶν παρόντων θεωρούμενοι· οἱ γὰρ εὐτυχοῦντες καὶ κρατοῦντες ἀεί πως ἀξιοθέατοι δοκοῦσιν εἶναι. 7 Ἔτι δὲ καθημένου Ἀγησιλάου, καὶ ἐοικότος ἀγαλλομένῳ τοῖς πεπραγμένοις, ἱππεύς τις προσήλαυνε, καὶ μάλα ἰσχυρῶς ἱδροῦντι τῷ

Οἰνόην. Piræi caſtellum. In Ageſilao eſt: τὰ τείχη ἃ ἀνατετείχιστο. Sed præfero hanc noſtram lectionem ἐνετείχιστο et quidem numero ſingulari.

ἐπιτρέψοντες. Margo Leoncl. ἐπιτρέψαντες. Recte, ut puto.

§. 6. ἐκ τούτου δή. Margo Leonclav. ἐκ τούτου δέ. De Heræo nunc pauca monenda. Plutarchus Cleomenis cap. 20. de Antigono Peloponneſum ingredi cupiente: ἐβουλεύετο γὰρ ἐπὶ τὴν ἄκραν ἀναζευγνῦναι τὸ Ἡραῖον, κᾀκεῖθεν εἰς Σικυῶνα πλοίοις περαιωθῆσαι τὴν δύναμιν. Livius xxxii. 23. Promontorium eſt adverſus Sicyonem, Junonis quam vocant Acræam, in altum excurrens; trajectus inde Corinthum ſeptem millia ferme paſſuum.—præſto fuere a Corintho lembi, qui præſidium id acceptum Lechæum trajicerent. Iterum Plutarchus in Cleomene c. 26. τὰς κλεῖς ἀξιῶν τοῦ Ἡραίου λαβεῖν, ὅπως ἀπαλλάττοιτο τῇ θεῷ θύσας—καὶ τῇ θεῷ θύσας ὑπὸ τὸν νεὼν κεκλεισμένον.

ἄλλοθέν τε πολλαί. A. J. Br. Caſt. omittunt πολλαί.

μεγαλοφρόνως. Plutarchus: οἰόμενος τότε συμφέρειν ἐνυβρίσαι.

Φάρακος. Lacedæmonii, quem navarchum memoravit Noſter.

λίμνην. τὴν λίμνην Steph. L. Sed Leoncl. emendabat τὸν λιμένα. Recte, puto.

ἀπὸ τῶν ὅπλων. E caſtris, vel e numero armatorum quidam, ut Morus interpretatur.

§. 7. ἱππεύς τις. Male A. J. Br. Caſt. ἱππεύς τε.

ἵππῳ. ὑπὸ πολλῶν δὲ ἐρωτώμενος, ὅ τι ἀγγέλλοι, οὐδενὶ ἀπεκρίνατο· ἀλλ' ἐπειδὴ ἐγγὺς ἦν τοῦ Ἀγησιλάου, καθαλόμενος ἀπὸ τοῦ ἵππου, καὶ προσδραμὼν αὐτῷ, μάλα σκυθρωπὸς ὤν, λέγει τὸ τῆς ἐν Λεχαίῳ μόρας πάθος. ὁ δ' ὡς ἤκουσεν, εὐθύς τε ἐκ τῆς ἕδρας ἀνεπήδησε, καὶ τὸ δόρυ ἔλαβε, καὶ πολεμάρχους καὶ πεντηκοστῆρας καὶ ξεναγοὺς καλεῖν τὸν κήρυκα ἐκέλευεν. 8 Ὡς δὲ συνέδραμον οὗτοι, τοῖς μὲν ἄλλοις εἶπεν, (οὐ γάρ πω ἠριστοπεποίηντο) ἐμφαγοῦσιν, ὅ τι δύναιντο, ἥκειν τὴν ταχίστην, αὐτὸς δὲ σὺν τοῖς περὶ δαμοσίαν ὑφηγεῖτο ἀνάριστος. καὶ οἱ δορυφόροι, τὰ ὅπλα ἔχοντες, παρηκολούθουν σπουδῇ, τοῦ μὲν ὑφηγουμένου, τῶν δὲ μετιόντων. ἤδη δ' ἐκπεπερακότος αὐτοῦ τὰ θερμὰ ἐς τὸ πλατὺ τοῦ Λεχαίου, προσελάσαντες ἱππεῖς τρεῖς ἀγγέλλουσιν, ὅτι οἱ νεκροὶ ἀνῃρημένοι εἴησαν. ὁ δ' ἐπεὶ τοῦτο ἤκουσε, θέσθαι κελεύσας τὰ ὅπλα, καὶ ὀλίγον χρόνον ἀναπαύσας, ἀπῆγε πάλιν τὸ στράτευμα ἐπὶ τὸ Ἥραιον· τῇ δὲ ὑστεραίᾳ τὰ αἰχμάλωτα διετίθετο.

9 Οἱ δὲ πρέσβεις τῶν Βοιωτῶν προσκληθέντες, καὶ ἐρωτώμενοι, ὅ τι ἥκοιεν, περὶ μὲν τῆς εἰρήνης οὐκέτι ἐμέμνηντο, εἶπον δὲ, ὅτι, εἰ μή τι κωλύοι, βούλοιντο ἐς τὸ ἄστυ πρὸς τοὺς σφετέρους στρατιώτας παρελθεῖν. ὁ δ' ἐπιγελάσας, ἀλλ' οἶδα μὲν, ἔφη, ὅτι οὐ τοὺς στρατιώτας ἰδεῖν βούλεσθε,

ἦν τοῦ. Articulum omittunt Aldina, Junt. Br. et Caſt.

ὁ δ' ὡς. Aldina ὅπ' ὡς. Junt. Br. Caſtal. ὅπως.

§. 8. ἠριστοποίηντο. A. J. Bryl. Caſtal. ἀριστοποίοιντο.

ἐμφαγοῦσιν. Cum ſignificatione celeritatis ponitur etiam in Anabaſi iv. 2. 1. iv. 5. 7. Ita ἐμπιεῖν Ariſtophanes in Pace verſu 1143. Exemplum ex Plutarchi Timol. cap. 12. laudavit Morus.

δαμοσίαν. Recte hoc Morus poſuit pro δαμασίαν. Sunt οἱ περὶ δαμοσίαν ſcil. σκηνὴν vel τράπεζαν τοῦ βασιλέως, qui in bello convictu regis utuntur et in comitatu ejus ſunt. Ita infra vi. 4. et Xenoph. de Republ. Laced. xiii. 1. xv. 4. Camerarius ad Xenophontem interpretatur attributos prætorio regis. Eoſdem videtur intelligere Plutarchus Cleomen. cap. 8. καὶ δύο τῶν συντρόφων Κλεομένους, οὓς Σαμόθρακας καλοῦσιν, ἐπηκολούθησαν στρατιώτας ὀλίγους ἔχοντες.

διετίθετο. Vendebat. Sic iterum infra cap. 8. §. 24.

§. 9. καὶ ἐρωτώμενοι. Caſtal. omiſit καί.

ἐμέμνηντο. Plutarchus addit: ἀνθυβρίζοντες.

ἀλλὰ (τί) τὸ εὐτύχημα τῶν φίλων ὑμῶν θεάσασθαι, πόσον τι γεγένηται. περιμένατε οὖν, ἔφη· ἐγὼ γὰρ αὐτὸς ὑμᾶς ἄξω· καὶ μᾶλλον, μετ' ἐμοῦ ὄντες, γνώσεσθε, ποῖόν τι τὸ γεγενημένον ἐστί. Καὶ οὐκ ἐψεύσατο, ἀλλὰ τῇ ὑστεραίᾳ 10 θυσάμενος ἦγε πρὸς τὴν πόλιν τὸ στράτευμα. καὶ τὸ μὲν τρόπαιον οὐ κατέβαλεν, εἰ δέ τι ἦν λοιπὸν δένδρον, κόπτων καὶ κάων ἀπεδείκνυεν, ὡς οὐδεὶς ἀντεξῄει. ταῦτα δὲ ποιήσας, ἐστρατοπεδεύσατο περὶ τὸ Λέχαιον· καὶ τοὺς Θηβαίους μέντοι πρέσβεις ἐς μὲν τὸ ἄστυ οὐκ ἀνῆγε, κατὰ θάλατταν δὲ ἐς Κρεῦσιν ἀπέπεμψεν. Ἅτε δὲ ἀήθους τοῖς Λακεδαιμονίοις γεγενημένης τῆς τοιαύτης συμφορᾶς, πολὺ πένθος ἦν κατὰ τὸ Λακωνικὸν στράτευμα, πλὴν ὅσων ἐτέθνασαν ἐν χώρᾳ ἢ υἱοὶ, ἢ πατέρες, ἢ ἀδελφοί· οὗτοι δὲ, ὥσπερ νικηφόροι, λαμπροὶ καὶ ἀγαλλόμενοι τῷ οἰκείῳ πάθει περιῄεσαν.

Ἐγένετο δὲ τὸ τῆς μόρας πάθος τρόπῳ τοιῷδε. οἱ 11 Ἀμυκλαῖοι ἀεί ποτε ἀπέρχονται ἐς τὰ Ὑακίνθια ἐπὶ τὸν παιᾶνα, ἐάν τε στρατοπεδευόμενοι τυγχάνωσιν, ἐάν τε ἄλ-

*ἀλλὰ* (*τί*). Quod in A. J. Bryl. Caſt. exſtat *τι*, reliquæ recte omiſerunt. Deinceps *ὑμῶν* pro vulgato *ὑμεῖς* ſcripſit ex Plutarchi Ageſilao c. 22.

§. 10. *οὐ κατέβαλεν*. Tropæorum ſanctitatem multis exemplis confirmavit Brodæus Miſc. v. 29.

*καὶ κάων*. A. J. Bryl. Caſt. *κυκλῶν*, unde Stephanus effecit cum Leoncl. *καὶ κλῶν*. Noſtra lectio debetur Kœppenio. *Κύκλῳ* ex Brodæi emendatione præferebat Morus. Sequentia ſic expreſſit Plutarchus: *ἐξελέγξας τοὺς Κορινθίους ἀμύνεσθαι μὴ τολμῶντας*.

[*κόπτων καὶ κυκλῶν*. E qua princc. editt. lectione fecerunt quidam, *κόπτων κύκλῳ*, quod parum placet. Equidem Stephano crediderim, *κ. καὶ κλῶν* ex libris a ſe ductum dicenti. Certe de hoc uſu cur dubitet Morus, non reperio. Quum ſæpe *κλᾷν* de vitibus ponatur, quidni item de aliarum arborum *ramis*, qui *defringuntur*, *detruncantur?* Nempe *κόπτειν* ad totam arborem pertinet; eſt *ἐκ ῥιζῶν ἀνασπᾷν*. In formula autem, *κόπτειν καὶ κάειν*, nonne poſterius pertinet ad *domos*, ad *tecta*, ad *ſegetes?* F. A. Wolfius.]

*οὐκ ἀνῆγε*. Legendum puto *οὐκ ἀνῆκε*, non permiſit ut introirent. Cæterum Margo Leonclav. *Θηβαίων* paulo antea habet.

§. 11. *οἱ Ἀμυκλαῖοι*. De more hoc Amycleenſium vide Valckenair ad Herodotum ix. 6. p. 601. De Hyacinthiis ſacris multi multa ſcripſerunt; de tempore anni nondum ſatis certo conſtat. Dodwellus æſtati aſſignabat; contra Pontedena in Antiquit. latinis et græcis Ep. 27. p. 270. verno tempore celebrata fuiſſe diſputat. De ceremoniis diei vide omnino Heynii mei Diſſertat. Antiquar. i. p. 97 ſeq.

*στρατοπεδευόμενοι*. A. Junt. Bryl. Caſtal. *στρατοπεδευσάμενοι*.

λως πως ἀποδημοῦντες. καὶ τότε δὴ τοὺς ἐκ πάσης τῆς στρατιᾶς Ἀμυκλαίους κατέλιπεν Ἀγησίλαος ἐν Λεχαίῳ. ὁ δ᾽ ἐκεῖ φρουρῶν πολέμαρχος τοὺς μὲν ἀπὸ τῶν συμμάχων φρουροὺς παρέταξε φυλάττειν τὸ τεῖχος, αὐτὸς δὲ σὺν τῇ τῶν ὁπλιτῶν καὶ τῇ τῶν ἱππέων μόρᾳ παρὰ τὴν πόλιν 12 τῶν Κορινθίων τοὺς Ἀμυκλαιεῖς παρῆγεν. Ἐπεὶ δὲ ἀπεῖχον ὅσον εἴκοσιν ἢ τριάκοντα στάδια τοῦ Σικυῶνος, ὁ μὲν πολέμαρχος σὺν τοῖς ὁπλίταις, οὖσιν ὡς ἑξακοσίοις, ἀπῄει πάλιν ἐπὶ τὸ Λέχαιον· τὸν δ᾽ ἱππαρμοστὴν ἐκέλευσε σὺν τῇ τῶν ἱππέων μόρᾳ, ἐπειδὴ προπέμψειαν τοὺς Ἀμυκλαιεῖς, μέχρις ὁπόσου αὐτοὶ κελεύοιεν, μεταδιώκειν. καὶ ὅτι μὲν πολλοὶ ἦσαν ἐν τῇ Κορίνθῳ καὶ πελτασταὶ καὶ ὁπλῖται, οὐδὲν ἠγνόουν· κατεφρόνουν δὲ, διὰ τὰς ἔμπροσθεν 13 τύχας,——μηδένα ἂν ἐπιχειρῆσαι σφίσιν. Οἱ δ᾽ ἐκ τῶν Κορινθίων τοῦ ἄστεος, Καλλίας τε ὁ Ἱππονίκου, τῶν Ἀθηναίων ὁπλιτῶν στρατηγῶν, καὶ Ἰφικράτης, τῶν πελταστῶν ἄρχων, καθορῶντες αὐτοὺς, καὶ οὐ πολλοὺς ὄντας, καὶ ἐρήμους καὶ πελταστῶν καὶ ἱππέων, ἐνόμισαν ἀσφαλὲς εἶναι ἐπιθέσθαι αὐτοῖς τῷ πελταστικῷ. εἰ μὲν γὰρ πορεύοιντο τῇ ὁδῷ, ἀκοντιζομένους ἂν αὐτοὺς ἐς τὰ γυμνὰ ἀπόλλυσθαι· εἰ δ᾽ ἐπιχειροῖεν διώκειν, ῥᾳδίως ἂν ἀποφυγεῖν 14 πελτασταῖς τοῖς ἐλαφροτάτοις τοὺς ὁπλίτας. Γνόντες δὲ ταῦτα, ἐξάγουσι. καὶ ὁ μὲν Καλλίας παρέταξε τοὺς ὁπλίτας, οὐ πόρρω τῆς πόλεως· ὁ δὲ Ἰφικράτης, λαβὼν

§. 12. τύχας. Post hæc οἰόμενοι inserit Pirkheimeri versio et Leoncl.

[Post τύχας nihil deest. Κατεφρόνουν est καταφρονητικῶς ᾤοντο. Significatio verbi καταφρονεῖν prægnans est, quam dicimus in arte, habetque vim *cum contemtu conjunctæ persuasionis* aut *opinationis*, unde vel infinitivus sequi potest, vel ὅτι. Cf. Valcken. ad Herodot. p. 27. et adde Xenoph. Sympos. i. 5. *F. A. Wolfius.*]

§. 13. Καλλίας. Hunc cum Iphicrate veluti mercenariorum ducem ex Philochoro et Androtione nominat Harpocratio in voce ξενικὸν, ubi Photius Calliclem habet.

§. 14. πόλεως. Corinthum. Nam redeuntem ex comitatu Amyclæorum moram Polemarchi aggreditur Iphicrates. Infra §. 17. οἱ ἀπὸ Λεχαίου dici videntur milites Calliæ. Diodorus xiv. 91. rem ita narrat, sed nimis mature sub Olymp. 96. 4. et statim post occupatum ab exsulibus Lechæ-

τοὺς πελταστὰς, ἐπέθετο τῇ μόρᾳ. οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ ἠκοντίζοντο, καὶ ὁ μέν τις ἐτέτρωτο, ὁ δὲ καὶ ἐπεπτώκει, τούτους μὲν ἐκέλευον τοὺς ὑπασπιστὰς ἀραμένους ἀποφέρειν ἐς Λέχαιον· (οὗτοι καὶ μόνοι τῆς μόρας τῇ ἀληθείᾳ ἐσώθησαν·) ὁ δὲ πολέμαρχος ἐκέλευσε τὰ δέκα ἀφ' ἥβης 15 ἐπιδιῶξαι τοὺς προειρημένους. ὡς δὲ ἐδίωκον, ᾕρουν τε οὐδένα ἐξ ἀκοντίου βολῆς, ὁπλῖται ὄντες πελταστάς· (καὶ γὰρ ἀναχωρεῖν αὐτοὺς ἐκέλευε, πρὶν τοὺς ὁπλίτας ὁμοῦ γίγνεσθαι·) ἐπεὶ δὲ ἀνεχώρουν ἐσπαρμένοι, ἅτε διώξαντες, ὡς τάχους ἕκαστος εἶχεν, ἀναστρέφοντες οἱ περὶ τὸν Ἰφικράτην, οἵ τ' ἐκ τοῦ ἐναντίου, πάλιν ἠκόντιζον, καὶ ἄλλοι, ἐκ πλαγίου παραθέοντες, ἐς τὰ γυμνά. καὶ εὐθὺς μὲν ἐπὶ τῇ πρώτῃ διώξει κατηκόντισαν ἐννέα ἢ δέκα αὐτῶν· ὡς δὲ τοῦτ' ἐγένετο, πολὺ ἤδη θρασύτερον ἐπέκειντο. Ἐπεὶ δὲ 16 κακῶς ἔπασχον, πάλιν ἐκέλευσεν ὁ πολέμαρχος διώκειν τὰ πεντεκαίδεκα ἀφ' ἥβης. ἀναχωροῦντες δὲ, ἔτι πλείονες αὐτῶν, ἢ τὸ πρόσθεν, ἔπεσον. ἤδη δὲ τῶν βελτίστων ἀπολωλότων, οἱ ἱππεῖς αὐτοῖς παραγίγνονται, καὶ σὺν τούτοις αὐτῶν δίωξιν ἐποιήσαντο. ὡς δ' ἐνέκλιναν οἱ πελτασταὶ, ἐν τούτῳ κακῶς οἱ ἱππεῖς ἐπέθεντο· οὐ γὰρ, ἕως ἀπέκτειναν τινὰς αὐτῶν, ἐδίωξαν· ἀλλὰ ξὺν τοῖς ἐκδρόμοις ἰσο-

um: *μετὰ δέ τινας ἡμέρας τῶν Λακεδαιμονίων μέρος τῆς στρατιᾶς διῄει διὰ τῆς Κορινθίας χώρας· οἷς Ἰφικράτης καί τινες τῶν συμμάχων ἐπιπεσόντες τοὺς πλείστους ἀνεῖλον.* Poftea expeditionem in Phliafios fubjungit.

*ὑπασπιστάς.* Infra c. 8. 39. *παρὰ τοῦ ὑπασπιστοῦ λαβὼν τὴν ἀσπίδα.* Cf. Perizonium ad Æliani V. H. xi. 9. quem laudavit Morus.

*οὗτοι καί.* Margo Leonclavii *καὶ οὗτοι μόνοι.*

§. 15. *ἐπιδιῶξαι.* Margo Leonclav. *ἀποδιῶξαι.*

*τοὺς ὁπλίτας.* Margo Leoncl. *τοῖς ὁπλίταις.* Contra vulgatum Morus interpretatur: antequam milites gravis armaturæ prope adeffent. Recte! Callias enim aberat adhuc.

*κατηκόντισαν.* Margo Leonclav. *κατηκόντιζον.*

§. 16. *αὐτῶν δίωξιν.* Margo L. et St. *αὖθις δίωξιν.* Quod equidem probo.

*ἐκδρόμοις.* Scil. *τῶν ὁπλίτων.* Non ultra lineam hoplitarum, qui ex acie procurrerant, hoftem repulfuri, excurrerunt ufque eo, dum hoftem aliquem occiderint; fed, fervata eadem cum hoplitis linea, intra idem fpatium femper infequebantur et recedebant equites. Habet *ἐκδρόμους* etiam Thucydides iv. 124. 127. et Pollux Onom. i. 219. iii. 148. In fequentibus *καὶ αὖθις* iterum iterumque interpretatur Morus, vitium tamen aliquod lectionis fufpicatus.

μέτωποι καὶ ἐδίωκον, καὶ ἐπέστρεφον. ποιοῦντες δὲ καὶ πάσχοντες τὰ ὅμοια τούτοις καὶ αὖθις, αὐτοὶ μὲν ἀεὶ ἐλάττους τε καὶ μαλακώτεροι ἐγίγνοντο, οἱ δὲ πολέμιοι θρασύτεροί 17 τε, καὶ ἀεὶ πλείους οἱ ἐγχειροῦντες. Ἀποροῦντες δὴ συνίστανται ἐπὶ βραχύν τινα γήλοφον, ἀπέχοντα τῆς μὲν θαλάττης ὡς δύο στάδια, τοῦ δὲ Λεχαίου ὡς ἓξ ἢ ἑπτακαίδεκα. αἰσθόμενοι δὲ οἱ ἀπὸ τοῦ Λεχαίου, ἐσβάντες ἐς πλοιάρια, παρέπλεον, ἕως ἐγένοντο κατὰ τὸν γήλοφον. οἱ δ᾽ ἀποροῦντες ἤδη, ὅτι ἔπασχον μὲν κακῶς καὶ ἀπέθνησκον, ποιεῖν δὲ οὐδὲν ἐδύναντο, πρὸς δὲ τούτοις, ὁρῶντες καὶ τοὺς ὁπλίτας ἐπιόντας, ἐγκλίνουσι. καὶ οἱ μὲν πίπτουσιν αὐτῶν ἐς τὴν θάλατταν, ὀλίγοι δέ τινες μετὰ τῶν ἱππέων ἐς Λέχαιον διεσώθησαν. ἐν πάσαις δὲ ταῖς μάχαις καὶ τῇ φυγῇ 18 ἀπέθανον περὶ πεντήκοντα καὶ διακοσίους. Καὶ ταῦτα μὲν οὕτως ἐπέπρακτο.

Ἐκ δὲ τούτου ὁ Ἀγησίλαος τὴν μὲν σφαλεῖσαν μόραν ἔχων ἀπῄει, ἄλλην δὲ κατέλιπεν ἐν τῷ Λεχαίῳ. διϊὼν δὲ ἐπ᾽ οἴκου, ὡς μὲν ἐδύνατο ὀψιαίτατα κατήγετο ἐς τὰς πόλεις, ὡς δ᾽ ἐδύνατο πρωϊαίτατα ἐξωρμᾶτο. παρὰ δὲ Μαντίνειαν, ἐξ Ὀρχομενοῦ ὄρθρου ἀναστάς, ἔτι σκοτιαῖος παρῆλθεν. οὕτω χαλεπῶς ἂν ἐδόκουν οἱ στρατιῶται τοὺς 19 Μαντινέας, ἐφηδομένους τῷ δυστυχήματι, θεάσασθαι. Ἐκ

ἐλάττους τε. A. J. Br. Caftal. omittunt τε.

§. 17. ἀποροῦντες δή. St. Leonclav. δέ.

οἱ ἀπὸ τοῦ Λεχαίου. Debent effe ὁπλῖται, ut ex fequentibus apparet; igitur Athenienfes cum Callia, quos fupra Callias §. 14. οὐ πόῤῥω τῆς πόλεως collocaverat. At Lacedæmonii Lechæum tenebant, ut conftat ex §. 11. igitur οἱ ἀπὸ τοῦ Λεχαίου, vix potuerunt effe in Lechæo, fed ad Lechæum, fi fuerunt Athenienfes aut eorum focii. Omnino bellum hoc Corinthiacum obfcuravit non modo Xenophontis ipfius oratio, paulo negligentior et concifa nimis, fed et locorum fitus ignorantia, quam equidem profiteri non erubefco.

πίπτουσιν. Margo Leoncl. ἐμπίπτουσιν.

§. 18. σκοτιαῖος. Ita A. J. Br. Caftal. σκοταῖος St. et Plutarchus Agefil. cap. 22. Atque hanc pofteriorem formam habet Xenophon Anabaf. ii. 39.

θεάσασθαι. Morus θεάσεσθαι legendum fufpicabatur. Sed aoriftus cum ἂν fibi juncto vim habet futuri temporis.

§. 19, ἐκ τούτου δέ. Ita Morus fcripfit pro τε.

τούτου δὲ μάλα καὶ τἄλλα ἐπετύγχανεν Ἰφικράτης. καθεστηκότων γὰρ φρουρῶν ἐν Σιδοῦντι μὲν καὶ Κρομμυῶνι ὑπὸ Πραξίτου, ὅτε ἐκεῖνος εἷλε τὰ τείχη ταῦτα, ἐν Οἰνόῃ δὲ ὑπὸ Ἀγησιλάου, ὅτε περ τὸ Πείραιον ἑάλω, πάνθ' εἷλε ταῦτα τὰ χωρία. τὸ μέντοι Λέχαιον ἐφρούρουν οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι. οἱ φυγάδες δὲ τῶν Κορινθίων, οὐκέτι πεζῇ παριόντες ἐκ Σικυῶνος, διὰ τὴν τῆς μόρας δυστυχίαν, ἀλλὰ παραπλέοντες, καὶ ἐντεῦθεν ὁρμώμενοι, πράγματα εἶχόν τε καὶ παρεῖχον τοῖς ἐν τῷ ἄστει.

## ΚΕΦ. ϛʹ.

ΜΕΤΑ δὲ τοῦτο οἱ Ἀχαιοὶ, ἔχοντες Καλυδῶνα, ἣ τὸ παλαιὸν Αἰτωλίας ἦν, καὶ πολίτας πεποιημένοι τοὺς Καλυδωνίους, φρουρεῖν ἠναγκάζοντο ἐν αὐτῇ. οἱ γὰρ Ἀκαρνᾶνες ἐπεστράτευον, καὶ τῶν Ἀθηναίων τε καὶ Βοιωτῶν ξυμπαρῆσάν τινες αὐτοῖς, διὰ τὸ ξυμμάχους εἶναι. πιεζόμενοι οὖν ὑπ' αὐτῶν οἱ Ἀχαιοὶ, πρέσβεις πέμπουσιν ἐς τὴν Λακεδαίμονα· οἱ δ' ἐλθόντες ἔλεγον, ὅτι οὐ δίκαια πάσχοιεν ὑπὸ τῶν Λακεδαιμονίων. Ἡμεῖς γὰρ, ἔφασαν, ὑμῖν, ὦ 2 ἄνδρες, ὅπως ἂν ὑμεῖς παραγγέλλητε, στρατευόμεθα, καὶ

Ol. 97. 1/2.

Σιδοῦντι. Ita recte Br. Castal. Leonclaviana secunda pro Σινδοῦντι.

ἐντεῦθεν. An semper ex Sicyone maritimo itinere transgressi, an potius ex Lechæo cum Lacedæmoniis? Cæterum post hæc Iphicratem Corinthii dimiserunt, ut Noster obiter narrat infra viii. 34. quem locum huc in ordinem retraham. Narrat, Iphicratem cum peltastis in Chersonesum missum fuisse: οἱ δὲ πλεῖστοι αὐτῶν ἦσαν οὓς ἐν Κορίνθῳ ἦρξεν· ἐπεὶ γὰρ οἱ Ἀργεῖοι τὴν Κόρινθον Ἄργος ἐπεποίηντο, οὐδὲν ἔφασαν αὐτῶν δεῖσθαι. καὶ γὰρ ἀπεκτόνει τινὰς τῶν ἀργολιζόντων. καὶ οὕτως ἀπελθὼν Ἀθήναζε οἴκοι ἐτύγχανεν ὤν. De abitu Iphicratis multo maturius, quam par erat, narrat Diodorus xiv. 92. τούτων πραχθέντων μετὰ τῶν ὅπλων πανδημεὶ στρατεύσαντες (Argivi) ἐς Κόρινθον, τήν τε ἀκρόπολιν κατελάβοντο καὶ τὴν πόλιν ἐξιδιοποιησάμενοι τὴν Κορινθίων χώραν Ἀργείαν ἐποίησαν. ἐπεβάλετο δὲ καὶ Ἰφικράτης ὁ Ἀθηναῖος καταλαβέσθαι τὴν χώραν ἐπιτηδείαν οὖσαν εἰς τὴν τῆς Ἑλλάδος ἡγεμονίαν· τοῦ δὲ δήμου κωλύσαντος, οὗτος μὲν ἀπέθετο τὴν ἀρχὴν, οἱ δὲ Ἀθηναῖοι Χαβρίαν ἀντ' αὐτοῦ στρατηγὸν εἰς τὴν Κόρινθον ἐξέπεμψαν. Hæc ille sub Olympiade 96. 4.

§. 1. Αἰτωλία. Leoncl. emendabat Αἰτωλίας. Vulgatum defendit Morus.

τὴν Λακεδαίμονα. Articulum neglexit Leoncl.

§. 2. παραγγέλλητε. Hoc posuit Morus pro vulgato παραγγέλητε. Præterea paulo antea ὅποι ἂν legendum censeo.

στρατευόμεθα. Hoc ex A. J. Br. Cast. revocavit Morus pro συστρατευόμεθα.

ἑπόμεθα, ὅπου ἂν ἡγῆσθε· ὑμεῖς δὲ, πολιορκουμένων ἡμῶν ὑπὸ Ἀκαρνάνων καὶ τῶν ξυμμάχων αὐτοῖς, Ἀθηναίων καὶ Βοιωτῶν, οὐδεμίαν ἐπιμέλειαν ποιεῖσθε. οὐκ ἂν οὖν δυναίμεθα ἡμεῖς, τούτων οὕτω γιγνομένων, ἀντέχειν· ἀλλ' ἢ ἐάσαντες τὸν ἐν Πελοποννήσῳ πόλεμον, διαβάντες πολεμήσομεν Ἀκαρνᾶσί τε καὶ τοῖς ξυμμάχοις αὐτῶν, ἢ εἰρήνην 3 ποιησόμεθα, ὁποίαν τινὰ δυνώμεθα. Ταῦτα δ' ἔλεγον, ὑπαπειλοῦντες τοῖς Λακεδαιμονίοις ἀπαλλαγήσεσθαι τῆς ξυμμαχίας, εἰ μὴ αὐτοῖς ἀντεπικουρήσουσι. τούτων δὲ λεγομένων, ἔδοξε τοῖς ἐφόροις καὶ τῇ ἐκκλησίᾳ, ἀναγκαῖον εἶναι στρατεύεσθαι μετὰ τῶν Ἀχαιῶν ἐπὶ τοὺς Ἀκαρνᾶνας. καὶ ἐκπέμπουσι τὸν Ἀγησίλαον, δύο μόρας ἔχοντα, καὶ τῶν ξυμμάχων τὸ μέρος. οἱ μέντοι Ἀχαιοὶ πανδημεὶ ξυνεστρατεύοντο. 4 Ἐπεὶ δὲ διέβη ὁ Ἀγησίλαος, πάντες μὲν οἱ ἐκ τῶν ἀγρῶν Ἀκαρνᾶνες ἔφυγον ἐς τὰ ἄστη, πάντα δὲ τὰ βοσκήματα ἀπεχώρησε πόῤῥω, ὅπως μὴ ἁλίσκηται ὑπὸ τοῦ στρατεύματος. ὁ δ' Ἀγησίλαος, ἐπειδὴ ἐγένετο ἐν τοῖς ὁρίοις τῆς πολεμίας, πέμψας ἐς Στρατὸν παρὰ τὸ κοινὸν τῶν Ἀκαρνάνων, εἶπεν, ὡς, εἰ μὴ, παυσάμενοι τῆς πρὸς Βοιωτοὺς καὶ Ἀθηναίους ξυμμαχίας, ἑαυτοὺς καὶ τοὺς ξυμμάχους αἱρήσονται, δῃώσοι πᾶσαν τὴν γῆν αὐτῶν ἐφεξῆς, 5 καὶ παραλείψοι οὐδέν. Ἐπεὶ δὲ οὐκ ἐπείθοντο, οὕτως ἐποίει· καὶ κόπτων ξυνεχῶς τὴν χώραν, οὐ προῄει πλέον τῆς ἡμέρας [ἢ δέκα] ἢ δώδεκα σταδίων. Οἱ μὲν οὖν

ἡγῆσθε. A. J. Br. Caft. ἡγεῖσθε.

διαβάντες. Margo Leonclav. addit πάντες.

ὁποίαν τινά. In St. Leoncl. eft ὁποίαν ἄν. Sed in Œconomico Nofter xii. 5. ὁποίας τινὸς οὖν ἐπιστήμης.

§. 3. τοῖς ἐφόροις. St. et Leonclav. τοῖς τ' ἐφόροις.

§. 4. ἀγρῶν. Habitaffe Acarnanes in parvis et bene munitis a natura χωρίοις difperfos, nec in urbes plures coiiffe ante Caffandrum, monet Diodorus xix. p. 370.

παρὰ τὸ κοινόν. Margo Leonclavii πρός. Stratum fuiffe maximum Acarnaniæ oppidum, teftatur Thucydides libro ii. Concilium populi ibi fuiffe, folus monet Xenophon. Cf. Palmerii Græcia antiqua p. 385.

§. 5. κόπτων. Polyænus ii. 1. 10. ἐκέλευσεν ἐκ ῥιζῶν ἀνασπᾷν τὰ δένδρα.

[ἢ δέκα]. Abfunt hæc ab A. J. Br. Caft.

Ἀκαρνᾶνες, ἡγησάμενοι ἀσφαλὲς εἶναι διὰ τὴν βραδυτῆτα τοῦ στρατεύματος, τά τε βοσκήματα κατεβίβαζον ἐκ τῶν ὀρῶν, καὶ τῆς χώρας τὰ πλεῖστα εἰργάζοντο. Ἐπειδὴ δὲ 6 ἐδόκουν τῷ Ἀγησιλάῳ πάνυ ἤδη θαῤῥεῖν, ἡμέρᾳ πέμπτῃ ἢ ἕκτῃ καὶ δεκάτῃ, ἀφ' ἧς εἰσέβαλε, θυσάμενος πρωῒ, διεπορεύθη πρὸ δείλης ἑξήκοντα καὶ ἑκατὸν στάδια ἐπὶ τὴν λίμνην, περὶ ἣν τὰ βοσκήματα τῶν Ἀκαρνάνων σχεδὸν πάντα ἦν, καὶ ἔλαβε παμπληθῆ καὶ βουκόλια, καὶ ἱπποφόρβια, καὶ ἄλλα παντοδαπὰ βοσκήματα, καὶ ἀνδράποδα πολλά. λαβὼν δὲ, καὶ μείνας αὐτοῦ τὴν ἐπιοῦσαν ἡμέραν, διεπώλει τὰ αἰχμάλωτα. Τῶν μέντοι Ἀκαρνάνων 7 πολλοὶ πελτασταὶ ἦλθον, καὶ, πρὸς τῷ ὄρει σκηνοῦντος τοῦ Ἀγησιλάου, βάλλοντες καὶ σφενδονῶντες ἔπασχον μὲν οὐδὲν, κατεβίβασαν δὲ ἐς τὸ ὁμαλὸν τὸ στρατόπεδον ἀπὸ τῆς ἀκρωνυχίας τοῦ ὄρους, καίπερ ἤδη περὶ δεῖπνον παρασκευαζόμενον. ἐς δὲ τὴν νύκτα οἱ μὲν Ἀκαρνᾶνες ἀπῆλθον, οἱ δὲ στρατιῶται φυλακὰς καταστησάμενοι ἐκάθευ-

§. 6. *πρὸ δείλης.* Polyænus: *ὁ δὲ ρξ' στάδια ὀλίγῳ μέρει τῆς νυκτὸς διαδραμὼν, ἀρχομένης ἕω καταλαβὼν ἐν τῷ πεδίῳ τοὺς Ἀκαρνᾶνας.* Videtur igitur Polyænus, ſi is h. l. excerpſit, *πρὸ δείλης* conjunxiſſe cum *θυσάμενος* et noctu iter factum fuiſſe voluit intelligi.

*τὴν λίμνην.* Videtur Ageſil. navibus tranſvexiſſe copias ſuas. Ideo §. 14. narrat Noſter, rediiſſe eum pedeſtri itinere per Ætoliam; et paulo poſt addit: *τὸν ἐκ Καλυδῶνος ἔκπλουν ἐς Πελοπόννησον.* voluiſſe igitur ex Calydone itinere maritimo per Acheloi oſtia ſubvectum in mare redire, ſed non potuiſſe. Unde Acarnaniam invaſerit, et quouſque progreſſus fuerit Ageſilaus, nuſquam annotatum reperio; hinc loci obſcuritas. Sed ſi cum Palmerio in Græcia antiqua p. 396. hic et infra §. 8. *Λιμναίαν* ſcripſeris, ſaltem regionem illam interpreteris, in qua pagus Limnæa ad litus dextrum ſinus Ambracii e regione Strati ſitus erat, cui imminebat mons Thyamus, obſcuritatis partem aliquam diſpulſam putes. Sed, dum ignoramus, unde profectus Ageſilaus Acarnanes fuerit adortus, in tenebris micamus.

§. 7. *σφενδονῶντες.* A. J. Br. Caſt. *σφενδονιῶντες.*

[Pro *ἔπασχον μὲν οὐδὲν*, conjectura Kœppenii, *ἔπραττον μὲν οὐδὲν*, ad ſententiam quidem loci non mala eſt, etſi emendandi rationes nunc ignoro. At forſan Xenophon ſcripſit, *ἔβλαπτον μὲν οὐδέν.* *F. A. Wolfius.*]

*κατεβίβασαν.* Coegerunt Ageſilaum ex caſtris, ſub ipſo monte poſitis, egredi et in planum deſcendere. Hic verborum ſenſus apertus eſt. Aberravit tamen ab eo Morus, et male comparavit locum Polyæni. Magis etiam aberravit Kœppen, qui *ἔπραττον οὐδὲν* legere jubebat.

*ὁμαλόν.* Margo Leoncl. *ὁμαλές.* Deinceps Junt. Br. Caſt. *στράτευμα.* Sola Ald. habet *στρατόπεδον.*

*παρασκευαζόμενον.* Emendationem Leoncl. pro *παρασκευαζομένου* recepit etiam Morus.

8 δον. Τῇ δὲ ὑστεραίᾳ ἀπῆγεν ὁ Ἀγησίλαος τὸ στράτευμα. καὶ ἦν μὲν ἡ ἔξοδος ἐκ τοῦ περὶ τὴν λίμνην λειμῶνός τε καὶ πεδίου στενὴ, διὰ τὰ κύκλῳ περιέχοντα ὄρη· καταλαβόντες δὲ οἱ Ἀκαρνᾶνες, ἐκ τῶν ὑπερδεξίων ἔβαλλόν τε καὶ ἠκόντιζον, καὶ ὑποκαταβαίνοντες ἐς τὰ κράσπεδα τῶν ὀρῶν, προσέκειντο, καὶ πράγματα παρεῖχον, ὥστε οὐκέτι ἐδύνατο 9 τὸ στράτευμα πορεύεσθαι. Ἐπιδιώκοντες δ' ἀπὸ τῆς φάλαγγος οἵ τε ὁπλῖται καὶ οἱ ἱππεῖς τοὺς ἐπιτιθεμένους, οὐδὲν ἔβλαπτον· ταχὺ γὰρ ἦσαν, ὁπότε ἀποχωροῖεν, πρὸς τοῖς ἰσχυροῖς οἱ Ἀκαρνᾶνες. χαλεπὸν δὲ ἡγησάμενος ὁ Ἀγησίλαος, διὰ τοῦ στενοπόρου ἐξελθεῖν ταῦτα πάσχοντας, ἔγνω διώκειν τοὺς ἐκ τῶν εὐωνύμων προσκειμένους, μάλα πολλοὺς ὄντας· εὐβατώτερον γὰρ ἦν τοῦτο τὸ ὄρος καὶ ὁπλί-10 ταις καὶ ἵπποις. Καὶ ἐν ᾧ μὲν ἐσφαγιάζετο, μάλα κατεῖχον βάλλοντες καὶ ἀκοντίζοντες οἱ Ἀκαρνᾶνες, καὶ [οὐκ] ἐγγὺς προσιόντες πολλοὺς ἐτίτρωσκον. ἐπεὶ δὲ παρήγγειλεν, ἔθει μὲν ἐκ τῶν ὁπλιτῶν τὰ πεντεκαίδεκα ἀφ' ἥβης, ἤλαυνον δὲ οἱ ἱππεῖς, αὐτὸς δὲ ξὺν τοῖς ἄλλοις 11 ἠκολούθει. Οἱ μὲν οὖν ὑποκαταβεβηκότες τῶν Ἀκαρνάνων καὶ ἀκροβολιζόμενοι ταχὺ ἐνέκλιναν, καὶ ἀπέθνησκον φεύγοντες πρὸς τὸ ἄναντες· ἐπὶ μέντοι τοῦ ἀκροτάτου οἱ ὁπλῖται ἦσαν τῶν Ἀκαρνάνων παρατεταγμένοι, καὶ τῶν πελταστῶν τὸ πολὺ, καὶ ἐνταῦθα ἐπέμενον, καὶ τά τε ἄλλα βέλη ἠφίεσαν, καὶ τοῖς δόρασιν ἐξακοντίζοντες ἱππέας τε κατέτρωσαν, καὶ ἵππους τινὰς ἀπέκτειναν. ἐπεὶ μέντοι μικροῦ ἔδεον ἤδη ἐν χερσὶ τῶν Λακεδαιμονίων ὁπλιτῶν εἶναι,

§. 8. ἔβαλλον. A. J. Br. Caſtal. ἔβαλον. In Ageſilao ii. 20. τὰ ὑπερδέξια dixit τὰ ὑπὲρ κεφαλῆς αὐτῶν.

§. 9. γὰρ ἦσαν. Vulgatum ᾔεσαν recte emendavit Morus.

πάσχοντας. Margo Leonclav. πάσχοντα.

§. 10. κατεῖχον. Inſtabant, urgebant. Plutarch. Arati c. 29. κατεῖχε διώκων. Cyrop. i. 4. 22. καὶ ἰσχυρὰν τὴν φυγὴν τοῖς πολεμίοις ἰσχυρῶς κατέχων ἐποίει.

[οὐκ] ἐγγύς. Omittunt ἐκ St. Leoncl. Recte puto. Igitur Morus incluſit.

ἐνέκλιναν, καὶ ἀπέθανον αὐτῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ περὶ τριακοσίους. Τούτων δὲ γενομένων, ὁ Ἀγησίλαος τρόπαιον 12 ἐστήσατο. καὶ τὸ ἀπὸ τούτου, περιϊὼν κατὰ τὴν χώραν, ἔκοπτε καὶ ἔκαε. πρὸς ἐνίας δὲ τῶν πόλεων καὶ προσέβαλεν, ὑπὸ τῶν Ἀχαιῶν ἀναγκαζόμενος· οὐ μὴν εἷλέ γε οὐδεμίαν. ἡνίκα δὲ ἤδη ἐπεγίγνετο τὸ μετόπωρον, ἀπῄει ἐκ τῆς χώρας. Οἱ δὲ Ἀχαιοὶ πεποιηκέναι τε οὐδὲν ἐνόμιζον αὐτὸν, 13 ὅτι πόλιν οὐδεμίαν προσειλήφει, οὔτε ἑκοῦσαν οὔτε ἄκουσαν, ἐδέοντό τε, εἰ μηδὲν ἄλλο, ἀλλὰ τοσοῦτόν γε χρόνον καταμεῖναι αὐτὸν, ἕως ἂν τὸν σπορητὸν διακωλύσῃ τοῖς Ἀκαρνᾶσιν. ὁ δὲ ἀπεκρίνατο, ὅτι τὰ ἐναντία λέγοιεν τοῦ ξυμφέροντος. ἐγὼ μὲν γὰρ, ἔφη, στρατεύομαι πάλιν δεῦρο ἐς τὸ ἐπιὸν θέρος· οὗτοι δὲ, ὅσῳ ἂν πλείω σπείρωσι, τοσούτῳ μᾶλλον τῆς εἰρήνης ἐπιθυμήσουσι. Ταῦτα δὲ εἰπὼν, 14 ἀπῄει πεζῇ δι' Αἰτωλίας τοιαύτας ὁδοὺς, ἃς οὔτε πολλοὶ, οὔτε ὀλίγοι δύναιντ' ἂν ἀκόντων Αἰτωλῶν πορεύεσθαι· ἐκεῖνον μέντοι εἴασαν διελθεῖν· ἤλπιζον γὰρ, Ναύπακτον αὐτοῖς ξυμπράξειν ὥστ' ἀπολαβεῖν. ἐπεὶ δὲ ἐγένετο κατὰ τὸ Ῥίον, ταύτῃ διαβὰς, οἴκαδε ἀπῆλθε· κατὰ γὰρ τὸν ἐκ Καλυδῶνος ἔκπλουν ἐς Πελοπόννησον οἱ Ἀθηναῖοι ἐκώλυον τριήρεσιν, ὁρμώμενοι ἐξ Οἰνιαδῶν.

§. 13. *πεποιηκέναι τι.* Mihi nefcio quid hiulci habere videtur hoc *τι* cum fequente poft *ἐδέοντο.* Deinceps Margo Leonclav. *εἰ μήτι.*

*τὸ ἐπιὸν θέρος.* Plutarchus Agef. 22. *εἰς ὥρας.* Idem Attici dicunt *εἰς νέωτα.* Ceterum hanc narrationis partem excerpfit Polyænus ii. 1. 1.

§. 14. *Ναύπακτον.* Eam tum Achæi tenuiffe videntur cum Calydone et aliis. Hinc Epaminondas, cum in Achæos duxiffet exercitum, *Δύμην καὶ Ναύπακτον καὶ Καλυδῶνα φρουρουμένην ὑπ' Ἀχαιῶν ἠλευθέρωσεν,* auctore Diodoro xv. 75. fub Olymp. 103. 2.

*Ῥίον.* Promontorium geminum, utrumque fibi oppofitum; quod in Ætolia eft, dici folet Antirrhium, alterum Peloponnefiacum. Fretum interpofitum Græciam et Peloponnefum dividit.

*κατὰ γὰρ τόν.* Ita recte A. J. Br. Caftal. quod omifit annotare Morus, qui lectionem *τὰ γὰρ τὸν* recepit vitiofam. In margine L. eft *καὶ γὰρ τόν.* In Leonclaviana poftrema rectum eft *κατά.* Male Caft. deinceps *ἐν Καλυδῶνος.*

[*Κατά τι κωλύειν.* Hanc conftructionem nondum novi. Prætuliffem, *καὶ γὰρ τόν.* Paullo poft de voc. *περιστρατοπεδευσάμενοι* vellem cauffam addidiffes mutandi. *F. A. Wolfius.*]

*Οἰνιαδῶν.* In Plutarchi Pericle, cap. 19. de Acarnania: *καὶ κατέκλεισεν Οἰνιάδας εἰς τὸ τεῖχος,* ubi legendum

## ΚΕΦ. Ζ.

Ol. 97. $\frac{2}{3}$. ΠΑΡΕΛΘΟΝΤΟΣ δὲ τοῦ χειμῶνος, ὥσπερ ὑπέσχετο τοῖς Ἀχαιοῖς, εὐθὺς ἀρχομένου τοῦ ἦρος πάλιν φρουρὰν ἔφαινεν ἐπὶ τοὺς Ἀκαρνᾶνας. οἱ δὲ αἰσθόμενοι, καὶ νομίσαντες, διὰ τὸ ἐν μεσογείᾳ σφίσι τὰς πόλεις εἶναι, ὁμοίως ἂν πολιορκεῖσθαι ὑπὸ τῶν τὸν σῖτον φθειρόντων, ὥσπερ εἰ περιστρατοπεδευσάμενοι πολιορκοῖντο, ἔπεμψαν πρέσβεις ἐς τὴν Λακεδαίμονα, καὶ εἰρήνην μὲν πρὸς τοὺς Ἀχαιούς, ξυμμαχίαν δὲ πρὸς τοὺς Λακεδαιμονίους ἐποιήσαντο. καὶ τὰ μὲν περὶ Ἀκαρνᾶνας οὕτω διεπέπρακτο.

2 Ἐκ δὲ τούτου τοῖς Λακεδαιμονίοις τὸ μὲν ἐπ᾽ Ἀθηναίους ἢ Βοιωτοὺς στρατεύειν οὐκ ἐδόκει ἀσφαλὲς εἶναι, ὄπισθεν καταλιπόντας ὅμορον τῇ Λακεδαίμονι πολεμίαν οὕτω καὶ μεγάλην τὴν τῶν Ἀργείων πόλιν· εἰς δὲ τὸ Ἄργος φρουρὰν φαίνουσιν. ὁ δὲ Ἀγησίπολις, ἐπεὶ ἔγνω, ὅτι εἴη αὐτῷ

Οἰνιάδας. Œniades, inimicos Acarnanibus, memorat Thucydides ii. sub finem, ubi Scholiastes suo tempore audiisse ait Dragamesten. In Polybii iv. 65. Οἰνιάδαι Ἀχαιοὶ Ætolis attribuuntur; sed nuperus Editor nomen Ἀχαιοὺς, velut ex verbis ἐπ᾽ Ἀχελώῳ ortum, cum Reiskio delevit.

§. 1. Ἔφαινεν. Sc. Agesilaus, etsi non satis proprie de solo Agesilao dicitur. Alibi Ephori interdum Lacedæmonii φαίνειν φρουρὰν dicuntur.

μεσογείᾳ. Usitatum alibi μεσογαίᾳ. Acarnania a sinu Ambracio usque juxta mare Ionium littoralem tractum obtinet usque ad Acheloum amnem. Urbes igitur a littore remotas in media terra continente habuit versus montes Ætoliam separantes. Palmerii Græcia antiqua hunc Xenophontis locum non habet, satis memorabilem ad Acarnaniæ descriptionem antiquam explicandam. Forte huc pertinet, quod supra ex Diodoro attuli, Acarnanes ante Cassandri tempora dispersos in castellis et locis munitis habitasse, nec in plures urbes coiisse.

[μεσογείᾳ. Infra vii. 1. s. 8. est μεσόγαια. Sed Thucyd. ii. 102. habet μεσόγειαν, et i. 120. iii. 95. libri variant inter μεσόγειον et μεσόγειαν. *Ex Addendis.*]

περιστρατοπεδευσάμενοι. Leonclav. versio: quam si castris circa urbes positis eos oppugnarent. Mihi non dubium est: legendum: περιστρατοπεδευόμενοι.

§. 2. καταλιπόντας. Ad infinitivum στρατεύειν refertur, monente Moro. Deinceps Margo Leonclav. πολεμίαν καὶ οὕτω μεγάλην πόλιν.

Ἀγησίπολις. Diodorus xiv. 97. sub Olympiade 97. 2. Ἀγησίλαος ἀκούων, τοὺς Ἀργείους περὶ τὴν Κόρινθον διατρίβοντας, ἐξήγαγε τοὺς Λακεδαιμονίους πανδημεὶ πλὴν μιᾶς μοίρας. ἐπελθὼν δὲ τὴν Ἀργείαν πᾶσαν, τὰς μὲν κτήσεις διήρπασε, τὴν δὲ χώραν δενδροτομήσας εἰς τὴν Σπάρτην ἀπεχώρησε. Quam expeditionem eam ipsam esse, de qua nunc Xenophon, suspicatur Wesseling; igitur Ἀγησίπολις legit. Wesselingio præiverat Dodwell ad Olymp. 97. 3.

ἡγητέον τῆς φρουρᾶς, καὶ τὰ διαβατήρια θυομένῳ ἐγένετο, ἐλθὼν εἰς τὴν Ὀλυμπίαν χρηστηριαζόμενος, ἐπηρώτα τὸν θεὸν, εἰ ὁσίως ἂν ἔχοι αὐτῷ, μὴ δεχομένῳ τὰς σπονδὰς τῶν Ἀργείων· ὅτι, οὐχ ὁπότε καθήκοι ὁ χρόνος, ἀλλ᾽ ὁπότε ἐμβάλλειν μέλλοιεν Λακεδαιμόνιοι, τότε ὑπέφερον

ὑπέφερον τοὺς μῆνας. Prætexere, prætendere, προφασίζεσθαι eſt h. l. ὑποφέρειν. Menſes aliquot ſacros prætexebant Argivi, quibus inducias ſibi invicem ſpoſponderant Lacedæmonii et Argivi. Hucuſque plana omnia et indubitata ſunt. Quæritur autem, quinam fuerint illi menſes? Eos quidem nondum inſtaſſe, manifeſtum eſt ex verbis: οὐχ ὁπότε καθήκοι ὁ χρόνος. anticipare igitur Argivi illorum menſium inducias doloſe conabantur. Morus ex Thucydide v. 54. docet, menſe Carneo feſtos dies a Dorienſibus actos fuiſſe, quibus nefas fuerit arma capere; et qui nollent hoc menſe arma capere, eos dici προφασίζεσθαι τὸν μῆνα, menſem induciis feſtiſque ſacrum prætendere. Comparavit etiam Thucydidem iii. 56. 65. v. 75. Hos igitur feſtos Carnei menſis dies intelligi hoc in loco, putat vir doctus, ſecutus Brodæum et Kühnium ad Pauſaniam iii. 5. p. 216. Sed difficultatem eam non explicare potuit, cur τοὺς μῆνας dixerat Xenophon h. l. et infra v. 1. 26. et v. 3. 27. non μῆνα, ſi de uno menſe Carneo et paucis quibuſdam hujus menſis diebus ſermo eſt. Sed multo graviorem difficultatem omiſit vir doctus, quam natura illorum feſtorum dierum lectori ſtatim offerre debet. Scilicet ſi Dorienſibus univerſis dies illi menſis Carnei induciis ſacri fuerunt, debebant ſacra Carnea ipſos etiam Lacedæmonios ab expeditione bellica retrahere; recte monente Valckenario ad Herodot. p. 601. nec Argivorum admonitione indigebant aut excuſatione. Sed opinio iſta de Carneo menſe et ſacris Carneis male fuit huc importata primum a Kühnio et Brodæo, quem nimis facilis audivit Morus. In errorem viros doctos induxiſſe videtur locus Pauſaniæ iii. 5. p. 215. ubi de hac ipſa expeditione Ageſipolidis agit: πέμπουσι κήρυκα οἱ Ἀργεῖοι σπεισόμενον πρὸς Ἀγησίπολιν σφίσι πατρῴους δή τινας σπονδὰς ἐκ παλαιοῦ καθεστώσας τοῖς Δωριεῦσι πρὸς ἀλλήλους, ubi, niſi ex alio ſcriptore ſua hauſit, verba Xonophontis interpretatione ſua magis obſcuravit quam explicuit. Recte Dodwellus Iſthmicos ludos eorumque ſanctitatem putat Argivis prætextum præbuiſſe Corinthum adhuc tenentibus. Huc trahit etiam ſigna iræ Neptuni, cui Iſthmus et ludi Iſthmici ſacri erant; deinde præcones coronatos, quos ſubmiſerant Argivi, ὥσπερ εἰώθεσαν; quod interpretatur Dodwellus, quaſi illi inducias illas denunciaſſent Ageſipolidi. Sic enim, inquit, illis occurrentibus Ageſilaus ante biennium pepercerat; quod ne hoc anno faceret, oracula conſuluerat Ageſipolis. Unde habeat, quæ de præconibus, Ageſilao ante biennium ſubmiſſis, inferit, neſcio. Denique rationes etiam chronologicæ, a Dodwello accurate deductæ, congruunt cum ludis Iſthmicis hoc Olympiadis anno actis. Certiſſimam igitur equidem puto Dodwelli interpretationem, etſi miror a Xenophonte ludorum Iſthmicorum tam obſcuram mentionem eſſe factam. Verum ludorum celebrandorum menſes longe adhuc abfuiſſe videntur, et Argivi ex ſua ſtatim terra præcones ſubmiſerunt Ageſipolidi, quem noviſſe putabant, a ſe cum Corinthiis conjunctim ludos Iſthmicos fieri ſolitos eſſe ab aliquo inde tempore. Duplex igitur fuerit Argivorum ἀδικία, quod alieno tempore, et deinde quod alieno nomine, non ipſi Corinthii, inducias ludorum prætexebant. Cæterum, etſi locum ſcriptoris græci de ludorum Iſthmicorum induciis ignoro, de Olympicis tamen diſerte inducias, jam a Lycurgo inſtitutas, memorat Plutarch. Lycurg. c. 23. qui Ὀλυμπιακὴν ἐκεχειρίαν appellat. Denique Fr. Portus damnavit etiam vulgatum μῆνας, eique ſubſtituebat μύνας, quas deinde ſuſceptas Leonclav. tueri conatus eſt, τὰς προφάσεις ex Euſtathio interpretatus.

τοὺς μῆνας. ὁ δὲ θεὸς ἐπεσήμαινεν αὐτῷ, ὅσιον εἶναι μὴ δεχομένῳ σπονδὰς, ἀδίκως ὑποφερομένας. Ἐκεῖθεν δʼ εὐθὺς πορευθεὶς εἰς Δελφοὺς, ἐπήρετο αὖ τὸν Ἀπόλλω, εἰ κἀκείνῳ δοκοίη περὶ τῶν σπονδῶν, καθάπερ τῷ πατρί. ὁ 3 δʼ ἀπεκρίνατο, καὶ μάλα κατὰ ταὐτά. Καὶ οὕτω δὴ Ἀγησίπολις, ἀναλαβὼν ἐκ Φλιοῦντος τὸ στράτευμα, (ἐκεῖσε γὰρ αὐτῷ ξυνελέγετο, ἕως πρὸς τὰ ἱερὰ ἀπεδήμει) ἐνέβαλε διὰ Νεμέας. οἱ δʼ Ἀργεῖοι, ἐπεὶ ἔγνωσαν οὐ δυνησόμενοι κωλύειν, ἔπεμψαν, ὥσπερ εἰώθεσαν, ἐστεφανωμένους δύο κήρυκας, ὑποφέροντας σπονδάς. ὁ δʼ Ἀγησίπολις ἀποκρινάμενος, ὅτι οὐ δοκοῖεν τοῖς θεοῖς δικαίως ὑποφέρειν, οὐκ ἐδέχετο τὰς σπονδὰς, ἀλλʼ ἐνέβαλε, καὶ πολλὴν ἀπορίαν καὶ ἔκπληξιν κατά τε τοὺς ἀγροὺς καὶ ἐν τῇ πόλει 4 ἐποίησε. Δειπνοποιουμένου δʼ αὐτοῦ ἐν τῇ Ἀργείᾳ τῇ πρώτῃ ἡμέρᾳ, καὶ σπονδῶν τῶν μετὰ τὸ δεῖπνον ἤδη γενομένων, ἔσεισεν ὁ θεός. καὶ οἱ μὲν Λακεδαιμόνιοι, ἀρξαμένων αὐτῶν ἀποδημίας, πάντες ὕμνησαν τὸν περὶ τὸν Ποσειδῶ παιᾶνα· οἱ δʼ ἄλλοι στρατιῶται ᾤοντο ἀπιέναι, ὅτι καὶ Ἆγις, σεισμοῦ ποτε γενομένου, ἀπήγαγεν ἐξ Ἤλιδος. ὁ δὲ Ἀγησίπολις, εἰπὼν, ὅτι, εἰ μὲν μέλλοντος αὐτοῦ ἐμ-

αὖ τόν. Ita Brodæus ſcripſit pro αὐτόν. Pater Apollinis eſt Olympius Jupiter.

§. 3. διὰ Νεμέας. Pauſanias l. c. ὡς δʼ ἐκ τῆς Τεγεατῶν ἐς τὴν Ἀργολίδα ἤγαγε τὸν στρατὸν, πέμπουσι κήρυκα οἱ Ἀργεῖοι.

§. 4. ἡμέρᾳ. Margo Leoncl. ἑσπέρᾳ. Credo, quod cœna cum libatione (σπονδαὶ) memorantur, veſpertinum inde tempus arguere auctorem emendationis.

ἀρξαμένων αὐτῶν. Vertit Leonclav. Lacedæmonii, quod jam abeſſe domo cœpiſſent, pæanem omnes, qui Neptuno ſolet accini, exorſi ſunt hymni loco: cæteri milites diſcedendum arbitrabantur etc. Vides Leonclavium hæc ita interpretatum, quaſi ſcriptum reperiſſet ἄρξαντες ἤδη ἀποδημίας. Sed utroque modo ſenſus exiſtit ineptus. A patria enim jam diu aberant, et in regione ipſa Argiva aderant. Verba igitur αὐτῶν ἀποδημίας mendoſa mihi videntur. Cantilenam ſeu pæanem in Neptunum exorſi videntur, qui in verbis mendoſis latent abſconditi, neſcio qui. Fueritne ſcriptum ἀρξαμένων αὖ τῶν ἐπιδημιῶν, ut olim ſcilicet fecerant Elei, cum Agis in Eleos duxerat exercitum? Palmam nunc lubens concedo viro docto Kœppen, qui αὐτῶν τῶν ἀπὸ δημοσίας emendabat. Comites regis ſunt οἱ ἀπὸ δημοσίας.

εἰπὼν ὅτι. Hæc verba abſunt A. J. Br. Caſt. Addita videntur propter ſequens ἡγεῖτο et νομίζει. (ubi tamen νομίζοι legendum eſſet;) Contra Morus ea incluſit et deinde ἐνόμιζεν legit.

βάλλειν σείσειε, κωλύειν ἂν αὐτὸν ἡγεῖτο· ἐπεὶ δὲ ἐμβε-
βληκότος, ἐπικελεύειν νομίζει. καὶ οὕτω τῇ ὑϛεραίᾳ, θυ- 5
σάμενος τῷ Ποσειδῶνι, ἡγεῖτο οὐ πόῤῥω εἰς τὴν χώραν.
ἅτε δὲ νεωϛὶ τοῦ Ἀγησιλάου ἐϛρατευμένου εἰς τὸ Ἄργος,
πυνθανόμενος ὁ Ἀγησίπολις τῶν ϛρατιωτῶν, μέχρι μέν
ποι πρὸς τὸ τεῖχος ἤγαγεν ὁ Ἀγησίλαος, μέχρι δέ ποι τὴν
χώραν ἐδῄωσεν, ὥσπερ πένταθλος πάντῃ ἐπὶ τὸ πλέον
ὑπερβάλλειν ἐπειρᾶτο. Καὶ ἤδη μέν ποτε βαλλόμενος 6
ἀπὸ τῶν τύρσεων, τὰς περὶ τὸ τεῖχος τάφρους πάλιν διέβη·
ἦν δὲ ὅτε, οἰχομένων τῶν πλείϛων Ἀργείων εἰς τὴν Λακω-
νικὴν, οὕτως ἐγγὺς πυλῶν προσῆλθεν, ὥϛε οἱ πρὸς ταῖς
πύλαις ὄντες τῶν Ἀργείων ἀπέκλεισαν τοὺς τῶν Βοιωτῶν
ἱππέας, εἰσελθεῖν βουλομένους, δείσαντες, μὴ συνεισπέ-
σοιεν κατὰ τὰς πύλας οἱ Λακεδαιμόνιοι· ὥϛε ἠναγκά-
σθησαν οἱ ἱππεῖς, ὥσπερ νυκτερίδες, πρὸς τοῖς τείχεσιν
ὑπὸ ταῖς ἐπάλξεσι προσαρηρέναι. καὶ εἰ μὴ ἔτυχον τότε
οἱ Κρῆτες εἰς Ναυπλίαν καταδεδραμηκότες, πολλοὶ ἂν καὶ
ἄνδρες καὶ ἵπποι κατετοξεύθησαν. Ἐκ δὲ τούτου περὶ 7
τὰς εἱρκτὰς ϛρατευομένου αὐτοῦ, πίπτει κεραυνὸς εἰς τὸ

§. 5. *μέν ποι πρός.* Vitium Leoncl. prioris *μέντοι* in margine Leoncl. ſecundæ correctum fuit.

*πένταθλος.* Eſt proprie: qui quinque certamina, in ludis Græcorum uſitata, curſum, ſaltum, luctam, palæſtram et jactum ad ſcopum ſimul exercet, atque in iis æmulatur quidem eos, qui in ſuo genere excellunt. nunquam tamen adſequitur. Itaque numero quidem certaminum præſtat ſingulis athletis, in ſuo tamen genere unicuique facile cedit peritia, robore et gloria inde parta. Eſt igitur veluti ſecundarum partium actor. Hæc admonuit Morus.

§. 6. *τάφρους.* A. J. Br. Caſt. *τύρσεις.*

*οἰχομένων.* An prædaturi in Laconicam egreſſi fuerant Argivi, ut Ageſipolin, copias ut reduceret ex Argivo agro, cogerent? Sed verbum *οἴχεσθαι* nimis tenue et obſcurum pro invaſione bellica.

*ἠναγκάσθησαν.* Ita recte Br. Caſt. pro *ἠνάγκασαν* A. Junt.

*προσαρηρέναι.* Hoc ex emendatione Steph. recepi pro *προσαῤῥέναι.* Veſpertiliones adhærent turribus, tectis, muris, ſpeluncis appenſi ex alarum unguiculis.

*εἰς Ναύπλιαν.* Sagittarii Cretenſes ex caſtris Lacedæmoniorum (vide ſupra iv. 2. 16.) prædaturi excurrerant in Naupliam, non longe ab Argis diſſitam. Recte hæc Morus monuit, ut doceret, Palmerium ſenſu loci aberraſſe, dum legi volebat *ἐκ Ναυπλίας,* quaſi Cretenſes Nauplia adveniſſent auxilio Argivis. Vid. n. ad iv. 8. 8.

§. 7. *εἱρκτάς.* Primum *ϛρατοπεδευομένου* legendum eſſe, recte monuit Morus. Deinde *εἱρκτὰς* interpretatur

στρατόπεδον· καὶ οἱ μέν τινες πληγέντες, οἱ δὲ καὶ ἐμβροντηθέντες, ἀπέθανον. ἐκ δὲ τούτου βουλόμενος τειχίσαι φρούριόν τι ἐπὶ ταῖς παρὰ Κοίλωσσαν ἐμβολαῖς, ἐθύετο· καὶ ἐφάνη αὐτῷ τὰ ἱερὰ ἄλοβα. ὡς δ' τοῦτ' ἐγένετο, ἀπήγαγε τὸ στράτευμα καὶ διέλυσε, μάλα πολλὰ βλάψας τοὺς Ἀργείους, ἅτε ἀπροσδοκήτως αὐτοῖς ἐμβαλών.

## ΚΕΦ. Η.

ΚΑΙ ὁ μὲν δὴ κατὰ γῆν πόλεμος οὕτως ἐπολεμεῖτο. Ἐν ᾧ δὲ ταῦτα πάντα ἐπράττετο, τὰ κατὰ θάλατταν αὖ καὶ τὰς πρὸς θαλάττῃ πόλεις γενόμενα διηγήσομαι· καὶ τῶν πράξεων τὰς μὲν ἀξιομνημονεύτους γράψω, τὰς δὲ μὴ ἀξίας λόγου παρήσω. Πρῶτον μὲν τοίνυν Φαρνάβαζος καὶ

muros, et obſideri nunc urbem ait. Confirmat hæc ex loco Pauſaniæ iii. 5. ὁ Ἀγησίπολις ὑπὸ τὸ τεῖχος τὸ Ἀργείων κατεστρατοπεδεύετο. Contra Leoncl. cum Brodæo εἱρκτὰς loci nomen eſſe putavit. Pirkheimer ergaſtula vertit, quaſi ἐργαστήρια ſcriptum reperiſſet. Mihi quidem loci alicujus nomen latere videtur. Cleomenes, qui in ſimili Argivæ urbis oppugnatione caſtris locum cepit, locum munitum a natura occupavit ſuper theatro, τὸν περὶ τὴν ἀσπίδα τόπον, auctore Plutarcho Cleomene cap. 17. deinde cap. 21. Cleomenes ἐκκόψας τὰς ὑπὸ τὴν ἀσπίδα ψαλίδας ἀνέβη καὶ συνέμιξε τοῖς ἔνδον. Forte ex his olim aliquis Codice meliore adjutus veram exſculpet ſcripturam.

ἐμβροντηθέντες. Pauſanias l. c. αἱ βρονταὶ ἐποίησαν αὐτοὺς ἔκφρονας. Metaphorice utitur eo verbo Polyænus ii. 2. 3. Cum Epaminondam, facto tonitru, vates quieſcere juſſiſſet nec hoſtes adoriri, μηδαμῶς, inquit, τοὺς πολεμίους γὰρ ἐν τοιούτῳ χωρίῳ στρατοπεδεύσαντας ἐμβεβροντῆσθαι. Idem verbum in eadem narratione poſuit Plutarchus Apophthegm. p. 729. Idem ἐμβροντησίαν et τύφον jungit ſenſu metaphorico contra Colotem p. 602.

Κοίλωσσαν. Hoc vulgato Κηλοῦσαν ſubſtitui ex emendatione Brodæi, Leonclav. et Palmerii Exercit. p. 72. qui ex Strabone viii. p. 382. eam comprobarunt. Fuit mons in hac regione.—Atque ita ferme finitum fuit bellum Corinthiacum, quod Diodorus xiv. 86. octo annos duraſſe ait, his verbis: τῶν δὲ κατὰ τὸν πόλεμον δεινῶν σχεδόντι περὶ τὴν Κόρινθον γενομένων ὁ πόλεμος οὗτος ἐκλήθη Κορινθιακὸς, καὶ διέμεινεν ἔτη ὀκτώ. Ariſtides t. ii, p. 188. pace Antalcidæ tandem terminatum fuiſſe ſignificat. Cornelius Ageſ. 5. poſt prælium ad Coroneam collatum omne bellum circa Corinthum, ideoque Corinthium appellatum fuiſſe, annotavit. Octo annorum ſpatium recte quidem huic bello aſſignavit Diodorus, ſed ſingulas annorum expeditiones bellicas peſſime et ordine plane perverſo diſpoſuit. Initium belli Corinthiaci poſuit ſub Olympiadis 96. anno. 3. in quo conſentit cum eo Dodwellus; octavus igitur belli annus incidit in Olympiadis 98. annum tertium, quo ipſo pacem Antalcidæ a Græcis omnibus fuiſſe acceptam et ſtabilitam, docuit Dodwellus, etſi Diodorus pacem Antalcidæ anno ſecundo Olympiadis 98. aſſignavit. Corinthii enim et Argivi ſerius illam acceperunt, monente Dodwello ex narratione Xenophontis.

§. 1. πρῶτον μέν. Hæc uſque ad ſectionem tertiam narravit etiam Diodorus xiv. 84. ſed quædam ex anno

Κόνων, ἐπεὶ ἐνίκησαν τοὺς Λακεδαιμονίους τῇ ναυμαχίᾳ, περιπλέοντες καὶ τὰς νήσους, καὶ πρὸς τὰς ἐπιθαλαττιδίας πόλεις, τούς τε Λακωνικοὺς ἁρμοστὰς ἐξήλαυνον, καὶ παρεμυθοῦντο τὰς πόλεις, ὡς οὔτε ἀκροπόλεις ἐντειχίσαιεν, ἐάσαιέν τε αὐτονόμους. Οἱ δ' ἀκούοντες ταῦτα, ἥδοντό τε καὶ 2 ἐπῄνουν, καὶ ξένια προθύμως ἔπεμπον τῷ Φαρναβάζῳ. καὶ γὰρ ὁ Κόνων τὸν Φαρνάβαζον ἐδίδασκεν, ὡς οὕτω μὲν ποιοῦντι πᾶσαι αὐτῷ αἱ πόλεις φίλιαι ἔσοιντο· εἰ δὲ δουλῶσασθαι βουλόμενος φανερὸς ἔσοιτο, ἔλεγεν, ὡς μία ἑκάστη πόλις πολλὰ πράγματα ἱκανὴ εἴη παρέχειν, καὶ κίνδυνος εἴη, μὴ καὶ οἱ Ἕλληνες, εἰ ταῦτα αἴσθοιντο, συσταῖεν. Ταῦτα μὲν οὖν ἐπείθετο ὁ Φαρνάβαζος. ἀποβὰς δ' εἰς 3 Ἔφεσον, τῷ μὲν Κόνωνι δοὺς τετταράκοντα τριήρεις, εἰς Σηστὸν εἶπεν ἀπαντᾶν, αὐτὸς δὲ πεζῇ παρῄει ἐπὶ τὴν αὑτοῦ ἀρχήν. καὶ γὰρ ὁ Δερκυλλίδας, ὅσπερ καὶ πάλαι πολέμιος ἦν αὐτῷ, ἔτυχεν ἐν Ἀβύδῳ ὤν, ὅτε ἡ ναυμαχία ἐγένετο· καὶ οὐχ ὥσπερ οἱ ἄλλοι ἁρμοσταὶ ἐξέλιπεν, ἀλλὰ κατέσχε τὴν Ἄβυδον, καὶ διέσωζε φίλην τοῖς Λακεδαιμονίοις. καὶ γὰρ πρόσθεν συγκαλέσας τοὺς Ἀβυδηνοὺς, ἔλεξε τοιάδε· Ὦ ἄνδρες, νῦν ἔξεστιν ὑμῖν, καὶ πρόσθεν φίλοις οὖσι τῇ 4 πόλει ἡμῶν, εὐεργέτας φανῆναι τῶν Λακεδαιμονίων. καὶ γὰρ τὸ μὲν ἐν ταῖς εὐπραξίαις πιστοὺς φαίνεσθαι, οὐδὲν θαυμαστόν. ὅταν δέ τινες, ἐν συμφοραῖς γενομένων φίλων, βέβαιοι φανῶσι, τοῦτ' εἰς τὸν ἅπαντα χρόνον μνημονεύεται. ἔστι δὲ οὐχ οὕτως ἔχον.—εἰ τῇ ναυμαχίᾳ ἐκρατήθημεν, οὐδὲν ἄρα ἔτι ἐσμέν· ἀλλὰ καὶ τὸ πρόσθεν δήπου, Ἀθηναίων

ſequenti contulit ad annum ſecundum Olympiadis 96.

§. 2. *ἔσοιντο.* A. J. Br. Caſt. *ἔσονται.*

§. 3. *Δερκυλλίδας.* Hunc enim Ageſilaus ex Macedonia in Helleſpontum miſerat, ut eſt ſupra iv. 3. 1.

*πρόσθεν.* Ante adventum Pharnabazi, poſt pugnam navalem.

§. 4. *εἰ τῇ.* Ante hæc verba ſignum lacunæ poſuit Morus, qui ſupplebat *οὐ γάρ.* Leoncl. *ὅτι εἰ τῇ* legebat.

*ἄρα ἔτι.* In A. J. Br. Caſtal. eſt *ἄρα τι.*

ἀρχόντων τῆς θαλάττης, ἱκανὴ ἦν ἡ ἡμετέρα πόλις καὶ εὖ φίλους, καὶ κακῶς ἐχθροὺς ποιεῖν. Ὅσῳ δὲ μᾶλλον αἱ ἄλλαι πόλεις σὺν τῇ τύχῃ ἀπεστράφησαν ἡμῶν, τοσούτῳ ὄντως ἡ ὑμετέρα πιστότης μείζων φανείη ἄν. εἰ δέ τινι τοῦτο φανεῖται, μὴ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐνθάδε πολιορκώμεθα, ἐννοείτω, ὅτι Ἑλληνικὸν μὲν οὔπω ναυτικόν ἐστιν ἐν τῇ θαλάττῃ· οἱ δὲ βάρβαροι εἰ ἐπιχειρήσουσι τῆς θαλάττης ἄρχειν, οὐκ ἀνέξεται ταῦτα ἡ Ἑλλάς. ὥσθ' 5 ἑαυτῇ ἐπικουροῦσα, καὶ ὑμῖν ξύμμαχος γενήσεται. Οἱ μέντοι, ταῦτα ἀκούοντες, οὐκ ἀκόντως, ἀλλὰ προθύμως ἐπείσθησαν· καὶ τοὺς μὲν ἰόντας ἁρμοστὰς φίλως ἐδέχοντο, τοὺς δὲ ἀπόντας μετεπέμποντο. ὁ δὲ Δερκυλλίδας, ὡς ξυνελέγησαν πολλοὶ καὶ χρήσιμοι ἄνδρες εἰς τὴν πόλιν, διαβὰς καὶ εἰς Σηστὸν, καταντικρὺ ὄντα Ἀβύδου, καὶ ἀπέχοντα οὐ πλεῖον ὀκτὼ σταδίων, ὅσοι τε διὰ Λακεδαιμονίους γῆν ἔσχον ἐν Χερρονήσῳ, ἤθροιζε, καὶ ὅσοι αὖ ἐκ τῶν ἐν τῇ Εὐρώπῃ πόλεων ἁρμοσταὶ ἐξέπιπτον, καὶ τούτους ἐδέχετο, λέγων, ὅτι οὐδ' ἐκείνους ἀθυμεῖν δεῖ, ἐννοουμένους, ὅτι καὶ ἐν τῇ Ἀσίᾳ, ἣ ἐξ ἀρχῆς βασιλέως ἐστὶ, καὶ Τῆμνος, οὐ μεγάλη πόλις, καὶ Αἰγαὶ, καὶ ἄλλα γε χωρία δύνανται οἰκεῖν, οὐχ ὑπήκοα ὄντα βασιλέως. καίτοι, ἔφη, ποῖον μὲν ἰσχυρότερον Σηστοῦ λάβοιτε χωρίον, ποῖον δὲ δυσπολιορκητότερον; ὃ

εἰ δέ τινι. A. J. Bryl. Caſtal. Leoncl. ſecunda τισί. Poſt φανεῖται addendum puto φοβερὸν aut δεινόν. Copulam καὶ ante κατὰ omittunt A. J. Br. Caſt.

θαλάττῃ. Helleſponto.

§. 5. μὲν ἰόντας. Ejectos ex urbibus reliquis græcarum inſularum.

ὀκτὼ σταδίων. Intervallum inter Seſtum et Abydum Plinius iv. ſ. 18. poſuit ſeptem ſtadia. Helleſpontus, Inquit, ſeptem, ut diximus, ſtadiis Europam ab Aſia dividens, quatuor inter ſe contrarias urbes habet, in Europa Callipolin et Seſton, et in Aſia Lampſacum et Abydon. Supra Xenophon ii. 1. inter Lampſacum et Ægoſpotamon ſpatium 15. ſtadiorum poſuit. Iterum Plinius v. ſect. 40. Abydus oppidum, ubi anguſtiæ ſeptem ſtadiorum.

Αἰγαί. Hanc formam ſubſtitui vulgatæ Αἰγιεῖς. Ægas Æolidis intelligi volebat etiam Morus, qui legere jubebat Αἰγαιεῖς. Video a Valckenario ad Herodotum p. 255. h. l. ita laudari: Τῆμνος καὶ Αἰγαὶ εἰσί. Sed an verba intermedia ſpuria judicaverit, ignoro.

ὑπήκοα. Margo Leoncl. ὑπήκοοι ὄντες.

καὶ νεῶν καὶ πεζῶν δεῖται, εἰ μέλλοι πολιορκηθήσεσθαι. τούτους αὖ, τοιαῦτα λέγων, ἔσχε, τοῦ μὴ ἐκπεπλῆχθαι. Ὁ δὲ Φαρνάβαζος, ἐπεὶ εὗρε τήν τε Ἄβυδον καὶ τὸν Σηστὸν 6 οὕτως ἔχοντα, προηγόρευσεν αὐτοῖς, ὡς, εἰ μὴ ἐκπέμψοιεν τοὺς Λακεδαιμονίους, πόλεμον ἐξοίσει κατ' αὐτῶν. ἐπεὶ δὲ οὐκ ἐπείθοντο, Κόνωνι μὲν προσέταξε κωλύειν αὐτοὺς τὴν θάλατταν πλεῖν, αὐτὸς δὲ ἐδήου τὴν τῶν Ἀβυδηνῶν χώραν. ἐπεὶ δὲ οὐδὲν ἐπέραινε πρὸς τὸ καταστρέφεσθαι, αὐτὸς μὲν ἐπ' οἴκου ἀπῆλθε, τὸν δὲ Κόνωνα ἐκέλευεν εὐτρεπίζεσθαι τὰς καθ' Ἑλλήσποντον πόλεις, ὅπως εἰς τὸ ἔαρ ὅτι πλεῖστον ναυτικὸν ἀθροισθείη. ὀργιζόμενος γὰρ τοῖς Λακεδαιμονίοις, ἀνθ' ὧν ἐπεπόνθει, περὶ παντὸς ἐποιεῖτο ἐλθεῖν τε εἰς τὴν χώραν αὐτῶν, καὶ τιμωρήσασθαι, ὅ τι δύναιτο.

Καὶ τὸν μὲν χειμῶνα ἐν τούτοις ὄντες διῆγον· ἅμα δὲ 7 τῷ ἔαρι ναῦς τε πολλὰς συμπληρώσας, καὶ ξενικὸν προσμισθωσάμενος, ἔπλευσεν ὁ Φαρνάβαζός τε καὶ ὁ Κόνων μετ' αὐτοῦ διὰ νήσων εἰς Μῆλον· ἐκεῖθεν δὲ ὁρμώμενοι εἰς τὴν Λακεδαίμονα. καταπλεύσας δὲ πρῶτον εἰς Φερὰς, ἐδήωσε ταύτην τὴν χώραν· ἔπειτα καὶ ἄλλοσε ἀποβαίνων τῆς παραθαλαττίας, ἐκακούργει, ὅ τι ἐδύνατο. Φοβούμενος δὲ τήν τε ἀλιμενότητα τῆς χώρας, καὶ τὰ τῆς βοηθείας, καὶ τὰ τῆς σπανοσιτίας, ταχύ τε ἀνέστρεψε, καὶ ἀποπλέων ὡρμίσθη τῆς Κυθηρίας εἰς Φοινικοῦντα. Ἐπεὶ δὲ οἱ ἔχοντες 8

ἴσχε τοῦ. Retinuit. Similiter Aristophan. Lysistr. versu 380. Cf. Valckenair ad Herodotum p. 428.

§. 6. κατ' αὐτῶν. Ita scripsit Morus. A. J. Br. Cast. μετ' αὐτῶν. Reliquæ Editiones πρὸς αὐτούς.

ἐκέλευεν. Castal. ἐκέλευσεν.

§. 7. ἐκεῖθεν δέ. Margo Leonclav. ἐκεῖθεν δή.

Φεράς. Leoncl. malebat Φηράς. Messeniæ Pheras intelligi, docuit etiam Bosius ad Cornelii Cononem c. 1.

τὰ τῆς σπανοσιτίας. Margo Leonclav. καὶ τὴν σπανοσίτειαν. A. J. Br. Cast. σπανοσιτείας.

Κυθηρίας—Φοινικοῦντα. Κυθηρία scil. γῆ. Ipsa enim insula Κύθηρα dicitur, quamquam ex Antonini Itinerario p. 648. et Stephano Byz. Morus annotavit, ipsam insulam etiam Κυθηρίαν dici. Phœnicuntem alibi non reperias facile in hac insula nominatum, sed aliud ejus promontorium, Πλατανιστοῦντα, habet Pausanias iii. p. 269. Portum Messeniæ non longe ab insulis Œnussis Phœnicunte habet Idem iv. p. 367. Cæterum easdem res narrat Diodorus xiv. 84. sub

τὴν πόλιν τῶν Κυθηρίων, φοβηθέντες, μὴ κατὰ κράτος ἁλοῖεν, ἐξέλιπον τὰ τείχη, ἐκείνους μὲν ὑποσπόνδους ἀφῆκεν εἰς τὴν Λακωνικήν· αὐτὸς δὲ, ἐπισκευάσας τὸ τῶν Κυθηρίων τεῖχος, φρουρούς τε καὶ Νικόφημον, Ἀθηναῖον

Olympiadis 96. anno 2. οἱ δὲ περὶ τὸν Κόνωνα σὺν παντὶ τῷ στόλῳ κρίναντες πλεῖν ἐπὶ τὴν Ἀττικὴν ἀνέζευξαν καὶ τὰς Κυκλάδας νήσους προσαγόμενοι κατέπλευσαν ἐπὶ Κύθηρα τὴν νῆσον. εὐθὺς δὲ ταύτης ἐξ ἐφόδου κρατήσαντες, τοὺς μὲν Κυθηρίους ὑποσπόνδους ἐξέπεμψαν εἰς τὴν Λακωνικὴν, αὐτοὶ δὲ καταλιπόντες τῆς πόλεως τὴν ἱκανὴν φρουρὰν ἔπλεον ἐπὶ Κορινθίους. ἐκεῖ δὲ καταπλεύσαντες τοῖς συνέδροις, διελέχθησαν περὶ ὧν ἤθελον καὶ συμμαχίαν ποιησάμενοι τούτοις μὲν χρήματα κατέλιπον, αὐτοὶ δὲ ἐς τὴν Ἀσίαν ἐξέπλευσαν. Ubi fœdus, cum Corinthiis ictum, nullum aliud esse potest, quam ex quo deinde bellum Corinthium ortum est, cujus initium ipse Diodorus retulit ad Olymp. 96. annum tertium. An alius scriptor fœdus hoc memoraverit auctore Conone ictum, ignoro; nec quidquam annotavit ad Diodori locum Wesselingius. Denique de eadem re Isocrates Panegyric. c. 33. ἐνίκησαν μὲν οἱ βάρβαροι ναυμαχοῦντες, ἦρξαν δὲ τῆς θαλάττης, κατέσχον δὲ τὰς πλείστας τῶν νήσων, ἀπέβησαν δ' εἰς τὴν Λακωνικὴν, Κύθηρα δὲ κατὰ κράτος εἷλον, ἅπασαν δὲ τὴν Πελοπόννησον κακῶς ποιοῦντες περιέπλευσαν.

[Κυθηρίας. In nota ad h. l. lege lin. 13. Phœnicuntem; et adde hæc: Thucydides iv. 43. et sqq. situm insulæ accurate satis effinxit narratione sua; unde patet, in ipso litore versus mare sitam fuisse urbem Σκάνδειαν; in altero latere, contra Maleam verso, in litore fuisse urbem Cytheriorum, sed parvam illam et conjunctam, civitate saltem, cum altera, in mediterranea regione magis sita, quam τὴν ἄνω πόλιν vocat Thucydides. Ita scilicet Clazomenæ et Notium conjunctæ erant cum interiore urbe, illæ cum Daphunte, hoc cum Colophone. Scandiam urbem vocat τὸ ἐπὶ τῷ λιμένι πόλισμα; quasi unus fuisset insulæ portus; itaque is esset Xenophontis Phœnicus. Κυθηρίαν vero cum dixerit, et deinceps urbem Cytheriorum memoraverit, videri possit alicui, alium portum, contra Maleam situm, intelligi eum voluisse. *Ex Addendis.*]

§. 8. Νικόφημον. Ita scripsi pro Νικόφηβος, quod nomen nullum unquam fuit, nec unde derivetur, habet. Diodorus xiv. 81. Cononem ait, antequam ad regem abiisset: ἐπὶ τοῦ στόλου κατέστησεν Ἱερώνυμον καὶ Νικόδημον Ἀθηναίους ὄντας. Hieronymum illum fuisse puto, quem ex Lysia et Ephoro στρατηγὸν fuisse, annotavit Harpocratio. Nicodemum Diodori eundem esse cum Nicophemo Cononis familiarissimo et fidelissimo bellorum socio, puto, de quo multa Lysias super Aristophanis bonis p. 621. 636. Habuit etiam in Cypro, ut Conon, maximam fortunarum suarum partem. Hunc deinde Athenienses indicta causa cum filio occiderunt et bona publicarunt, ut colligere licet ex Lysia p. 616. Rhamnusius fuit; ibidem p. 632. certe ibi agrum habuit.—Cæterum paulo antea Castal. edidit τῶν Κορινθίων τεῖχος.

[De initiis belli socialis seu Corinthiaci. Aristophanis comœdias accuratius perlegendas mihi existimavi eas, quæ quidem res eorum annorum, quas Xenophontis historia persequitur, attingunt, simulque veterum Grammaticorum annotationes in Aristophanem perlustravi, ut, si quid ibi ex vetustis auctoribus excerptum notitiarum lateret, ad usum lectoris Xenophontis transferrem. Ad belli igitur socialis historiam indicia non levia pertinent in Ecclesiazusis posita, quæ collecta inde nunc ponam. Sed prius de tempore videbimus, quo comœdia fuit publice in certamine proposita. Hujus indicium habet scholion positum ad versum 193. περὶ τοῦ συμμαχικοῦ Φιλόχορος ἱστορεῖ, ὅτι πρὸ δύο ἐτῶν ἐγίνετο συμμαχία Λακεδαιμονίων καὶ Βοιωτῶν. Ubi legendum esse Ἀθηναίων καὶ Β. recte monuit Petitus, qui, cum initium belli ex Diodoro ad annum 2. Olympiadis 96. archonte Diophanto Athe-

ἁρμοστὴν, ἐν τοῖς Κυθηρίοις κατέλιπε. Ταῦτα δὲ ποιήσας, καὶ εἰς Ἰσθμὸν τῆς Κορινθίας καταπλεύσας, καὶ παρακε-

nis retuliſſet, annum comœdiæ aſſignavit Ol. 96. anno 4. Contra Palmerius anno 3. ejuſdem Olympiadis aſſignavit, eo præcipue argumento permotus, quod Cononem, a Teribazo in carcerem conjectum, quod factum eſſe ponit Olymp. 96. anno 3. nunquam in Græciam rediiſſe putabat. Quam opinionem ſatis aptis argumentis reprobaſſe mihi videor. Ductum vero illud argumentum eſt ex his poetæ verbis :

*Τὸ συμμαχικὸν αὖ τοῦτ' ὅτ' ἐσκοπούμεθα,*
*εἰ μὴ γένοιτ', ἀπολεῖν ἔφασκον τὴν πόλιν.*
*ὅτε δὴ δ' ἐγένετ', ἤχθοντο. τῶν δὲ ῥητόρων*
*ὁ ταῦτ' ἀναπείσας εὐθὺς ἀποδρὰς ᾤχετο.*
*ναῦς δὴ καθέλκειν τῷ πένητι μὲν δοκεῖ,*
*τοῖς πλουσίοις δὲ καὶ γεωργοῖς οὐ δοκεῖ.*
*Κορινθίοις ἄχθεσθε. κἀκεῖνοί γέ σοι*
*νῦν εἰσι χρηστοί. καὶ σὺ νῦν χρηστὸς γενοῦ.*
*Ἀργεῖος ἀμαθὴς, ἀλλ' Ἱερώνυμος σοφὸς*
*σωτηρία παρέκυψεν, ἀλλ' ὁρίζεται*
*Θρασύβουλος αὐτὸς οὐχὶ παρακαλούμενος.*
*Γ. ὡς ξυνετὸς ἀνήρ. Πρ. νῦν καλῶς ἐπήνεσας*
*ὑμεῖς γ' ἄρ' ἔστ', ὦ δῆμε, τούτων αἴτιοι.*
*τὰ δημόσια γὰρ μισθοφοροῦντες χρήματα*
*ἰδίᾳ σκοπεῖσθ' ἕκαστος, ὅτι κερδανεῖ.*

Ubi ſcholia monent, Cononem belli ſocialis ſuaſorem fuiſſe ; quam annotationem approbat Diodori Siculi locus a me in notis laudatus. Igitur non erat, cur Brunckius Scholiaſtæ opinionem improbaret. Hunc ſcilicet ſtatim abiiſſe ait poeta, ad regem ſcilicet Perſarum. De eodem ſcholia ad Plutum verſu 173. ita tradunt : *ἦν δὲ καταστήσας τοὺς ξένους ἐν Κορίνθῳ Κόνων ὁ Ἀθηναίων στρατηγὸς, καθελὼν Λακεδαιμονίους, ὅπως φυλάττοι τὴν ἔφοδον αὐτῶν.* Verſus 199. verba *Κορινθίοις ἄχθεσθε* ſcholia interpretantur : *ἦσαν γὰρ διάφοροι.* Quæ verba Petitus refert ad ſeditionem et diſſenſionem Corinthiorum a Diodoro et Xenophonte memoratam, et a Diodoro ad Olymp. 96. annum 3. relatam. Sed hac interpretatione non opus eſt. Poeta enim *ἄχθεσθε* dixit pro imperfecto *ἤχθεσθε*, (quod ipſum reſtitui poetæ volebat Brunck) ut antea bis *δοκεῖ*, quod verbum ad initium belli referendum eſt, ubi pauperes bellum navale, divites terreſtre geri malebant, atque utrique Corinthiis iraſcebantur, cum bello ſumtus neceſſarios erogare cogerentur. Converſionem aliquam rerum et belli ipſius ſignificant verba *νῦν εἰσι χρηστοί*, ſi ſcilicet ad Corinthios referas. Sed poſſunt etiam ad *πλουσίους* referri, ita, ut divites nunc demum parati eſſe dicantur cum pauperibus, ad ſumtus bello erogandos et militiæ munera fungenda. In nominibus Argivi et Hieronymi verſus 201. nugantur ſcholia, dum ironice Hieronymum *σοφὸν* dictum eſſe volunt, cum deberet Argivus ita appellari. Argivum taxat poeta, et populum meliora ſperare jubet ab Hieronymo, quem Cononis inter ſocios memoravit Diodorus cum Nicophemo. Argivum Eleum habet Xenophon Hiſt. Græc. vii. 1. 23. et cap. 4. ſect. 15. Male igitur Brunck Hieronymum Argivum, et ab Hieronymo Diodori, ſocio Cononis, diverſum fecit. Sequentem verſum Codex Pariſinus ita ſcriptum habet : *σωτηρία παρέκυψεν· ἀλλ' οὐ χρήζετε.* Vulgata lectio nullo modo ferri poteſt ; quam tamen explicabant : *ſed eam excludit Thraſybulus ipſe.* Contra ex lectione Codicis verſum ſequentem ita corrigebat acutiſſimus Brunck : *Θρασύβουλον αὐτὸν οὐχὶ παρακαλούμενοι,* ita, ut poeta Thraſybulum ipſum rebus gerendis præfici velit. At vero Thraſybulus ſtatim ab initio bellum adminiſtravit, auctore Xenophonte ; igitur ſententia loci iſtius debet eſſe ea, ut ſolus Thraſybulus advocetur ad belli adminiſtrationem, aut intermiſſa ejus opera repetatur. Contra in vulgata lectione culpatur Thraſybulus ; eamque reſpicit ſcholion : *οὗτος αὐθάδης καὶ δωροδόκος, ὑπερόπτης ὢν τοῦ δήμου, ἐβούλετο δι' αὐτοῦ πάντα πράττεσθαι.* De hoc ſequitur in verſu 356. ubi mulier a piro ſilveſtri queritur adſtrictam alvum ; altera quærit : *μῶν ἦν Θρασύβουλος εἶπε τοῖς Λακωνικοῖς.* Scholion ſic habet : Thraſybulum, cum legatis

λευσάμενος τοῖς συμμάχοις προθύμως τε πολεμεῖν, καὶ ἄνδρας πιςοὺς φαίνεσθαι βασιλεῖ, καταλιπὼν αὐτοῖς 9 χρήματα, ὅσα εἶχεν, ᾤχετο ἐπ' οἴκου ἀποπλέων. Λέγοντος δὲ τοῦ Κόνωνος, ὡς εἰ ἐῴη αὐτὸν ἔχειν τὸ ναυτικὸν, θρέψει μὲν ἀπὸ τῶν νήσων, καταπλεύσας δ' εἰς τὴν πατρίδα, συναναςήσει τά τε μακρὰ τείχη τοῖς Ἀθηναίοις, καὶ τὸ περὶ τὸν Πειραιᾶ τεῖχος, οὗ εἰδέναι, ἔφη, ὅτι Λακεδαιμονίοις ὐδὲν ἂν βαρύτερον γένοιτο· καὶ τῦτο ὖν, ἔφη, σὺ τοῖς μὲν Ἀθηναίοις κεχαρισμένος ἔσῃ, τοὺς δὲ Λακεδαιμονίους τετιμωρημένος· ἐφ' ᾧ γὰρ πλεῖςα ἐπόνησαν, ἀτελὲς αὐτοῖς ποιήσεις· ὁ δὲ Φαρνάβαζος, ἀκύσας ταῦτα, ἀπέςειλεν αὐτὸν προθύμως εἰς τὰς Ἀθήνας, καὶ χρή-10 ματα προσέθηκεν αὐτῷ εἰς τὸν ἀνατειχισμόν. Ὁ δὲ ἀφικόμενος πολὺ τοῦ τείχυς ὤρθωσε, τά τε αὐτῦ πληρώματα παρέχων, καὶ τέκτοσι καὶ λιθολόγοις μισθὸν διδὺς, καὶ ἄλλο, εἴ τι ἀναγκαῖον ἦν, δαπανῶν. ἦν μέντοι τοῦ τείχυς, ἃ καὶ αὐτοὶ Ἀθηναῖοι καὶ Βοιωτοὶ καὶ ἄλλαι πόλεις ἐθελύσιαι συνετείχισαν. Οἱ μέντοι Κορίνθιοι, ἀφ' ὧν ὁ Φαρνάβαζος κατέλιπε χρημάτων, ναῦς πληρώσαντες, καὶ Ἀγαθῖνον ναύαρχον ἐπιςήσαντες, ἐθαλαττοκράτυν ἐν 11 τῷ περὶ Ἀχαΐαν καὶ Λέχαιον κόλπῳ. Ἀντεπλήρωσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ναῦς, ὧν ἦρχε Πολέμαρχος. ἐπεὶ

Lacedæmoniorum de pace miſſis obniti conſtituiſſe; accepta deinde pecunia pirorum ſilveſtrium eſum gutturiſque inde aſperitatem cauſatum in concionem non veniſſe. Quæ legatio Lacedæmoniorum, ad quod tempus ſit referenda, non eſt tam manifeſtum, quam vellem. Thraſybulus quidem ſtatim ab initio legatis Thebanorum auxilium petentibus honorificum reſponſum populi ſenatuſque effecit, teſte Xenophonte iii. 5. ſect. 16. *Ex Addendis.*]

§. 9. ὡς εἰ ἐῴη. In A. J. Br. Caſt. eſt ἐῴη. In ſola Caſtal. ὡς ἐῴη. Reliquæ εἰ ἐφίει, vitioſe, neſcio quo auctore, habent. Equidem non ὅτι, auctore Stephano, ſed præeunte Caſt. addidi.

ἀτελές. A. J. Bryl. Caſtal. αὐτός.

προσέθηκεν. Navibus impoſuit, aut priori pecuniæ addidit; alias προσέδωκε placeret magis.

[προσέθηκεν. De pecunia proprium et ſollemne eſt τιθέναι, κατατιθέναι, ut ſcis; *numerare, ſolvere.* F. A. Wolfius.]

§. 10. πληρώματα. Adduxerat naves triremes 80 Conon, auctore Diodoro xiv. 85.

§. 11. Πολέμαρχος. Margo L. St. ὧν Ποδάνεμος ἦρχε. Podanemum Phlia-

δὲ οὗτος ἐν προσβολῇ τινι γενόμενος ἀπέθανε, καὶ Πόλλις αὖ, ἐπιστολεὺς ὢν τρωθεὶς ἀπῆλθεν, Ἡριππίδας ταύτας ἀναλαμβάνει τὰς ναῦς. Πρόαινος μέντοι Κορίνθιος, τὰς παρ' Ἀγαθίνου παραλαβὼν ναῦς, ἐξέλιπε τὸ Ῥίον· Λακεδαιμόνιοι δ' αὐτὸ παρέλαβον. μετὰ δὲ τοῦτο Τελευτίας ἐπὶ τὰς Ἡριππίδου ναῦς ἦλθε, καὶ οὗτος τοῦ κόλπου πάλιν αὖ ἐκράτει.

Οἱ δὲ Λακεδαιμόνιοι ἀκούσαντες, ὅτι Κόνων καὶ τὸ τεῖχος 12 τοῖς Ἀθηναίοις ἐκ τῶν βασιλέως χρημάτων ἀνορθοίη, καὶ, τὸ ναυτικὸν ἀπὸ τῶν ἐκείνου τρέφων, τὰς νήσους καὶ τὰς ἐν τῇ ἠπείρῳ παρὰ θάλατταν πόλεις Ἀθηναίοις εὐτρεπίζοι, ἐνόμιζον, εἰ ταῦτα διδάσκοιεν Τιρίβαζον, βασιλέως ὄντα στρατηγὸν, ἢ καὶ ἀποστῆναι ἂν πρὸς ἑαυτοὺς πείσειαν τὸν Τιρίβαζον, ἢ παῦσαί γ' ἂν—τὸ Κόνωνος ναυτικὸν τρέφον-

sium exsulem Archidami regis ξένον memorat infra Noster v. 3.

Πόλλις. Junt. Br. Cast. Πόλις. De qua varietate infra dicemus.

Ἡριππίδας. Diodorus xiv. 38. Ἡριπίδαν nominat aliquem, qui, an idem sit cum eo, quem idem xv. 30. ducem contra Neogenem Hestiæorum tyrannum missum Olymp. 100. 4. ait, Θηριππίδαν, et quem nominat Polyænus ii. 21. dubitari potest.

Πρόαινος. Causam subitæ, ut videtur, navarchorum successionis non indicavit Xenophon. An ea in anni civilis vicissitudine fuit? Teleutiam certe navarchum una cum fratre Agesilao eodem anno Corinthios oppugnasse, annotavit supra Noster iv. 4. 19. qui annus fuit tertius Olympiadis 96. seu ex rationibus Dodwelli 96. $\frac{3}{4}$.

§. 12. ἀκούσαντες. Margo Leoncl. ἀκούοντες.

τὰς νήσους. St. et Leonclav. τάς τε νήσους.

Τιρίβαζον. In St. et L. ubique Τηρίβαζος legitur scriptum, eaque varietas in hoc nomine fere perpetua est etiam alibi. Cum Tiribazo fuerunt multi Græci, qui post Cononis victoriam adjunxisse se ejus exercitui videntur. Isocrates Panegyrici cap. 37. τῶν τε μετὰ Τιριβάζου στρατευομένων καὶ τοῦ πεζοῦ τὸ χρησιμώτατον ἐκ τῶνδε τῶν τόπων ἤθροισται.

πείσειαν. Hoc verbum ex A. J. Br. Cast. recte revocavit Morus, rejectum a St. et Leoncl. in marginem. Idem verba sequentia τὸν Τιρίβαζον, ἢ veluti superflua inclusit, quemadmodum etiam ἂν ante πρὸς ἑαυτούς. Rationem suspicionis equidem non agnovi ullam.

παῦσαι γ' ἄν. Recte Morus monuit addendum esse τὸν Φαρνάβαζον.

[ἢ καὶ ἀποστῆναι ἂν πρὸς ἑαυτοὺς πείσειαν etc. Intricatior locus est. Ἀποστῆναι non potest dici nisi ipse Tiribazus, non Lacedæmonii. Tum, si deessent verba, πείσειαν τὸν Τιρ., nihil desiderarem; et prope in iis glossæ speciem video. Et ineptus est articulus modo additus nomini, modo omissus. Sed ἂν et ἢ deesse non possunt. Deinde ante τὸ Κόνωνος ναυτ. nomen Pharnabazi non requiro, quippe quod latet in τρέφοντα: nisi βασιλέα cogitare malis. Nunc maxime laborat illud πείσειαν. Nam membra duo, ἢ καὶ—ἢ π. γε, ad unam eandemque personam pertinere, certum est. Qualem enim vim habeat παῦσαι relatum ad Lacedæmonios? Ergo

τα. γνόντες δὲ οὕτω, πέμπουσιν Ἀνταλκίδαν πρὸς τὸν Τιρίβαζον, προστάξαντες, αὐτὸν ταῦτα διδάσκειν, καὶ πειρᾶσθαι εἰρήνην τῇ πόλει ποιεῖσθαι πρὸς βασιλέα. 13 Αἰσθόμενοι δὲ ταῦτα οἱ Ἀθηναῖοι, ἀντιπέμπουσι πρέσβεις μετὰ Κόνωνος, Ἑρμογένη, καὶ Δίωνα, καὶ Καλλισθένη, καὶ Καλλιμέδοντα. συμπαρεκάλεσαν δὲ καὶ ἀπὸ τῶν συμμάχων πρέσβεις· καὶ παρεγένοντο ἀπό τε Βοιωτῶν 14 καὶ Κορίνθου καὶ Ἄργους. Ἐπεὶ δὲ ἐκεῖ ἦσαν, ὁ μὲν Ἀνταλκίδας ἔλεγε πρὸς τὸν Τιρίβαζον, ὅτι καὶ εἰρήνης δεόμενος ἥκοι τῇ πόλει πρὸς βασιλέα, καὶ ταύτης, οἵας περ βασιλεὺς ἐπεθύμει. τῶν τε γὰρ ἐν τῇ Ἀσίᾳ Ἑλληνίδων πόλεων Λακεδαιμονίους βασιλεῖ οὐκ ἀντιποιεῖσθαι, τάς τε νήσους ἁπάσας καὶ τὰς ἄλλας πόλεις ἀρκεῖν σφίσιν αὐτονόμους εἶναι. καίτοι, ἔφη, τοιαῦτα ἐθελόντων ἡμῶν, τίνος ἂν ἕνεκα πρὸς ἡμᾶς [οἱ Ἕλληνες ἢ] βασιλεὺς πολεμοίη, ἢ χρήματα δαπανῴη; καὶ γὰρ οὐδ᾽ ἐπὶ βασιλέα στρατεύεσθαι δυνατὸν, οὔτε Ἀθηναίοις, μὴ ἡγουμένων ἡμῶν, 15 οὔτε ἡμῖν, αὐτονόμων οὐσῶν τῶν πόλεων. Τῷ μὲν δὴ Τιριβάζῳ ἀκούοντι ἰσχυρῶς ἤρεσκον οἱ τοῦ Ἀνταλκίδου λόγοι· τοῖς δ᾽ ἐναντίοις λόγοις ταῦτ᾽ ἦν. οἵ τε γὰρ Ἀθηναῖοι ἐφοβοῦντο συνθέσθαι, αὐτονόμους τὰς πόλεις καὶ τὰς νήσους

verba: ἐνόμιζον, εἰ—στρατηγὸν, ἢ καὶ ἀποστῆναι ἂν πρὸς ἑαυτοὺς, ἢ παῦσαί γ᾽ ἂν τὸ Κόνωνος ναυτικὸν τρέφοντα—hæc ergo verba ſic acceperim: *Putabant, ſi Tiribazum his de rebus certiorem facerent, eum, aut ad ipſorum partes tranſiturum eſſe, aut* certe *facturum ut ille ab alenda claſſe Cononis deſiſteret.* Pro certis hæc non vendito, ſed Te ſine dubio ad verum ducent. *F. A. Wolfius*]

*αὐτὸν ταῦτα.* A. J. Br. Caſt. ita habent; contra *αὐτῷ* Steph. Leoncl.

§. 14. *οἱ Ἕλληνες ἢ.* Hæc verba Morus delenda cenſuit, et incluſit. Recte, puto. Ante *ἕνεκα* A. J. Bryl. Caſt. omittunt *ἄν.*

*οὐδ᾽ ἐπί.* Ita Leoncl. et Steph. In Caſtal. eſt *οὐδὲ εἰς.* Reliquæ omiſerunt.

§. 15. *λόγοις ταῦτ᾽ ἦν.* Morus cum Steph. emendabat *λόγοι.* Sed vitium ita non perſanatur. Kœppen legebat: *τοῖς δ᾽ ἐναντίοις οὐ βουλομένοις ταῦτ᾽ ἦν.* Contra doctiſſimus *Wolf* ad Demoſthenis Leptineam p. 319. *τοῖς δ᾽ ἐναντίοις λόγος ταῦτ᾽ ἦν*, eo nempe ſenſu, quo Demoſthenes *ταῦτα λόγους καὶ φλυαρίας*, et Cicero in Piſon. 27. verba atque ineptias dixerint. Verum ea, quæ ſequuntur, aliena puto eſſe ab eo ſenſu; quare opem Codicum expectandam cenſeo.

εἶναι, μὴ Λήμνου καὶ Ἴμβρου καὶ Σκύρου στερηθεῖεν· οἵ τε Θηβαῖοι, μὴ ἀναγκασθείησαν ἀφεῖναι τὰς Βοιωτίδας πόλεις αὐτονόμους· οἵ τ᾽ Ἀργεῖοι, οὗ ἐπεθύμουν, οὐκ ἐνόμιζον ἂν τὴν Κόρινθον δύνασθαι ὡς Ἄργος ἔχειν, τοιούτων συνθηκῶν καὶ σπονδῶν γενομένων. Αὕτη μὲν ἡ εἰρήνη οὕτως ἐγένετο ἀτελής, καὶ ἀπῆλθον οἴκαδε ἕκαστος.

16 Ὁ μέντοι Τιρίβαζος τὸ μὲν ἄνευ βασιλέως μετὰ Λακεδαιμονίων γενέσθαι οὐκ ἀσφαλὲς αὐτῷ ἡγεῖτο εἶναι· λάθρα γε μέντοι ἔδωκε χρήματα Ἀνταλκίδᾳ, ὅπως ἄν, πληρωθέντος ναυτικοῦ ὑπὸ Λακεδαιμονίων, οἵ τε Ἀθηναῖοι καὶ οἱ σύμμαχοι αὐτῶν μᾶλλον τῆς εἰρήνης προσδέοιντο. καὶ τὸν Κόνωνα, ὡς ἀδικοῦντά τε βασιλέα, καὶ ἀληθῆ λεγόντων Λακεδαιμονίων, εἷρξε. ταῦτα δὲ ποιήσας ἀνέβαινε πρὸς βασιλέα, φράσων, ἅ τε λέγοιεν οἱ Λακεδαιμόνιοι, καὶ ὅτι Κόνωνα συνειληφὼς εἴη ὡς ἀδικοῦντα, καὶ ἐρωτήσων, τί χρὴ ποιεῖν περὶ τούτων ἁπάντων. 17 Καὶ βασιλεὺς μέν, ὡς Τιρίβαζος ἄνω παρ᾽ αὐτῷ ἦν, Στρούθαν καταπέμπει ἐπιμελησόμενον τῶν κατὰ θάλατταν. ὁ μέντοι Στρούθας ἰσχυρῶς τοῖς Ἀθηναίοις καὶ τοῖς συμμάχοις τὴν γνώμην

Σκύρου. Etiam hic vulgatum Σκίρου emendavi. In fœdere videntur hæ inſulæ ubique nominatæ fuiſſe, eaſdemque conjunctim nominat Oratores Attici. Sed præter eas, quæ nominantur, multæ parvæ earum numero et imperio comprehendebantur, quas interdum ſingulas cum contemtu illi nominant. Ita Plato in Menexeno p. 298. τειχισαμένη δὲ καὶ ναυπηγησαμένη, ἐκδεξαμένη τὸν πόλεμον, ἐπειδὴ ἠναγκάσθη πολεμεῖν, ὑπὲρ Παρίων ἐπολέμει Λακεδαιμονίοις. Iſocrates Panegyric. cap. 37. περὶ μὲν τῶν Κυκλάδων νήσων ἀμφισβητοῦμεν. Utrumque locum Interpretes nuperrimi aut ſilentio prætermiſerunt, aut male interpretati ſunt.

οὗ ἐπεθύμουν. Nimis hæc mihi abrupta videtur oratio.

ὡς Ἄργος. Vulgatum ὥστ᾽ emendabat Leoncl. legendo ὡς τ᾽ Ἄργος. Cum Moro τε delere malui.

§. 16. εἷρξε. Diodorus xiv. 85. καὶ πρόφασιν μὲν λαβὼν ὅτι ταῖς βασιλικαῖς δυνάμεσι τὰς πόλεις Ἀθηναίοις κατακτᾶται, προαγόμενος δ᾽ αὐτὸν εἰς Σάρδεις συνέλαβε καὶ δήσας εἰς φυλακὴν κατέθετο. Iſocrates Panegyric. c. 41. ἐπὶ θανάτῳ συλλαβεῖν dixit; ſed Cornelius Nepos in Conone cap. 5. auctore Dinone refert, effugiſſe Cononem, dubium Tiribazo ſciente an imprudente. Dinonis auctoritatem confirmat Lyſias ſuper Ariſtophanis bonis p. 638. ὁ γὰρ Κόνωνος θάνατος καὶ αἱ διαθῆκαι, ἃς διέθετο ἐν Κύπρῳ. deinde p. 640. αὐτὸς γὰρ ἐν τῇ νόσῳ ὢν εὖ φρονῶν ἤσθετο. Ubi, etſi cum Marklando legas ἐν τῇ νήσῳ ὢν—διέθετο, ſenſum tamen vix ita mutaveris, ut teſtimonium Lyſiæ de morte Cononis in Cypro inſula plane tollas.

προσεῖχε, μεμνημένος, ὁπόσα κακὰ ἡ τοῦ βασιλέως χώρα ἐπεπόνθει ὑπ' Ἀγησιλάου. οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ ἑώρων τὸν Στρούθαν πρὸς ἑαυτοὺς μὲν πολεμικῶς ἔχοντα, πρὸς Ἀθηναίους δὲ φιλικῶς, Θίμβρωνα πέμπουσιν ἐπὶ πολέμῳ πρὸς αὐτόν. ὁ δὲ, διαβάς τε, καὶ ὁρμώμενος ἐξ Ἐφέσου τε καὶ τῶν ἐν Μαιάνδρου πεδίῳ πόλεων, Πριήνης τε καὶ Λευκόφρυος καὶ Ἀχιλλείου, ἔφερε καὶ ἦγε τὴν βασι-18 λέως. Προϊόντος δὲ τοῦ χρόνου, κατανοήσας ὁ Στρούθας, ὅτι Θίμβρων βοηθοίη ἑκάστοτε ἀτάκτως καὶ καταφρονητικῶς, ἔπεμψεν ἱππέας ἐς τὸ πεδίον· καὶ καταδραμόντας ἐκέλευσε περιβαλλομένους ἐλαύνειν, ὅ τι δύναιντο. ὁ δὲ Θίμβρων ἐτύγχανεν ἐξ ἀρίστου διασκηνῶν μετὰ Θερσάνδρου τοῦ αὐλητοῦ. ἦν γὰρ ὁ Θέρσανδρος οὐ μόνον αὐλητὴς ἀγαθὸς, ἀλλὰ καὶ ἀλκῆς [ἰσχύος], ἅτε λακωνίζων, ἀντεποι-19 εῖτο. Ὁ δὲ Στρούθας, ἰδὼν ἀτάκτως τε βοηθοῦντας καὶ ὀλίγους τοὺς πρώτους, ἐπιφαίνεται πολλούς τε ἔχων ἱππέας καὶ συντεταγμένους. καὶ Θίμβρωνα μὲν καὶ Θέρσανδρον πρώτους ἀπέκτειναν· ἐπεὶ δὲ οὗτοι ἔπεσον, ἐτρέψαντο καὶ τὸ ἄλλο στράτευμα, καὶ διώκοντες παμπληθεῖς κατέβαλον, ἦσαν δὲ οἳ καὶ ἐσώθησαν αὐτῶν εἰς τὰς φιλίας πό-

§. 17. ἐξ Ἐφέσου. Diodorus xiv. 99. ὃς κατέλαβε τὸ χωρίον Ἰόνδα καὶ Κύρισσον ὄρος ὑψηλὸν Ἐφέσου ἀπέχον σταδίους τετταράκοντα. Ubi Weſſeling. malebat Πρίωνα legere quam Ἰόνδα.

Ἀχιλλείου. Plinius v. ſect. 33. Achilleon oppidum juxta tumulum Achillis conditum a Mitylenæis in agro Trojano habet. Stephanus Byz. ἔστι καὶ πόλις ἐν τῷ Σιγείῳ Ἀχίλλειον. Vide Valckenair ad Herodotum p. 425.

§. 18. καταδραμόντας. Contra Diodorus : τοῦ Θίμβρωνος μετὰ μέρους τῆς δυνάμεως ἐξελθόντος καὶ πολλὴν περιβαλομένου λείαν, ἐπελθὼν ὁ Στρούθας etc.

διασκηνῶν. Recte Morus e tentorio diſcedere interpretatur. In Cyropædia iii. 1. 38. διασκηνούντων μετὰ τὸ δεῖπνον male Zeune interpretatur, in tentorio verſari.

Θερσάνδρου. Polyænus vi. 10. de Alexandro Æolidis præfecto : μισθωσάμενος τῶν ἀπ' Ἰωνίας τοὺς ἀρίστους ἀγωνιστὰς, αὐλητὰς μὲν Θέρσανδρον καὶ Φιλόξενον, ὑποκριτὰς δὲ Καλλιππίδην καὶ Νικόστρατον. Deinde Thimbronis meminit, ut agnoſcas, eundem eſſe hominem, qui ad numerum τῶν Διονυσιακῶν τεχνιτῶν pertinuiſſe videtur, quos in Ionia Lyſander olim multis honoribus auxerat. De quibus forte alibi plura dicam.

[ἰσχύος]. Leoncl. jam recte cenſuit hoc vocabulum eſſe, alterius interpretationem ; igitur Morus incluſit.

§. 19. ἔχων ἱππέας καί. In St. et L. eſt : ἔχων καὶ συντεταγμένους ἱππέας. In A. J. Br. Caſt. deeſt καί.

λεις. καὶ πλέονες, διὰ τὸ ὀψὲ αἰσθέσθαι τῆς βοηθείας— πολλάκις γὰρ καὶ τότε οὐδὲ παραγγείλας τὴν βοήθειαν ἐποιήσατο. καὶ ταῦτα μὲν οὕτως ἐγεγένητο.

20 Ἐπεὶ δ' ἦλθον εἰς Λακεδαίμονα οἱ ἐκπεπλωκότες Ῥοδίων ὑπὸ τοῦ δήμου, ἐδίδασκον, ὡς οὐκ ἄξιον εἴη περιϊδεῖν Ἀθηναίους Ῥόδον καταστρεψαμένους, καὶ τοσαύτην δύναμιν συνθεμένους. γνόντες οὖν οἱ Λακεδαιμόνιοι, ὡς, εἰ μὲν κρατήσοι ὁ δῆμος, Ἀθηναίων ἔσται Ῥόδος ἅπασα, εἰ δὲ οἱ πλουσιώτεροι, αὐτῶν, ἐπλήρωσαν αὐτοῖς ναῦς ὀκτὼ, ναύαρχον δὲ Ἔκδικον ἐπέστησαν. 21 Ξυνέπεμψαν δ' ἐπὶ τῶν νεῶν τούτων καὶ Διφρίδαν. ἐκέλευσαν δ' αὐτὸν, διαβάντα ἐς τὴν Ἀσίαν, τάς τε Θίμβρωνα ὑποδεξαμένας πόλεις διασώζειν, καὶ στράτευμα δὲ τὸ περισωθὲν ἀναλαβόντα, καὶ ἄλλο, εἴ ποθεν δύναιτο, συλλέξαντα, πολεμεῖν πρὸς τὸν Στρούθαν. ὁ μὲν δὴ Διφρίδας ταῦτ' ἐποίει, καὶ τἄλλα ἐπετύγχανε, καὶ Τιγράνην, τὸν τὴν Στρούθα ἔχοντα θυγατέρα, πορευόμενον εἰς Σάρδεις, λαμβάνει σὺν τῇ γυναικὶ, καὶ χρημάτων πολλῶν ἀπέλυσεν· ὥστ' εὐθὺς ἐντεῦθεν εἶχε μισθοδοτεῖν. 22 Ἦν δὲ οὗτος ὁ ἀνὴρ εὔχαρίς τε οὐχ ἧττον τοῦ Θίμ-

τῆς βοηθείας. Addendum Leoncl. censuit ἀπελείποντο. Morus tale quid: *ne adfuerant quidem conflictui.*

καὶ τότε οὐδέ. Morus addit ὡς, ut sit ὡς καὶ τότε. In margine L. est οὐ pro οὐδέ.

§. 20. Ῥοδίων. Diodorus xiv. 79. qui Cononis res mari gestas accuratius multo enarravit, sub Olymp. 96. 1. cum Agesilaus in Asia esset, Rhodios se Cononi adjunxisse narrat, ejecto Lacedæmoniorum præsidio, et ut videtur, ejectis simul civibus Lacedæmoniorum studiosis. Deinde cap. 97. sub Olympiadis 97. anno 2. Lacedæmoniorum studiosos Rhodios narrat ejecisse eos, qui cum Atheniensibus facerent, eosque, facto prælio, vicisse; postea Lacedæmona misisse legatos, qui auxilium a Lacedæmoniis peterent; atque hos submisisse triremes septem cum tribus Spartiatis, Philodico, Diphila et Eudocimo, qui rempublicam Rhodiorum componerent. Wesselingius recte hic admonuit, Eudocimum esse, qui Xenophonti Ecdicus, et Diphilam, qui huic Diphridas audit. Diphridam in prælii ad Coroneam mentione memorat Plutarchus, ut supra admonui, nescio an eundem. Diodori locum si animadvertisset Dodwellus, conjectura non opus habebat, ut hæc auxilia cum Ecdico navarcho missa Rhodiis ad annum 2. Olympiadis 97. referret.

καταστρεψαμένους. Ita scribendum putavi propter sensum et sequens συνθεμένους cum vulgo esset καταστρεψομένους.

§. 21. ξυνέπεμψαν. Margo L. ξυνεξέπεμψαν.

τἄλλα. St. L. τὰ τ' ἄλλα.

τῇ γυναικί. Margo Leoncl. αὐτῇ τῇ γυναικί.

βρωνος, μᾶλλόν τε συντεταγμένος, καὶ ἐγχειρητικώτερος στρατηγός. οὐδὲ γὰρ ἐκράτουν αὐτοῦ αἱ τοῦ σώματος ἡδοναὶ, ἀλλ' ἀεὶ, πρὸς ᾧ ἤει ἔργῳ, τοῦτο ἔπραττεν. ὁ δ' Ἔκδικος ἐπεὶ ἐς τὴν Κνίδον ἔπλευσε, καὶ ἐπύθετο τὸν ἐν τῇ Ῥόδῳ δῆμον πάντα κατέχοντα, καὶ κρατοῦντα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, (καὶ δὴ ἔπλεον διπλασίαις τριήρεσιν, ἢ
23 αὐτὸς εἶχεν,) ἡσυχίαν ἦγεν ἐν τῇ Κνίδῳ. Οἱ δ' αὖ Λακεδαιμόνιοι, ἐπεὶ ᾔσθοντο αὐτὸν ἐλάττω δύναμιν ἔχοντα, ἢ ὥστε τοὺς φίλους ὠφελεῖν, ἐκέλευσαν τὸν Τελευτίαν σὺν ταῖς δώδεκα ναυσὶν, αἷς εἶχεν ἐν τῷ περὶ Ἀχαΐαν καὶ Λέχαιον κόλπῳ, περιπλεῖν πρὸς τὸν Ἔκδικον, κἀκεῖνον μὲν ἀποπέμψαι, αὐτὸν δὲ τῶν τε βουλομένων φίλων εἶναι ἐπιμελεῖσθαι, καὶ τοὺς πολεμίους ὅ τι δύναιτο κακὸν ποιεῖν. ὁ δὲ Τελευτίας, ἐπεὶ ἀφίκετο εἰς τὴν Σάμον, προσλαβὼν ἐκεῖθεν ναῦς, ἔπλευσεν εἰς Κνίδον, ὁ δὲ Ἔκδικος οἴκαδε.
24 Ὁ δὲ Τελευτίας ἔπλει ἐς τὴν Ῥόδον, ἤδη ἔχων ναῦς ἑπτὰ καὶ εἴκοσι· πλέων δὲ περιτυγχάνει Φιλοκράτει τῷ Ἐφι-

§. 22. ἐγχειρητικώτερος. Deinceps non στρατηγὸς, ſed ἀρετῆς ex h. l. laudat Priſcianus p. 1173.

[ἤει ἔργῳ. Sic etiam editio Mori habet; ſed legi debere puto εἴη. Editiones reliquas nunc inſpicere non licet. *Ex Addendis.*]

Κνίδον. Diodorus l. c. Lacedæmonios Rhodiis ſubmiſſos, ait, primum Samum appuliſſe, eamque urbem a fide Athenienſium abalienaſſe; deinde Rhodiorum rempublicam conſtituiſſe; poſtea addit, Lacedæmonios, rebus proſpere cedentibus ipſis, imperium maris iterum adſpiraſſe, claſſem collegiſſe, et paulatim ſocios ſibi adjunxiſſe. Igitur in Samum, Cnidum et Rhodum navigaſſe atque ita collectas inſtruxiſſe naves 27.

καὶ δὴ ἔπλεον. Ita recte Morus dirimendum cenſuit eſſe verbum διέπλεον, quod vulgo legitur. Fr. Portus legebat: διαπλέοντα.

§. 23. κόλπῳ. Male J. Bryl. Caſtal. κόλπον.

εἰς Κνίδον. In margine Leonclav. eſt: εἰς Κνίδον οἴκαδε. αὐτὸς δ' ἔπλει εἰς τὴν Ῥόδον. Videtur igitur voluiſſe ſcribi: ἔπλευσεν ὁ μὲν Ἔκδικος εἰς Κνίδον οἴκαδε, αὐτὸς δ' ἔπλει. Sed ſana omnia præſtat locus Diodori.

§. 24. ἑπτὰ καὶ εἴκοσι. Eundem numerum et rerum ordinem habet Diodorus, ut exſcripſiſſe eum Xenophontem ſuſpiceris.

Φιλοκράτει. Caſt. male Ἐφιάλτῳ habet. Auxilium decem navium triremium cum peltaſtis Evagoræ ſubmiſſum cum reliquis Evagoræ molitionibus, optime cognoſces ex Lyſiæ oratione ſuper Ariſtophanis bonis p. 625. 631. et 643. Simul ex iiſdem locis conſtat, Cononem tum adhuc ſuperfuiſſe Cypri et Evagoram adjuvaſſe. Voluit ſcilicet ita ulciſci perfidiam regis Perſarum; nec erat quod Athenienſium conſilium tantopere miraretur Xenophon. Atque ita novo argumento confirmatur narratio Dinonis, Cononem ex vinculis Perſarum effugiſſe. De duce decem triremium Evagoræ ſubmiſſarum nihil

ἄλτου, πλέοντι μετὰ δέκα τριηρῶν Ἀθήνηθεν εἰς Κύπρον ἐπὶ ξυμμαχίᾳ τοῦ Εὐαγόρου, καὶ λαμβάνει πάσας· ὑπεναντιώτατα δὴ ταῦτα ἀμφότεροι ἑαυτοῖς πράττοντες· οἵ τε γὰρ Ἀθηναῖοι, φίλῳ χρώμενοι βασιλεῖ, ξυμμαχίαν

diſtincte tradidit Lyſias. Sed exſtat oratio ejus contra Philocratem, cognatum et quæſtorem Ergoclis, quem ducem Athenienſes damnaverant cujuſque bona publicaverant, quod rempublicam male geſſerat, ſuam vero auxerat. Ergocles Philocratem demum trierarchum fecerat. Ex loco quidem p. 831. conſtat, Ergoclem cum Thraſybulo præfuiſſe imperio claſſis; ſed Thraſybulum ſummum fuiſſe ducem, ineſſe puto verbis: Θρασυβούλου στρατηγοῦντος. Patrem Philocratis nuſquam Lyſias nominavit. Ergoclis autem crimen diſcitur ex Lyſiæ in eum oratione p. 781. Thraſybulus ſcilicet eum cum aliis eduxerat, cum claſſi præeſſet; ſed uterque ſuam magis quam publicam rem auxiſſe dicuntur; quapropter Ergocles inter adulatores Thraſybuli relatus fuit. Factum deinde fuit ducum negligentia, ut navium quædam propter pecuniæ inopiam deſererentur a militibus, (δι' ἀπορίαν χρημάτων καταλυομένας) aliæ amitterentur. Igitur Athenienſes, quum Thraſybulum cum reliquis ducibus et comitibus redire, rationemque imperii et pecuniarum a civitatibus acceptarum reddere juberent, Ergocles Thraſybulo ſuaſit, ut, occupato Byzantio, naves retineret et Seuthæ filiam in matrimonium duceret. Ante reditum vero inter hæc conſilia Thraſybulus occiſus fuit ab Aſpendiis, ut Xenophon docuit. De hac ejus morte Lyſias, ſtatim poſt memorata hominis conſilia peſſima, ita pergit p. 821. Θρασύβουλος μὲν οὖν, (οὐδὲν γὰρ δεῖ περὶ αὐτοῦ πλείω λέγειν) καλῶς ἐποίησεν οὕτω τελευτήσας τὸν βίον. οὐ γὰρ ἔδει αὐτὸν οὔτε ζῆν, τοιούτοις ἔργοις ἐπιβουλεύοντα, οὐθ' ὑφ' ὑμῶν ἀποθανεῖν, ἤδη τι δοκοῦντα ὑμᾶς ἀγαθὸν πεποιηκέναι, ἀλλὰ τοιούτῳ τρόπῳ τῆς πόλεως ἀπαλλαγῆναι. Ergocli poſt reditum accuſato, cum alii, tum Lyſias imprimis ei objecit res male geſtas ad Halicarnaſſum p. 223. οἶμαι δ' Ἐργοκλέα περὶ μὲν Ἁλικαρνασσοῦ καὶ περὶ τῆς ἀρχῆς καὶ περὶ τῶν αὐτῷ πεπραγμένων οὐκ ἐπιχειρήσειν ἀπολογεῖσθαι, ἐρεῖν δ' ὡς ἀπὸ Φυλῆς κατῆλθε. Fuerat igitur inter exſules, qui cum Thraſybulo Phylen occupaverant; eoſque reliquis civibus prætuliſſe Thraſybulus videtur in imperio. De Halicarnaſſo iterum ibi p. 827. καὶ Ἁλικαρνασσεῖς καὶ οἱ ἄλλοι οἱ ὑπὸ τούτων ἠδικημένοι. Hi igitur Halicarnaſſenſes inprimis de Thraſybulo et Ergocle conqueſti erant. Magna pecunia multatum fuiſſe Ergoclem, diſcimus ex Demoſthene de falſa legatione p. 389. Sed cum multa, irrogata ei, ex opibus ejus multo minoribus non poſſet redigi, quæſtione inſtituta, accuſatus eſt a Lyſia Philocrates, qui quæſtor Ergoclis fuerat, et multa ſurripuiſſe ex bonis publicis, permittente Ergocle, putabatur, monente Lyſia p. 828. Ante reditum Ergoclis ſuſpicor ipſum etiam Thraſybulum Stirienſem, ducem claſſis, fuiſſe a Lyſia accuſatum; quippe ex cujus oratione, contra Thraſybulum dicta, refert nomina Anaxibii, Dicæopolis, Seuthæ, Polyſtrati, Iſmeniæ, Pyrrhæ, et alia quædam verba Harpocration, etſi ſimul monet, dubitaſſe criticos, an genuina ſit Lyſiæ oratio. Quæ ſi exſtaret, de hac poſtrema Thraſybuli expeditione multo plura et certiora haberemus comperta. Atque hæc quidem ego paulo copioſius diſputavi, quoniam Lyſiæ interpretes nec rerum ibi traditarum tempora annotaſſe nec perſonas diſtinxiſſe videbam. Nec præter Lyſiam alius ex ſcriptoribus vetuſtis Thraſybuli deterrima ante mortem conſilia commemoravit; et miror, a doctiſſimo Diodori interprete locum Lyſiæ fuiſſe omiſſum. Philocratem igitur, a Xenophonte commemoratum, puto eundem eſſe, quem Lyſias accuſavit. De Byzantio et Thaſo, occupata a Thraſybulo hoc tempore, diſtinctius quædam trademus infra ad v. 1. 28.

δὴ ταῦτα. Male A. J. Bryl. Caſt. δὲ ταῦτα.

ἔπεμπον Εὐαγόρᾳ, τῷ πολεμοῦντι πρὸς βασιλέα· ὅ τε Τελευτίας, Λακεδαιμονίων πολεμούντων βασιλεῖ, τοὺς πλέοντας ἐπὶ τῷ ἐκείνου πολέμῳ διέφθειρεν. ἐπαναπλεύσας δ' εἰς Κνίδον, καὶ διαθέμενος ἃ ἔλαβον, ἐς Ῥόδον αὖ ἀφικόμενος ἐβοήθει τοῖς τὰ αὐτῶν φρονοῦσιν.

25 Οἱ δ' Ἀθηναῖοι, νομίσαντες, τοὺς Λακεδαιμονίους πάλιν δύναμιν κεκτῆσθαι ἐν τῇ θαλάττῃ, ἀντεκπέμπουσι Θρασύβουλον τὸν Στειριέα σὺν τετταράκοντα ναυσίν. ὁ δ' ἐκπλεύσας, τῆς μὲν ἐς Ῥόδον βοηθείας ἀπέσχε, νομίζων, οὔτ' ἂν αὐτὸς ῥᾳδίως τιμωρήσασθαι τοὺς φίλους τῶν Λακεδαιμονίων, τεῖχος ἔχοντας, καὶ Τελευτίου σὺν ναυσὶ παρόντος, συμμάχου ὄντος αὐτοῖς· οὔτ' ἂν τοὺς σφετέρους φίλους ὑπὸ τοῖς πολεμίοις γενέσθαι, τάς τε πόλεις ἔχοντας, καὶ 26 πολὺ πλείονας ὄντας, καὶ μάχῃ γε κεκρατηκότας· εἰς δὲ τὸν Ἑλλήσποντον πλεύσας, καὶ οὐδενὸς ἀντιπάλου παρόντος, ἐνόμισε καταπρᾶξαι ἄν τι τῇ πόλει ἀγαθόν. καὶ οὕτω δὴ καταμαθὼν πρῶτον μὲν στασιάζοντας Ἀμάδοκόν τε, τὸν Ὀδρυσῶν βασιλέα, καὶ Σεύθην, τὸν ἐπὶ θαλάττῃ ἄρχοντα, ἀλλήλοις μὲν διήλλαξεν αὐτοὺς, Ἀθηναίοις δὲ φίλους καὶ συμμάχους ἐποίησε, νομίζων, καὶ τὰς ὑπὸ τῇ Θρᾴκῃ οἰκούσας

ἐκείνου πολέμῳ. Caſtal. edidit ἐκείνῳ. Voluit ita, puto, mollire duritiem lectionis vulgatæ, ubi ἐκείνου πόλεμος dicitur bellum contra regem Perſarum.

§. 25. Στειριέα. Vulgatum Στυριέα certatim emendarunt viri docti, Hemſterhuis ad Ariſtoph. Plutum p. 166. Weſſeling ad Diodorum xiv. 32. et Marckland. ad Lyſiam p. 580. edit. Reiſke. Navium numerum Thraſybulo duce deductarum eundem dat Diodorus xiv. 94. ſub Olympiadis 97. anno 1. Paulo antea Margo Leonclav. pro κεκτῆσθαι habet κατασκευάζεσθαι. Atque omnino vulgata lectio νομίσαντες κεκτῆσθαι duri aliquid habet. Saltem eſſe deberet ἀκούσαντες.

ἀπέσχε. Ex conjectura Fr. Porti ἀπέσχετο poſuit Margo Leonclav. Ibidem deinceps exſtat τιμωρήσεσθαι. Male!

μάχῃ κεκρατηκότας. Ante Ecdici navarchi adventum Lacedæmoniorum ſtudioſi cives, prælio congreſſi, vicerant amicos Athenienſium cives, eoſque ejecerant. Poſtea hi contra illos prælio viciſſe videntur, et urbes ipſas tenuiſſe, cum illi caſtella ſeu acropoles occupaſſent; τεῖχος igitur videtur Rhodiorum urbis acropolis, aut caſtellum aliud inſulæ eſſe. Poſtremam interpretationem confirmat locus Diodori ad §. 30. afferendus.

§. 26. οἰκούσας. Recte ita emendavit Leonclav. vulgatum ἀκούσας. Amadocus in Anabaſi vii. 3. et alibi Μήδοκος appellatur. Seuthen Amadoco inſidiantem habet Ariſtoteles Politic. v. p. 463. ed. Victorii.

πόλεις Ἑλληνίδας, φίλων ὄντων τούτων, μᾶλλον προσέχειν ἂν τοῖς Ἀθηναίοις τὸν νοῦν. Ἐχόντων δὲ τούτων τε καλῶς, 27 καὶ τῶν ἐν τῇ Ἀσίᾳ πόλεων, διὰ τὸ βασιλέα φίλον τοῖς Ἀθηναίοις εἶναι, πλεύσας εἰς Βυζάντιον, ἀπέδοτο τὴν δεκάτην τῶν ἐκ τοῦ Πόντου πλεόντων. μετέστησε δὲ ἐξ ὀλιγαρχίας εἰς τὸ δημοκρατεῖσθαι τοὺς Βυζαντίους· ὥστ᾽ οὐκ ἀχθεινῶς ἑώρα ὁ τῶν Βυζαντίων δῆμος Ἀθηναίους ὅτι πλείστους παρόντας ἐν τῇ πόλει. Ταῦτα δὲ πράξας, καὶ 28 Χαλκηδονίους φίλους προσποιησάμενος, ἀπέπλει ἔξω τοῦ Ἑλλησπόντου. ἐπιτυχὼν δ᾽ ἐν τῇ Λέσβῳ ταῖς πόλεσι πάσαις, πλὴν Μιτυληναίων, λακωνιζούσαις, ἐπ᾽ οὐδεμίαν αὐτῶν ᾔει, πρὶν ἐν Μιτυλήνῃ συντάξας τούς τε ἀπὸ τῶν αὐτοῦ νεῶν τετρακοσίους, καὶ τοὺς ἐκ τῶν πόλεων φυγάδας, ὅσοι εἰς τὴν Μιτυλήνην καταπεφεύγεσαν, καὶ αὐτῶν δὲ Μιτυληναίων τοὺς ἐῤῥωμενεστάτους προσλαβὼν, καὶ ἐλπίδας ὑποθεὶς, τοῖς μὲν Μιτυληναίοις, ὡς, ἐὰν λάβῃ τὰς πόλεις, προστάται πάσης τῆς Λέσβου ἔσονται, τοῖς δὲ φυγάσιν, ὡς, ἐὰν ὁμοῦ ὄντες ἐπὶ μίαν ἑκάστην τῶν πόλεων ἴωσιν, ἱκανοὶ ἔσονται ἅπαντες ἐς τὰς πατρίδας ἀνασωθῆναι, τοῖς δ᾽ αὖ ἐπιβάταις, ὡς, φίλην Λέσβον προσποιήσαντες τῇ πόλει, πολλὴν εὐπορίαν χρημάτων διαπεπραγμένοι ἔσονται· ταῦτα δὴ παραμυθησάμενος, καὶ συντάξας, ἦγεν αὐτοὺς ἐπὶ Μήθυμναν. Θηρίμαχος μέντοι, ὃς ἁρμοστὴς ἐτύγχανεν ὢν 29

§. 27. ἀπέδοτο. Locavit reditus ex decimis ſeu portitorio Byzantino. Ita recte Dodwell in anni hujus chronologia.

§. 28. ἐπιτυχών. Res Thraſybuli breviter ſic enarrat ſub Olympiade 97. 1. Diodorus xiv. 94. πλεύσας εἰς Ἰωνίαν καὶ χρήματα λαβὼν παρὰ τῶν συμμαχῶν, ἀνέζευξε, καὶ διατρίβων περὶ Χεῤῥόνησον, Μήδοκον καὶ Σεύθην, τοὺς τῶν Θρᾳκῶν βασιλεῖς συμμάχους ἐποιήσατο· μετὰ δέ τινα χρόνον ἐξ Ἑλλησπόντου πλεύσας εἰς Λέσβον, ἐν τῷ παρὰ τὸν Ἐρεσσὸν αἰγιαλῷ καθώρμει· ἐπιγενομένων δὲ πνευμάτων μεγάλων, εἴκοσι μὲν καὶ τρεῖς τριήρεις διεφθάρησαν, μετὰ δὲ τῶν λοιπῶν διασωθεὶς ἐπῄει τὰς κατὰ τὴν Λέσβον πόλεις προσαγόμενος. ἀφειστήκεσαν γὰρ πᾶσαι πλὴν Μιτυλήνης. καὶ πρῶτον μὲν ἐπὶ Μήθυμναν παραγενόμενος, ἐπισυνῆψε μάχην τοῖς ἐκ τῆς πόλεως, ὧν ἦρχε Θηρίμαχος ὁ Σπαρτιάτης.

καταπεφεύγεσαν. Ita A. J. Br. Caſt. Leoncl. ſecunda. Morus, neſcio unde ſumtum, poſuit καταπεφεύγεισαν.

ὡς, ἐάν. In A. J. Br. Caſtal. deeſt ὡς.

ταῦτα δή. Ita eſt in margine L. pro vulgato δὲ, et probavit Morus.

τῶν Λακεδαιμονίων, ὡς ἤκουσε τὸν Θρασύβουλον προσιόντα, τούς τε ἀπὸ τῶν αὐτοῦ νεῶν λαβὼν ἐπιβάτας, καὶ αὐτοὺς τοὺς Μηθυμναίους, καὶ ὅσοι Μιτυληναίων φυγάδες ἐτύγχανον αὐτόθι, ἀπήντα ἐπὶ τὰ ὅρια. μάχης δὲ γενομένης, ὁ μὲν Θηρίμαχος αὐτοῦ ἀποθνήσκει, τῶν δ' ἄλλων φευγόντων
30 πολλοὶ ἀπέθανον. Ἐκ δὲ τούτου τὰς μὲν προσηγάγετο
Ol. 97. ¾. τῶν πόλεων, ἐκ δὲ τῶν οὐ προσχωρουσῶν λεηλατῶν, χρήματα τοῖς στρατιώταις παρέχων, ἔσπευδεν εἰς τὴν Ῥόδον ἀφικέσθαι. ὅπως δ' ἂν καὶ ἐκεῖ ἐρρωμενέστατον τὸ στράτευμα ποιήσαιτο, ἐξ ἄλλων τε πολλῶν ἠργυρολόγει, καὶ εἰς Ἄσπενδον ἀφικόμενος, ὡρμίσατο ἐς τὸν Εὐρυμέδοντα ποταμόν. ἤδη δὲ ἔχοντος αὐτοῦ χρήματα παρὰ τῶν Ἀσπενδίων, ἀδικησάντων τι ἐκ τῶν ἀγρῶν τῶν στρατιωτῶν, ὀργισθέντες οἱ Ἀσπένδιοι, τῆς νυκτὸς ἐπιπεσόντες, κατακόπτουσιν ἐν τῇ σκηνῇ αὐτόν.

31 Καὶ Θρασύβουλος μέντοι, μάλα δοκῶν ἀνὴρ ἀγαθὸς εἶναι, οὕτως ἐτελεύτησεν. οἱ μέντοι Ἀθηναῖοι, ἑλόμενοι ἀντ' αὐτοῦ Ἀγύριον, ἐπὶ τὰς ναῦς ἐξέπεμψαν. αἰσθόμενοι δ' οἱ Λακεδαιμόνιοι, ὅτι ἡ δεκάτη τε τῶν ἐκ τοῦ Πόντου πεπραμένη εἴη ἐν Βυζαντίῳ ὑπ' Ἀθηναίων, καὶ Χαλκηδόνα ἔχοιεν,

§. 29. προσιόντα. Margo Leonclav. προσιέναι.

§. 30. ἀφικέσθαι. Recte ita legit et diſtinguit margo Leoncl. cum vulgo eſſet ἀφικέσθαι, ὅπως ἂν—ποιήσαιτο· ἐξ ἄλλων τε etc.

ἄλλων τε πολλῶν. An fuit olim πόλεων ſcriptum?

ἀδικησάντων. Diodorus: ἐδῄωσαν τὴν χώραν. Cornelius Nepos cap. 4. quum prætor claſſem ad Ciliciam appuliſſet, neque ſatis diligenter in caſtris ejus agerentur vigiliæ, a barbaris ex oppido noctu eruptione facta in tabernaculo interfectus eſt. Poſt Thraſybuli cædem, narrante Diodoro xiv. 99. οἱ τῶν Ἀθηναίων τριήραρχοι περιδεεῖς γενόμενοι καὶ ταχὺ πληρώσαντες τὰς ναῦς εἰς Ῥόδον ἐξέπλευσαν· ἀφεστηκυίας δὲ τῆς πόλεως, καὶ τῶν φυγάδων φρούριόν τι κατειληφότων, μετὰ τούτων διεπολέμουν πρὸς τοὺς κατὰ τὴν πόλιν. οἱ δὲ Ἀθηναῖοι, πυθόμενοι τὸν Θρασυβούλου τοῦ στρατηγοῦ τελευτὴν, Ἀγύριον στρατηγὸν ἐξέπεμψαν. Vides, Rhodiorum ſeditionem recruduiſſe, et nunc Athenienſium amicos, a Lacedæmoniorum ſtudioſis ejectos, caſtellum occupaſſe, quod ſupra Xenophon τεῖχος dixerat, niſi malis locum illum Xenophontis corruptum cenſere.

§. 31. Ἀγύριον. Editiones omnes Ἀργύριον, quod, monente Weſſelingio ad Diodorum, correxit Morus.

ἔχουσι. Legendum puto ἔχοιεν. Optativus enim præceſſit et ſequitur. Paulo antea A. J. Br. Caſt. πεπραγμένη εἴη. Male.

καὶ αἱ ἄλλαι Ἑλλησπόντιαι πόλεις, φίλου ὄντος αὐτοῖς Φαρναβάζου, εὖ ἔχοιεν, ἔγνωσαν ἐπιμελητέον εἶναι. Τῷ 32 μὲν οὖν Δερκυλλίδᾳ οὐδὲν ἐμέμφοντο· Ἀναξίβιος μέντοι, φίλων αὐτῷ γενομένων τῶν ἐφόρων, διεπράξατο, ὥστε αὐτὸς ἐκπλεῦσαι ἁρμοστὴς εἰς Ἄβυδον. εἰ δὲ λάβοι ἀφορμὴν καὶ ναῦς, καὶ πολεμήσειν ὑπισχνεῖτο τοῖς Ἀθηναίοις, ὥστε μὴ ἔχειν ἐκείνοις καλῶς τὰ ἐν Ἑλλησπόντῳ. Οἱ μὲν δὴ 33 δόντες καὶ τρεῖς τριήρεις, καὶ ἀφορμὴν ἐς ξένους χιλίους, ἐξέπεμψαν τὸν Ἀναξίβιον. ὁ δὲ ἐπειδὴ ἀφίκετο, κατὰ γῆν μὲν ἀθροίσας ξενικὸν, τῶν τε Αἰολίδων πόλεων παρεσπᾶτό τινας τοῦ Φαρναβάζου, καὶ ἐπιστρατοπεδευούσαις ταῖς πόλεσιν ἐπὶ τὴν Ἄβυδον ἀντεπεστράτευε, καὶ ἐπορεύετο, καὶ ἐδῄου τὴν χώραν αὐτῶν. καὶ ναῦς δὲ, πρὸς αἷς εἶχε, ξυμπληρώσας ἐξ Ἀβύδου τρεῖς ἄλλας, κατῆγεν, εἴ τι που λαμβάνοι (ἀπ') Ἀθηναίων πλοῖον, ἢ τῶν ἐκείνων ξυμμάχων. Αἰσθόμενοι δὲ ταῦτα οἱ Ἀθηναῖοι, καὶ δεδιότες, μὴ 34 διαφθαρείη σφίσιν, ἃ κατεσκεύασεν ἐν τῷ Ἑλλησπόντῳ Θρασύβουλος, ἀντεκπέμπουσιν Ἰφικράτην, ναῦς ὀκτὼ ἔχοντα, καὶ πελταστὰς ἐς διακοσίους καὶ χιλίους. (οἱ δὲ πλεῖστοι αὐτῶν ἦσαν, ὧν ἐν Κορίνθῳ ἦρξεν. ἐπεὶ γὰρ οἱ Ἀρ-

Ol. 98. $\frac{4}{1}$.

§. 32. οὐδὲν ἐμέμφοντο. Morus hæc ita interpretatur, quaſi Dercyllidas adfuiſſet tum Spartæ; ego vero Dercyllidam adhuc fuiſſe cenſeo in Helleſponto, ubi poſt Cononis victoriam ſupra 8. §. 3. eum nominavit Xenophon. Huic igitur nunc ſucceſſorem mittunt Anaxibium, etſi nullum Dercyllidæ peccatum fuit ulla in re. Mecum ſentit etiam Dodwell.

§. 33. ἀφορμὴν ἐς. Pecunias eſſe, apertum eſt, ad milites mercede conducendos.

ἐπιστρατοπεδευούσαις. Hanc lectionem cum Moro prætuli vulgatæ ἐπιστρατοπεδεύσας. Leoncl. emendabat ἐπιστρατοπεδεύσαντος σὺν τοῖς πόλεσιν.

[Corr. f. ἐπιστρατοπεδεύσασι ταῖς π. Et facilior hæc mutatio, et aoriſtus aptior. Paullo ante veriſſime conjicis, ἄλλων τε πόλεων. Hoc et alia locum meruerant in textu. *F. A. Wolfius.*]

κατῆγεν, εἴ τι. Hæc interpretari oportet ita, ut Anaxibius, navibus comparatis, oberraſſe dicatur eo conſilio, ut interciperet naves Athenienſium eorumque ſociorum. Quodſi vero numerum ſuarum navium, auctum interceptis navibus Athenienſium a Dercyllida, ſignificare voluit Xenophon, tum inſerto καὶ legendum erit: καὶ εἴ τι που λαμβάνοι Ἀθηναίων πλοῖον. Nam ἀπὸ ante Ἀθηναίων recte ut ſuſpectum notarunt Stephan. et Leonclav.

§. 34. Ἰφικράτην. Vide ſupra ad cap. 6. §. 19.

γεῖοι τὴν Κόρινθον Ἄργος ἐπεποίηντο, οὐδὲν ἔφασαν αὐτῶν δεῖσθαι· καὶ γὰρ ἀπεκτόνει τινὰς τῶν ἀργολιζόντων· καὶ
35 οὕτως ἀπελθὼν Ἀθήναζε, οἴκοι ἐτύγχανεν ὤν.) Ἐπεὶ δ᾽ ἀφίκετο ἐς Χερρόνησον, τὸ μὲν πρῶτον Ἀναξίβιος καὶ [ὁ] Ἰφικράτης, λῃστὰς διαπέμποντες, ἐπολέμουν ἀλλήλοις· προϊόντος δὲ τοῦ χρόνου, ὁ Ἰφικράτης, αἰσθόμενος καὶ Ἀναξίβιον οἰχόμενον ἐς Ἄντανδρον σύν τε τοῖς μισθοφόροις, καὶ σὺν τοῖς περὶ αὐτὸν Λακωνικοῖς, καὶ σὺν Ἀβυδηνοῖς διακοσίοις ὁπλίταις, καὶ ἀκούσας, ὅτι τὴν Ἄντανδρον φιλίαν προσειληφὼς εἴη, ὑπονοῶν, ὅτι, καταστήσας αὖ τὴν ἐκεῖ φρουρὰν, ἀποπορεύσοιτο πάλιν, καὶ ἀπάξοι τοὺς Ἀβυδηνοὺς οἴκαδε, διαβὰς τῆς νυκτὸς, ᾗ ἐρημότατον ἦν τῆς Ἀβυδηνῆς, καὶ ἐπανελθὼν ἐς τὰ ὄρη, ἐνέδραν ἐποιήσατο. τὰς δὲ τριήρεις, αἳ διήγαγον αὐτὸν, ἐκέλευε παραπλεῖν ἅμα παρὰ τὴν Χερρόνησον τὴν ἄνω, ὅπως δοκοίη, ὥσπερ εἰώθει, ἐπ᾽
36 ἀργυρολογίαν ἐπαναπεπλευκέναι. Ταῦτα δὲ ποιήσας, οὐκ ἐψεύσθη· ἀλλ᾽ ὁ Ἀναξίβιος ἀπεπορεύετο, ὡς μὲν ἐλέγετο, οὐδὲ τῶν ἱερῶν γεγενημένων ἐκείνῃ τῇ ἡμέρᾳ, ἀλλὰ καταφρονήσας, ὅτι διὰ φιλίας τε ἐπορεύετο, καὶ ἐς πόλιν φιλίαν, καὶ ὅτι ἤκουε τῶν ἀπαντώντων, τὸν Ἰφικράτην ἀναπεπλευκέναι τὴν ἐπὶ Προικόννησον, ἀμελέστερον ἐπορεύετο.

*ἀργολιζόντων*. Recte ita Stephan. probante Leoncl. pro vulgato *ἀργολογιζόντων* scripsit, atque ita etiam vertit Pirkheimerus.

*ἀπελθών*. Male A. J. Br. Cast. *ἀπελθόντων*.

§. 35. *Ἀναξίβιος καὶ ὁ Ἰφικράτης*. Articulum ante nomen Iphicratis incluserat Morus. Ego contra Anaxibio etiam addendum eum putem.

*ᾗ ἐρημότατον τῆς Ἀβυδηνῆς*. Recte ita vulgatum *τοῖς Ἀβυδηνοῖς* emendavit Fr. Portus, approbante Leoncl. Similis ferme locus est Herodoti ix. p. 744. *ὄπισθε τοῦ τείχεος καταβάντες τῇ ἦν ἐρημότατον τῶν πολεμίων*. Est igitur h. l. pars ea regionis Abydenæ, quæ minime ab hominibus frequentabatur, ideo insidiis collocandis idonea. Vulgatam tamen præferebat Morus.

*ἅμα*. In St. Leoncl. additur *ἡμέρᾳ*. Ego hoc additamentum necessarium puto ad consilium ducis, qui hostibus persuadere volebat, se alio abire ad pecunias colligendas. Igitur non noctu cum eo debebant ex statione exire, sed interdiu. Deinceps vulgatum *τῆς ἄνω*, monente Brodæo, correxit Leonclavius.

§. 36. *γεγενημένων*. Margo Leonclav. addit *αὐτῷ*.

*ἐπὶ Προικόννησον*. Hæc igitur antea *Χερρόνησος ἡ ἄνω* dicebatur, nisi ibi malis cum Moro *τὴν ἄνω* intelligere *τὴν ἄνω ὁδόν*.

Ὅμως δὲ ὁ Ἰφικράτης, ἕως μὲν ἐν τῷ ἰσοπέδῳ τὸ στράτευμα τοῦ Ἀναξιβίου ἦν, οὐκ ἐξανίστατο· ἐπεὶ δὲ οἱ μὲν Ἀβυδηνοὶ ἀφηγούμενοι ἤδη ἐν τῷ παρὰ Κρεμαστὴν ἦσαν πεδίῳ, ἔνθα ἐστὶ τὰ χρύσεια αὐτοῖς, τὸ δ' ἄλλο στράτευμα ἐν τῷ κατάντει ἦν, ὁ δὲ Ἀναξίβιος ἄρτι κατέβαινε ξὺν τοῖς Λακωνικοῖς· ἐν τούτῳ ὁ Ἰφικράτης ἐξανίστησι τὴν ἐνέδραν, καὶ δρόμῳ ἐφέρετο πρὸς αὐτόν. 37

Καὶ ὁ Ἀναξίβιος, γνοὺς μὴ εἶναι ἐλπίδα σωτηρίας, ὁρῶν ἐπὶ πολύ τε καὶ στενὸν ἐκτεταμένον τὸ ἑαυτοῦ στράτευμα, καὶ νομίζων, πρὸς τὸ ἄναντες οὐκ ἂν δύνασθαι σαφῶς βοηθῆσαι αὐτῷ τοὺς παρεληλυθότας, ὁρῶν δὲ καὶ ἐκπεπληγμένους ἅπαντας, ὡς εἶδον τὴν ἐνέδραν, εἶπε πρὸς τοὺς παρόντας· Ἄνδρες, ἐμοὶ μὲν καλὸν ἐνθάδε ἀποθανεῖν· ὑμεῖς δὲ, πρὶν συμμῖξαι τοῖς πολεμίοις, σπεύδετε ἐς τὴν σωτηρίαν. 38

Καὶ ταῦτ' ἔλεγε, καὶ παρὰ τοῦ ὑπασπιστοῦ λαβὼν τὴν ἀσπίδα, ἐν χώρᾳ αὐτοῦ μαχόμενος ἀποθνήσκει. καὶ τὰ παιδικὰ μέντοι αὐτῷ παρέμεινε, καὶ τῶν Λακεδαιμονίων δὲ τῶν συνεληλυθότων ἐκ τῶν πόλεων ἁρμοστήρων ὡς δώδεκα μαχό- 39

§. 37. Κρεμαστήν. In A. Junt. Παρακρεμαστὴν, Br. Caft. Παρακρεμαστῇ. Auri metalli Lampfacena memorat Plinius 37. fectione 74. et Polyænus ii. 1. 26. Abydena nufquam reperi dicta. Forte fuerint in agro medio inter Lampfacum et Abydum ftadiis 170. diftantem a Lampfaco, tefte Strabone.

στράτευμα. Margo Leonclav. addit ἑπόμενον.

§. 38. ἐμοὶ μὲν καλόν. Plutarchus Apophthegm. Laconic. p. 820. Βίας ἐνεδρευθεὶς ὑπὸ Ἰφικράτους τοῦ Ἀθηναίων στρατηγοῦ καὶ ἐρωτώμενος ὑπὸ τῶν στρατιωτῶν τί δεῖ ποιεῖν; τί γὰρ ἄλλο, ἔφη, ἢ ὑμᾶς μὲν σώζεσθαι, ἐμὲ δὲ μαχόμενον ἀποθανεῖν. Ubi manifeftum eft, legendum effe Ἀναξίβιος.

ἐν χώρᾳ αὐτοῦ. Morus αὐτοῦ quafi abundans demere malebat. Sed loca plura habet Nofter huic fimilia. Ita fupra adfuit ἐν Τεγέᾳ αὐτοῦ. Vide infra ad vii. 4. 36. et Valckenair ad Herodot. p. 339. Cæterum ftratagema Iphicratis ita narrat Frontinus ii. 5. 42. Iphicrates ad Cherronefum cum fciret Lacedæmoniorum ducem Anaxibium exercitum pedeftri itinere ducere, firmiffimam manum militum eduxit e navibus, et in infidiis collocavit. Naves autem omnium tanquam onuftas milite palam tranfnavigare juffit; ita fecuros et nihil expectantes Lacedæmonios a tergo aggreffus in itinere oppreffit fuditque. Alia Iphicratis ftratagemata, ad hoc tempus referenda, habet Polyænus iii. 9. 44. Quod vero habet Frontinus i. 4. 7. idem eft cum eo, quod narrat Polyænus iii. 9. 33. uterque ex eodem auctore, fed cum varietate quadam.

μενοι συναπέθανον· οἱ δ᾽ ἄλλοι φεύγοντες ἔπιπτον. οἱ δ᾽ ἐδίωκον μέχρι τοῦ ἄστεος. καὶ τῶν τε ἄλλων ὡς διακόσιοι ἀπέθανον, καὶ τῶν Ἀβυδηνῶν ὁπλιτῶν περὶ πεντήκοντα. ταῦτα δὲ πράξας ὁ Ἰφικράτης, ἀνεχώρησε πάλιν ἐπὶ τὴν Χεῤῥόνησον.

# ΞΕΝΟΦΩΝΤΟΣ

## ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

## ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

### ΚΕΦ. Α.

ΚΑΙ τὰ μὲν δὴ περὶ Ἑλλήσποντον Ἀθηναίοις τε καὶ Λακεδαιμονίοις τοιαῦτα ἦν. ὢν δὲ πάλιν ὁ Ἐτεόνικος ἐν τῇ Αἰγίνῃ, καὶ ἐπιμιξίᾳ χρωμένων τὸν πρόσθεν χρόνον τῶν Αἰγινητῶν πρὸς τοὺς Ἀθηναίους, ἐπεὶ φανερῶς κατὰ θάλατταν ἐπολεμεῖτο ὁ πόλεμος, ξυνδόξαν καὶ τοῖς ἐφόροις, Ol. 98. $\frac{4}{1}$.

§. 1. ὢν δὲ πάλιν. Antea adfuiſſe nuſpiam dixit Xenophon, ſed ex illo vocabulo voluit intelligi, brevitatis nimis ſæpe in hiſtoria hac amans, jam iterum Æginam adveniſſe Eteonicum. Reliqua etiam hujus ſectionis verba multum obſcuritatis habent. τὸν πρόσθεν χρόνον vix licet interpretari de tempore eo, quo Athenienſes Æginetas in ſuam poteſtatem et ad duriſſimam conditionem redactos tenebant. Hos deinde Lyſander liberavit et ſui juris fecit. Odia Æginetarum in Athenienſes deinde fuiſſe acerrima, nemo mirabitur: adeoque poterat Eteonicus opera eorum facile uti ad deprædationes maritimas. Verum Xenophon novitatem rei indicat, addens, ante hoc tempus commercia mutua interceſſiſſe inter Athenienſes et Æginetas. Senſim igitur odia utriuſque civitatis mutua recrudeſcere cœpiſſe videntur; et Æginetæ exorſi ſunt deprædari agros et portum Athenienſium. Igitur res demum in bellum manifeſtum exiit, quod juſſu Ephororum acriter perſequitur Eteonicus. Recte hæc fere monuit Dodwellus ſub Olympiade 98. $\frac{4}{1}$. Ἐπιμιξίας de commerciis civitatum liberarum etiam dici, multa docent loca ſcriptorum. Vide Demoſth. de Haloneſo p. 79. et alibi.

[ἐπιμιξίᾳ. Vult Xenophon ſignificare, uſque ad Eteonici adventum Æginetarum odium nondum exarſiſſe in bellum et declaratum fuiſſe, ſed mutua Æginetis interceſſiſſe commercia cum Athenienſibus. Ita Thucyd. v. 35. tempus volens ſignificare illud, antequam bellum apertum exarſiſſet, ait: καὶ τὸ θέρος πᾶν ἐπιμιξίαι μὲν ἦσαν τοῖς Ἀθηναίοις καὶ Πελοποννησίοις. Ita ibidem c. 78. poſt ictum fœdus ἐπιμιξίας οὔσης ἤδη παρ' ἀλλήλους. Pacis igitur indicium habent ἐπιμιξίαι. Libro ſecundo ſtatim belli initia his auſpicatur verbis: ἐν ᾧ οὔτε ἐπεμίγνυντο ἔτι ἀκηρυκτεὶ παρ' ἀλλήλους· et in fine libri i. ἐπεμίγνυντο δ' ὅμως ἐν αὐταῖς καὶ παρ' ἀλλήλους ἐφοίτων, ἀκηρύκτως μὲν, ἀνυπόπτως δὲ οὔ. *Ex Addendis.*]

2 ἐφίησι λῄζεσθαι τὸν βουλόμενον ἐκ τῆς Ἀττικῆς. Οἱ δ' Ἀθηναῖοι, πολιορκούμενοι ὑπ' αὐτῶν, πέμψαντες ἐς Αἴγιναν καὶ ὁπλίτας, καὶ στρατηγὸν αὐτῶν Πάμφιλον, ἐπετείχισαν Αἰγινήταις, καὶ ἐπολιόρκουν αὐτοὺς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν δέκα τριήρεσιν. ὁ μέντοι Τελευτίας, τυχὼν ἐπὶ τῶν νήσων ποι ἀφιγμένος κατὰ χρημάτων πόρον, ἀκούσας ταῦτα περὶ τοῦ ἐπιτειχισμοῦ, ἐβοήθει τοῖς Αἰγινήταις· καὶ τὸ μὲν ναυτικὸν ἀπήλασε, τὸ δ' ἐπιτείχισμα διεφύλαττεν ὁ Πάμφιλος.

3 Ἐν δὲ τούτῳ ἀπὸ Λακεδαιμονίων Ἱέραξ ναύαρχος ἀφικνεῖται. κἀκεῖνος μὲν παραλαμβάνει τὸ ναυτικόν· ὁ δὲ Τελευτίας μακαριώτατα δὴ ἀποπέπλευκεν οἴκαδε. ἡνίκα γὰρ ἐπὶ θάλατταν κατέβαινεν, ἐπ' οἴκου ὁρμώμενος, οὐδεὶς ἐκεῖνον τῶν στρατιωτῶν ὃς οὐκ ἐδεξιώσατο, καὶ ὁ μὲν ἐστεφάνωσεν, ὁ δὲ ἐταινίωσεν, οἱ δ' ὑστερήσαντες, ὅμως, καὶ ἀναγομένου, ἔρριπτον ἐς τὴν θάλατταν στεφάνους, καὶ εὔχοντο 4 αὐτῷ πολλὰ καὶ ἀγαθά. Γιγνώσκω μὲν οὖν, ὅτι ἐν τούτοις οὔτε δαπάνημα, οὔτε κίνδυνον, οὔτε μηχάνημα ἀξιόλογον οὐδὲν διηγοῦμαι· ἀλλὰ ναὶ μὰ Δία τόδε ἄξιόν μοι δοκεῖ εἶναι ἀνδρὶ ἐννοεῖν, τί ποτε ποιῶν ὁ Τελευτίας οὕτω διέθηκε

§. 2. Αἰγινήταις. Vulgatum Αἰγινήτας emendavit Wesseling ad Diodori xii. 44. p. 508.

§. 3. ἐν δὲ τούτῳ. In Margine Leoncl. est ἐκ δὲ τούτου.

ἀποπέπλευκεν. Margo Leoncl. ἀπέπλευσεν.

οὐδεὶς ἐκεῖνον. Ordinem verborum molliorem efficit Kœppen legendo: ἐκεῖνον οὐδεὶς ὃς οὐκ ἐδεξιώσατο τῶν στρατιωτῶν. Aliam viam emendandi instituit V. D. in Obs. Miscell. Belgicis vol. iii. p. 430. qui delendum censet ὅς. Atque ita Noster Sympos. i. 9. τῶν ὁρώντων οὐδεὶς οὐκ ἔπασχέ τι τὴν ψυχήν. Sed altera forma est in libro de Venatione v. 33. ὥστε οὐδεὶς ὅστις οὐκ ἂν ἐπιλάθοιτ' ἂν εἴ τι ἐρῴη.

[Οὐδεὶς ἐκεῖνον τῶν στρατιωτῶν—Hæc quoque verborum trajectio est, quam Attica auris non moleste ferebat, fortasse etiam poscebat. Vel Latine ausim, *nemo eum amicorum suorum non prensabat.* Οὐδεὶς ὃς οὐκ, seu οὐδεὶς ὅστις οὐκ, forma est frequentissima, etiam in casibus obliquis, ut οὐδενὸς ὅτου οὐ, οὐδενὶ ὅτῳ οὐ, οὐδένα ὅντιν' οὐ: Lat. simpliciter ubique *nemini non* etc. Plenum, quod rarius est, occurrit vii. 5. 26. οὐδεὶς ἦν ὅστις οὐκ ᾤετο. Est igitur illud plane, ἕκαστος ἐκεῖνον τῶν στρατιωτῶν ἐδεξιώσατο. *F. A. Wolfius.*]

εὔχοντο. Bryl. Castal. ηὔχοντο.

§. 4. ἀξιόλογον. A. J. Br. Castal. ἀξιόπιστον. Etiam Pirkheimer posuit *memoria dignum*.

οὕτω διέθηκε. Junt. Br. Cast. omittunt οὕτω.

τοὺς ἀρχομένους. τοῦτο γὰρ ἤδη πολλῶν καὶ χρημάτων καὶ κινδύνων ἀξιολογώτατον ἀνδρὸς ἔργον ἐστίν.

5 Ὁ δ' αὖ Ἱέραξ, τὰς μὲν ἄλλας ναῦς λαβὼν, πάλιν ἔπλει ἐς Ῥόδον· ἐν Αἰγίνῃ δὲ τριήρεις δώδεκα κατέλιπε, καὶ Γοργώπαν, τὸν αὑτοῦ ἐπιστολέα, ἁρμοστήν. καὶ ἐκ τούτου ἐπολιορκοῦντο μᾶλλον οἱ ἐν τῷ ἐπιτειχίσματι τῶν Ἀθηναίων, ἢ οἱ ἐν τῇ πόλει· ὥστε ὑπὸ ψηφίσματος Ἀθηναῖοι πληρώσαντες ναῦς πολλὰς, ἀπεκομίσαντο ἐξ Αἰγίνης πέμπτῳ μηνὶ τοὺς ἐκ τοῦ φρουρίου. τούτων δὲ γενομένων, οἱ Ἀθηναῖοι πάλιν αὖ πράγματα εἶχον ὑπό τε τῶν λῃστῶν καὶ τοῦ Γοργώπα· καὶ ἀντιπληροῦσι ναῦς τρισκαίδεκα, καὶ αἱροῦνται Εὔνομον ναύαρχον ἐπ' αὐτάς. 6 Ὄντος δὲ τοῦ Ἱέρακος ἐν τῇ Ῥόδῳ, οἱ Λακεδαιμόνιοι Ἀνταλκίδαν ναύαρχον ἐκπέμπουσι, νομίζοντες, καὶ Τιριβάζῳ τοῦτο ποιοῦντες μάλιστ' ἂν χαρίζεσθαι. ὁ δὲ Ἀνταλκίδας, ἐπεὶ ἀφίκετο ἐς Αἴγιναν, ξυμπαραλαβὼν καὶ τὰς τοῦ Γοργώπα ναῦς, ἔπλευσεν ἐς Ἔφεσον, καὶ τὸν Γοργώπαν πάλιν ἀποπέμπει ἐς Αἴγιναν ξὺν ταῖς δέκα ναυσίν· ἐπὶ δὲ ταῖς ἄλλαις Νικόλοχον ἐπέστησε τὸν ἐπιστολέα· καὶ ὁ μὲν Νικόλοχος βοηθῶν Ἀβυδηνοῖς ἔπλει ἐκεῖσε· παρατρεπόμενος δὲ ἐς Τένεδον, ἐδῄου τὴν χώραν, καὶ χρήματα λαβὼν, ἀπέπλευσεν ἐς Ἄβυδον. 7 Οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ, ἀθροισθέντες ἀπὸ Σαμοθρᾴκης τε καὶ Θάσου καὶ τῶν κατ' ἐκεῖνα τὰ χωρία, ἐβοήθουν τοῖς Τενεδίοις. ὡς δ' ᾔσθοντο ἐς Ἄβυδον καταπεπλευκότα τὸν Νικόλοχον, ὁρμώμενοι ἐκ Χερρονήσου, ἐπο-

§. 5. *πάλιν ἔπλει.* Videtur igitur Rhodo adveniſſe, de qua tum maxime certabatur. Vide iv. 8. 25.

*οἱ ἐν τῇ πόλει.* Sunt Æginetæ, non Athenienſes, quod putabat Morus. Mecum ſentit etiam Dodwell.

*Εὔνομον.* Videtur is eſſe, qui in claſſe Cononis fuerat, et ab eo miſſus adiit Dionyſium, teſte Lyſia ſuper Ariſtophanis bonis p. 624.

§. 6. *τοῦτο ποιοῦντες.* A. J. Br. Caſtal. omittunt *τοῦτο.*

*ταῖς δέκα.* Monet Steph. ex ſectione 5. legendum eſſe *δώδεκα.* Illis ſcilicet duodecim navibus, quæ jam antea ibi in ſtatione fuerant.

§. 7. *τῶν κατ' ἐκεῖνα τὰ χωρία.* Bis aut ter noſter dixit *κατ' ἐκεῖνα* omiſſo *χωρία*, et articulus *τῶν* poſtulat, ſibi nomen aliquod loci apponi. Igitur malim *τῶν κατ' ἐκεῖνα χωρίων.*

λιόρκουν αὐτὸν, ἔχοντα ναῦς πέντε καὶ εἴκοσι, δύο καὶ τριάκοντα ταῖς μεθ᾽ ἑαυτῶν. ὁ μέντοι Γοργώπας ἀποπλέων ἐξ Ἐφέσου, περιτυγχάνει Εὐνόμῳ. καὶ τότε μὲν κατέφυγεν ἐς Αἴγιναν, μικρὸν πρὸ ἡλίου δυσμῶν· ἐκβιβάσας δ᾽ εὐθὺς
8 ἐδείπνιζε τοὺς στρατιώτας. Ὁ δὲ Εὔνομος, ὀλίγον χρόνον ὑπομείνας, ἀπέπλει. νυκτὸς δὲ ἐπιγενομένης, φῶς ἔχων, ὥσπερ νομίζεται, ἀφηγεῖτο, ὅπως μὴ πλανῶνται αἱ ἑπόμεναι. ὁ δὲ Γοργώπας, ἐμβιβάσας, εὐθὺς ἐπηκολούθει κατὰ τὸν λαμπτῆρα, ὑπολειπόμενος, ὅπως μὴ φανερὸς εἴη, μηδὲ αἴσθησιν παρέχοι, λίθων τε ψόφῳ τῶν κελευστῶν
9 ἀντὶ φωνῆς χρωμένων, καὶ παραγωγῇ τῶν κωπῶν. Ἐπεὶ δὲ ἦσαν αἱ τοῦ Εὐνόμου πρὸς τῇ γῇ, περὶ Ζωστῆρα τῆς Ἀττικῆς, ἐκέλευε τῇ σάλπιγγι ἐπιπλεῖν. τῷ δὲ Εὐνόμῳ ἐξ ἐνίων μὲν τῶν νεῶν ἄρτι ἐξέβαινον, οἱ δὲ καὶ ἔτι ὡρμίζοντο, οἱ δὲ καὶ ἔτι κατέπλεον. ναυμαχίας δὲ πρὸς τὴν σελήνην γενομένης, τέτταρας τριήρεις λαμβάνει ὁ Γοργώπας, καὶ ἀναδησάμενος, ᾤχετο ἄγων ἐς Αἴγιναν· αἱ δὲ ἄλλαι νῆες αἱ τῶν Ἀθηναίων ἐς τὸν Πειραιᾶ κατέφυγον.

10 Μετὰ δὲ ταῦτα Χαβρίας ἐξέπλει ἐς Κύπρον, βοηθῶν Εὐαγόρᾳ, πελταστάς τ᾽ ἔχων ὀκτακοσίους, καὶ δέκα τριήρεις. προσλαβὼν δὲ καὶ Ἀθήνηθεν ἄλλας τε ναῦς καὶ ὁπλίτας, αὐτὸς δὲ τῆς νυκτὸς ἀποβὰς ἐς τὴν Αἴγιναν, πορρωτέρω τοῦ Ἡρακλείου ἐν κοίλῳ χωρίῳ ἐνήδρευσεν, ἔχων τοὺς πελταστάς.

§. 8. παραγωγῇ τῶν κωπῶν. Brodæus ad h. l. perverſa remorum agitatio; fit autem hoc, cum ſenſim in aquam mittuntur, qui mos piratis frequens: Puto equidem remos, per ſummam aquam immiſſos, ſonum exhibuiſſe, quo celeuſtæ utebantur pro voce. Paulo antea A. J. Br. Caſt. ὑπολιπόμενος.

§. 9. Ζωστῆρα. Originem nominis tradit Hyperides in oratione Deliaca, cujus fragmentum habet Scholiaſtes Hermogenis p. 389. et Joannes Siceliota in Ruhnkenii Hiſt. Orat. Græc. p. 149. ed. Reiſke.

ἐκέλευε. Br. Caſt. ἐκέλευσε.

§. 10. ἐξέπλει. Atheniſne profectus? Sed cur deinde additur προσλαβὼν δὲ καὶ Ἀθήνηθεν? Igitur, quas jam habebat naves et peltaſtas, aliunde adduxerat. Suntne igitur ii peltaſtæ et naves, quibus antea in bello Corinthiaco mari et terra uſus erat? Nam Iphicrati ſucceſſerat in bello Corinthiaco Chabrias. Deinde publice ab Athenienſibus Evagoræ adjutorem datum ait Cornelius Nepos c. 2.

ἅμα δὲ τῇ ἡμέρᾳ, ὥσπερ ξυνέκειτο, ἧκον οἱ τῶν Ἀθηναίων ὁπλῖται, Δειμαινέτου αὐτῶν ἡγουμένου, καὶ ἀνέβαινον τοῦ Ἡρακλείου ἐπέκεινα ὡς ἑκκαίδεκα σταδίους, ἔνθα ἡ Τριπυργία καλεῖται. 11 Ἀκούσας δὲ ταῦτα ὁ Γοργώπας, ἐβοήθει μετά τε τῶν Αἰγινητῶν, καὶ ξὺν τοῖς τῶν νεῶν ἐπιβάταις, καὶ Σπαρτιατῶν οἱ ἔτυχον αὐτόθι παρόντες ὀκτώ. καὶ ἀπὸ τῶν πληρωμάτων δὲ τῶν ἐκ τῶν νεῶν ἐκήρυξε βοηθεῖν, ὅσοι ἐλεύθεροι εἶεν· ὥστ' ἐβοήθουν, καὶ τούτων πολλοί, ὅ τι ἐδύνατο ἕκαστος ὅπλον ἔχων. 12 Ἐπεὶ δὲ παρήλλαξαν οἱ πρῶτοι τὴν ἐνέδραν, ἐξανίστανται οἱ περὶ τὸν Χαβρίαν, καὶ εὐθὺς ἠκόντιζον καὶ ἔβαλλον. ἐπῄεσαν δὲ καὶ οἱ ἐκ τῶν νεῶν ἀποβεβηκότες ὁπλῖται. καὶ οἱ μὲν πρῶτοι, ἅτε οὐδενὸς ἀθρόου ὄντος, ταχὺ ἀπέθανον, ὧν ἦν Γοργώπας τε καὶ

*Δειμαινέτου.* Nomen puto fuiſſe *Δημαινέτου*. Demænetum Buzygi filium, qui Chilonem prælio navali vicit, habet Æſchines de falſa legat. p. 256.

§. 11. *ταῦτα ὁ.* Articulum omittunt A. J. Br. Caſt.

*ἐπιβάταις.* Diſtinguuntur a *πληρώμασι*, et videntur eſſe milites claſſiarii. Ita i. 6. remiges ab *ἐπιβάταις* diſtincti ſunt. vii. 1. diſtinguuntur a *ναύταις* nautis; et nautarum officium helotas aut mercenarios feciſſe apud Lacedæmonios, annotatur. Athenienſes et reliqui Græci inter nautas habuiſſe videntur et liberos homines et cives. Ita h. l. ex numero *τῶν πληρωμάτων* auxiliantur, quicunque liberi ſunt. Demoſth. contra Polyclem p. 1214. primum diſtinguit *στρατιώτας* et *ναύτας*; deinde ſimul memorat *ἐπιβάτας*, *ναύτας* et *ὑπηρεσίαν*. p. 1216. ſoli *ἐπιβάται* et *ὑπηρεσία* in teſtimonium adhibentur, ſed paulo poſt in eadem re nominantur *ναῦται*, *ἐπιβάται* et *ὑπηρεσία*: poſtea p. 1217. *πλήρωμα*, *ἐπιβάται* et *ὑπηρεσία* ſeparatim ponuntur. Ex quibus locis manifeſtum eſt, *πλήρωμα*, cum diſtinguitur ab *ἐπιβάταις*, ſignificare nautas ſeu remiges. *ὑπηρεσία* ſunt miniſtri claſſiarii, fabri, coqui et ſimiles homines. Cum vero generatim navis *πληροῦσθαι* et *πλήρης* dicitur, intelligere oportet milites, remiges et miniſtros; atque ita interdum *πληρώματα* ubi ſola memorantur, diverſa hæc genera complectuntur. Male igitur Morus *πληρώματα* interpretatur milites claſſiarios. Errorem demonſtrat locus i. 6. *ἐκ πολλῶν πληρωμάτων— τοὺς ἀρίστους ἐρέτας*, pro quo paulo poſt eſt: *ἐξ ἁπασῶν τῶν νεῶν τοὺς ἀρίστους ἐρέτας.*

§. 12. *ἔβαλλον. ἐπῄεσαν.* In A. J. Br. Caſt. *ἔβαλον. ἀπῄεσαν.*

*οὐδενὸς ἀθρόου.* Singuli in certamen, non conferti, prodibant.

*Γοργώπας.* Gorgopam a Chabria occiſum memorat Demoſthenes contra Leptinem p. 479. ubi Taylor annotavit locum Ariſtidis t. ii. p. 459. ed. Jebb. Etiam Polyænus narravit hanc Chabriæ expeditionem iii. 10. 12. *εἰς Αἴγιναν νυκτὸς καταπλεύσας, τριακοσίους ἄνδρας εἴς τινα τόπον ἐπιτήδειον ἀποβιβάσας αὐτὸς παρέπλει* etc. Iterum, ex alio forte auctore, narrat ibidem ſect. 9. *προσπλεύσας πολεμίᾳ πόλει νυκτὸς τοὺς πελταστὰς ἀπεβίβασε. αὐτὸς δὲ ἀρχομένης ἕω ἐπὶ τὸν λιμένα ἔπλει ἀπωτέρω τῆς πόλεως ὄντα.* Tertium, ſect. 10. *Χαβρίας ἀπὸ τῶν πελταστῶν δέκα τοὺς δρομικωτάτους ἐφ' ἑκάστην ναῦν παρεμβιβάσατο, καὶ νυκτὸς εἰς τὴν πολεμίαν ἀποβιβάσας καὶ λεηλατεῖν τὴν χώραν ἐκέλευσεν.* De tertia narratione poteſt tamen dubitari, num ſit ea-

οἱ Λακεδαιμόνιοι· ἐπεὶ δὲ οὗτοι ἔπεσον, ἐτράπησαν δὴ καὶ οἱ ἄλλοι. καὶ ἀπέθανον Αἰγινητῶν μὲν ὡς πεντήκοντα καὶ ἑκατόν· ξένοι δὲ καὶ μέτοικοι καὶ ναῦται καταδεδραμηκότες
13 οὐκ ἐλάττους διακοσίων. Ἐκ δὲ τούτου οἱ μὲν Ἀθηναῖοι, ὥσπερ ἐν εἰρήνῃ, ἔπλεον τὴν θάλατταν· οὐδὲ γὰρ τῷ Ἐτεονίκῳ ἤθελον οἱ ναῦται, καίπερ ἀναγκάζοντι ἐμβάλλειν, ἐπεὶ μισθὸν οὐκ ἐδίδου.

Ἐκ δὲ τούτου οἱ Λακεδαιμόνιοι Τελευτίαν αὖ [ἐπὶ ταύτῃ] ἐκπέμπουσιν ἐπὶ ταύτας τὰς ναῦς ναύαρχον. ὡς δὲ εἶδον αὐτὸν ἥκοντα οἱ στρατιῶται, ὑπερήσθησαν. ὁ δ᾽ αὐτοὺς ξυγκαλέσας, εἶπε τοιάδε.

14 Ὦ ἄνδρες στρατιῶται, ἐγὼ χρήματα μὲν οὐκ ἔχων ἥκω· ἐὰν μέντοι θεὸς ἐθέλῃ, καὶ ὑμεῖς συμπροθυμῆσθε, πειράσομαι τὰ ἐπιτήδεια ὑμῖν ὡς πλεῖστα πορίζειν. εὖ δ᾽ ἴστε,—ὅταν ὑμῶν ἐγὼ ἄρχω, εὔχομαι οὐδὲν ἧττον ζῆν ὑμᾶς, ἢ καὶ ἐμαυτόν· τά τε ἐπιτήδεια, θαυμάσετε μὲν ἴσως, εἰ φαίην βούλεσθαι ὑμᾶς μᾶλλον, ἢ ἐμέ, ἔχειν· ἐγὼ δὲ νὴ τοὺς θεοὺς καὶ δεξαίμην ἂν αὐτὸς μᾶλλον δύο ἡμέρας ἄσιτος, ἢ ὑμᾶς μίαν, γενέσθαι· ἡ γεμὴν θύρα ἡ ἐμὴ ἀνέῳκτο μὲν δήπου καὶ πρόσθεν εἰσιέναι τῷ δεομένῳ τι ἐμοῦ, ἀνέῳκ-
15 ται δὲ καὶ νῦν. Ὥστε, ὅταν ὑμεῖς πλήρη ἔχητε τὰ ἐπιτή-

dem. Locus enim nullus nominatur; ſecunda certo eadem eſt, etſi urbs nominetur nulla.

*ναῦται.* Liberi ſcilicet ἐκ τῶν πληρωμάτων.

§. 13. Ἐτεονίκῳ. Deinceps excidiſſe verbum πείθεσθαι aut ὑπακούειν, putabat Stephanus, aſſentiente Moro, qui ἐμβάλλειν interpretatur *irruere in hoſtem*, cum in verſione Pirkheimeri et Leoncl. ſit *naves ingredi*, quaſi legatur ſcriptum ἐμβαίνειν. Nautas remigare, ipſe agnovit Morus in Indice ſub voce ἐπιβάται: quomodo igitur irruere in hoſtem dici poſſunt. Sed remiges dicuntur ἐμβάλλειν impellere remos. Ita Ariſtophanes Equit. verſ. 603. εἶτα τὰς κώπας λαβόντες—ἐμβαλόντες. In Ranis jubetur Bacchus remigare; et cum ipſe interroget verſu 205. πῶς δυνήσομαι ἐλαύνειν; reſpondet Charon ῥᾷστ᾽. ἀκούσει γὰρ μέλη κάλλιστ᾽, ἐπειδὰν ἐμβάλῃς ἅπαξ. Igitur nihil deeſt poſt nomen Eteonici.

[ἐπὶ ταύτῃ]. Franc. Portus emendabat ἐπὶ ταύτῃ προφάσει, aut ſimile verbum ſupplendum cenſebat. Leoncl. αὖθις ταύτῃ, malebat tamen ταύτῃ deleri. Morus utrumque vocabulum incluſit, veluti ſuperfluum.

§. 14. εὖ δ᾽ ἴστε. Excidiſſe deinceps ὡς vel ὅτι, putabat Morus.

ἀνέῳκται. Margo Leoncl. et Stephan. ἀνεῴξεται. Ante ἐμὴ Caſt. articulum omiſit.

δεια, τότε καὶ ἐμὲ ὄψεσθε ἀφθονώτερον διαιτώμενον· ἢν δ' ἀνεχόμενόν με ὁρᾶτε καὶ ψύχη, καὶ θάλπη, καὶ ἀγρυπνίαν, οἴεσθε καὶ ὑμεῖς ταῦτα πάντα καρτερεῖν. οὐδὲν γὰρ τούτων κελεύω ὑμᾶς ποιεῖν, ἵνα ἀνιᾶσθε, ἀλλ' ἵνα ἐκ τούτων ἀγαθόν τι λαμβάνητε. 16 καὶ ἡ πόλις δέ τοι, ὦ ἄνδρες στρατιῶται, ἡ ἡμετέρα, ἣ εὐδαίμων εἶναι δοκεῖ, εὖ ἴστε, ὅτι τὰ ἀγαθὰ καὶ τὰ καλὰ ἐκτήσατο οὐ ῥαθυμοῦσα, ἀλλ' ἐθέλουσα καὶ πονεῖν καὶ κινδυνεύειν, ὁπότε δέοι. Καὶ ὑμεῖς οὖν ἦτε μὲν καὶ πρότερον, ὡς ἐγὼ οἶδα, ἄνδρες ἀγαθοί· νῦν δὲ πειρᾶσθαι χρή, ἔτι ἀμείνονας γίγνεσθαι, ἵν' ἡδέως μὲν ξυμπονῶμεν, ἡδέως δὲ ξυνευδαιμονῶμεν. 17 τί γὰρ ἥδιον, ἢ μηδένα ἀνθρώπων κολακεύειν, μήτε Ἕλληνα, μήτε βάρβαρον, εἵνεκα μισθοῦ, ἀλλ' ἑαυτοῖς ἱκανοὺς εἶναι τὰ ἐπιτήδεια πορίζεσθαι, καὶ ταῦτα, ὅθεν περ κάλλιστον; ἡ γάρ τοι ἐν πολέμῳ ἀπὸ τῶν πολεμίων ἀφθονία, εὖ ἴστε, ὅτι ἅμα τροφήν τε καὶ εὔκλειαν ἐν πᾶσιν ἀνθρώποις παρέχεται.

18 Ὁ μὲν ταῦτα εἶπεν· οἱ δὲ πάντες ἀνεβόησαν παραγγέλλειν, ὅ τι ἂν δέοι, ὡς σφῶν ὑπηρετησόντων. ὁ δὲ τεθυμένος ἐτύγχανεν· εἶπε δέ· Ἄγετε, ὦ ἄνδρες, δειπνήσατε μὲν, ἅπερ καὶ ὡς ἐμέλλετε· προπαράσχετε δέ μοι μιᾶς ἡμέρας σῖτον. ἔπειτα δὲ ἥκετε ἐπὶ τὰς ναῦς αὐτίκα μάλα, ὅπως πλεύσωμεν, ἔνθα θεὸς ἐθέλοι, ἐν καιρῷ ἀφιξόμενοι. 19 Ἐπειδὴ δὲ ἦλθον, ἐμβιβασάμενος αὐτοὺς ἐς τὰς ναῦς,

§. 15. οἴεσθε. Scilicet δεῖν.

§. 16. ἣ εὐδαίμων. Margo Leonclav. ἣ δοκεῖ οὐδ.

[Τὰ ἀγαθὰ καὶ τὰ καλὰ, proprium eſſe videri poteſt oris Laconici, ſi quis comparet Plat. Alcib. ii. ubi illorum precationis formula ſolemnis affertur, τὰ καλὰ ἐπὶ τοῖς ἀγαθοῖς τοὺς θεοὺς διδόναι σφίσιν αὐτοῖς p. 148. C. *F. A. Wolfius.*]

§. 17. μισθοῦ. A. J. Br. Caſt. ἐμοῦ. Paulo antea Caſt. edidit ἄνθρωπον.

§. 18. ὡς ἐμέλλετε. Stephanus malebat ὧς ſic, hoc ſenſu: edite ea quæ vel ſic quoque ſumturi eratis. Vulgata tamen ita poteſt defendi, ut ἐμέλλετε repetendum ſit ad ἅπερ et ad ὡς, quæcunque et quomodocunque edere volebatis. Sequentia verba προπαράσχετε δέ μοι, ſi ſunt ſana, hunc habent ſenſum: deinde vero præparate atque una capite vobis unius diei cibum. Scilicet in expeditionem ſequentis diei cibum ſecum ferre jubet militem.

§. 19. αὐτούς. A. J. Br. Caſt. omittunt.

ἔπλει νυκτὸς ἐς τὸν λιμένα τῶν Ἀθηναίων, τοτὲ μὲν ἀναπαύων καὶ παραγγέλλων ἀποκοιμᾶσθαι, τοτὲ δὲ κώπαις προσκοιμιζόμενος. εἰ δέ τις ὑπολαμβάνοι, ὡς ἀφρόνως ἔπλει, δώδεκα τριήρεις ἔχων, ἐπὶ πολλὰς ναῦς κεκτημένους, 20 ἐννοησάτω τὸν ἀναλογισμὸν αὐτοῦ. Ἐκεῖνος γὰρ ἐνόμισεν, ἀμελέστερον μὲν ἔχειν τοὺς Ἀθηναίους περὶ τὸ ἐν τῷ λιμένι ναυτικὸν, Γοργώπα ἀπολωλότος· εἰ δὲ καὶ εἶεν τριήρεις ὁρμοῦσαι, ἀσφαλέστερον ἡγήσατο, ἐπ' εἴκοσι ναῦς Ἀθήνησιν οὔσας πλεῦσαι, ἢ ἄλλοθι δέκα. τῶν μὲν γὰρ ἔξω ᾔδει ὅτι κατὰ ναῦν ἔμελλον οἱ ναῦται σκηνήσειν· τῶν δ' Ἀθήνησιν ἐγίγνωσκεν ὅτι οἱ μὲν τριήραρχοι οἴκοι καθευ-21 δήσοιεν, οἱ δὲ ναῦται ἄλλος ἄλλῃ σκηνήσοιεν. Ἔπλει μὲν ταῦτα διανοηθείς. ἐπεὶ δὲ ἀπεῖχε πέντε ἢ ἓξ στάδια τοῦ λιμένος, ἡσυχίαν εἶχε καὶ ἀνέπαυεν. ὡς δὲ ἡμέρα ὑπέφαινεν, ἡγεῖτο, οἱ δ' ὑπηκολούθουν. καὶ καταδύειν μὲν οὐκ εἴα στρογγύλων πλοίων, οὐδὲ λυμαίνεσθαι ταῖς ἑαυτῶν ναυσίν· εἰ δέ που τριήρη ἴδοιεν ὁρμοῦσαν, ταύτην πειρᾶσθαι ἄπλουν ποιεῖν, τὰ δὲ φορτηγικὰ πλοῖα καὶ γέμοντα ἀναδουμένους ἔξω ἄγειν, ἐκ δὲ τῶν μειζόνων, ἐμβαίνοντας ὅπου δύναιντο, τοὺς ἀνθρώπους λαμβάνειν. ἦσαν δέ τινες, οἳ καὶ ἐκπηδήσαντες ἐς τὸ Δεῖγμα, ἐμπόρους τέ τινας καὶ ναυκλήρους 22 ξυναρπάσαντες ἐν τὰς ναῦς εἰσήνεγκαν. Ὁ μὲν δὴ τοιαῦτα

προσκοιμιζόμενος. Ita recte Ald. et Junt. Male Castal. Br. Leoncl. et St. προσκομιζόμενος. Oppositum ἀποκοιμᾶσθαι docet sensum.

§. 21. ἀνέπαυεν. Ita Editiones omnes, nec in A. J. reperi ἀνέπαυσεν, quod refert Morus.

ἡμέρα. An articulus ἡ excidit?

οὐκ εἴα. Stephan. emendabat οὐδὲν εἴα. Leonclav. στρογγύλον πλοῖον. Cæterum navigia rotunda esse mercatoria, non bellica, quæ longa erant, ex Schol. Thucyd. ii. 97. admonuit Morus; adde Ulpianum ad Demosthenem contra Lept. pag. 139. ubi ipse orator στρόγγυλον Dionis πλοῖον Dionysii triremibus opponit. Ulpianum nunc laudo ex editione nupera Wolfiana.

ταύτην. Scil. εἴα. Cf. Valckenair ad Herodotum p. 552. Deinde vulgatum ἔκπλουν correxit Brodæus.

ἐκ δὲ τῶν. Ita recte Morus pro vulgato ἐς δὲ τῶν, quod Leonclavius mutabat in ἐς δέ τι τῶν.

Δεῖγμα. Ubi in simili facinore Alexander Pheræus rapiebat τὰ χρήματα ἀπὸ τῶν τραπεζῶν, narrante Polyæno vi. 2. 2. Cf. Harpocration.

§. 22. τοιαῦτα. Steph. et Leoncl. ταῦτα.

ἐπεποιήκει. τῶν δὲ Ἀθηναίων οἱ μὲν αἰσθόμενοι ἔνδοθεν ἔθεον ἔξω, σκεπτόμενοι, τίς ἡ κραυγή· οἱ δὲ ἔξωθεν οἴκαδε ἐπὶ τὰ ὅπλα, οἱ δὲ καὶ ἐς ἄστυ ἀγγελοῦντες. πάντες δ' Ἀθηναῖοι τότε ἐβοήθησαν, καὶ ὁπλῖται καὶ ἱππεῖς, ὡς τοῦ Πειραιῶς ἑαλωκότος. Ὁ δὲ τὰ πλοῖα μὲν ἀπέστειλεν ἐς Αἴγιναν, καὶ τῶν τριήρων τρεῖς ἢ τέτταρας ξυναπαγαγεῖν ἐκέλευσε· ταῖς δὲ ἄλλαις παραπλέων παρὰ τὴν Ἀττικήν, ἅτε ἐκ τοῦ λιμένος πλέων, πολλὰ καὶ ἁλιευτικὰ πλοῖα ἔλαβε, καὶ πορθμεῖα ἀνθρώπων μεστά, καταπλέοντα ἀπὸ νήσων. ἐπὶ δὲ Σούνιον ἐλθών, καὶ ὁλκάδας γεμούσας, τὰς μέν τινας σίτου, τὰς δὲ καὶ ἐμπολῆς, ἔλαβε. Ταῦτα δὲ ποιήσας, ἀπέπλευσεν ἐς Αἴγιναν. καὶ ἀποδόμενος τὰ λάφυρα, μισθὸν μηνὸς προέδωκε τοῖς στρατιώταις. καὶ τὸ λοιπὸν δὴ περιπλέων ἀπελάμβανεν, ὅ τι ἠδύνατο. καὶ ταῦτα ποιῶν, πλήρεις τε τὰς ναῦς ἔτρεφε, καὶ τοὺς στρατιώτας εἶχεν ἡδέως καὶ ταχέως ὑπηρετοῦντας. 23 24

Ὁ δὲ Ἀνταλκίδας κατέβη μὲν μετὰ Τιριβάζου, διαπεπραγμένος ξυμμαχεῖν βασιλέα, εἰ μὴ ἐθέλοιεν Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι χρῆσθαι τῇ εἰρήνῃ, ᾗ αὐτὸς ἔλεγεν. ὡς δ' ἤκουσε, Νικόλοχον σὺν ταῖς ναυσὶ πολιορκεῖσθαι ἐν Ἀβύδῳ ὑπὸ Ἰφικράτους καὶ Διοτίμου, πεζῇ ᾤχετο ὡς Ἄβυδον. ἐκεῖθεν δέ, λαβὼν τὸ ναυτικόν, νυκτὸς ἀνήγετο, διασπείρας λόγον, ὡς μεταπεμπομένων τῶν Χαλκηδονίων. 25 Ol. 98. ½.

σκεψόμενοι. Ita recte Steph. et Leoncl. pro σκεπτόμενοι.

§. 24. ἀπελάμβανεν. Margo Leoncl. ἐλάμβανεν.

πλήρεις τε τὰς ναῦς. I. e. τὰ πληρώματα τῶν νεῶν ἔτρεψε, aut: ἐπλήρωσε τὰς ναῦς καὶ ἔτρεφε.

§. 25. ξυμμαχεῖν βασιλέα. Margo Leoncl. ξύμμαχον. Sed infra c. 3. 12. διαπεπραγμένοι εἰσὶ ζημιωθῆναι σφᾶς αὐτούς. Cæterum Antalcidam regem adiisse, ut perficeret pacem, ex verbo κατέβαινεν voluit lectores intelligere Xenophon.

Νικόλοχον. Male A. Junt. Νικόλοχος. Cæterum Diotimus ille, qui deinceps cum Iphicrate nominatur, nescio an sit idem, quem peculatus accusatum fuisse, antequam cum navibus rediret, ὡς ἔχοι τάλαντα τετταράκοντα πλείω ἢ ὅσα αὐτὸς ὡμολόγει, apparet ex Lysia super Aristophanis bonis p. 652.

ὡς Ἄβυδον. Hoc restituit Morus ex A. J. Br. Cast. Reliquæ editiones ἐς.

26 ὁρμισάμενος δὲ ἐν Περκώπῃ, ἡσυχίαν εἶχεν. Αἰσθόμενοι δὲ οἱ περὶ Δημαίνετον, καὶ Διονύσιον, καὶ Λεόντιχον, καὶ Φανίαν, ἐδίωκον αὐτὸν τὴν ἐπὶ Προικοννήσου. ὁ δ', ἐπεὶ ἐκεῖνοι παρέπλευσαν, ὑποστρέψας ἐς Ἄβυδον ἀφίκετο· ἠκηκόει γὰρ, ὅτι προσπλέοι Πολύξενος, ἄγων τὰς ἀπὸ Συρακουσῶν καὶ Ἰταλίας ναῦς εἴκοσιν· ὅπως ἀναλάβῃ καὶ ταύτας. ἐκ δὲ τούτου Θρασύβουλος ὁ Κολυττεύς, ἔχων ναῦς ὀκτὼ, ἔπλει ἀπὸ Θράκης, βουλόμενος ταῖς ἄλλαις Ἀττικαῖς 27 ναυσὶ ξυμμίξαι. Ὁ δ' Ἀνταλκίδας, ἐπεὶ αὐτῷ οἱ σκοποὶ ἐσήμηναν, ὅτι προσπλέοιεν τριήρεις ὀκτὼ, ἐμβιβάσας τινὰς ναύτας ἐς δώδεκα ναῦς, τὰς ἄριστα πλεούσας, καὶ προσπληρώσασθαι κελεύσας, εἴ τις ἐνεδεῖτο, ἐκ τῶν καταλειπομένων, ἐνήδρευσεν ὡς ἤδη ἐδύνατο ἀφανέστατα. ἐπεὶ δὲ παρέπλεον, ἐδίωκεν· οἱ δ', ἰδόντες, ἔφευγον. τὰς μὲν οὖν βραδύτατα πλεούσας ταῖς ἄριστα πλεούσαις ταχύτατα κατειλήφει· παραγγείλας δὲ τοῖς πρωτόπλοις τῶν μεθ' ἑαυτοῦ, μὴ ἐμβαλεῖν ταῖς ὑστάταις, ἐδίωκε τὰς προεχούσας. ἐπεὶ δὲ ταύτας ἔλαβεν, ἰδόντες οἱ ὕστεροι ἁλισκομένους σφῶν αὐτῶν τοὺς πρωτόπλους, ὑπ' ἀθυμίας καὶ — τῶν βραδυτέρων

ὁρμισάμενος. Caſtal. ὁρμησάμενος.

Περκώπῃ. Kœppen ſcribere jubet Περκώτῃ, quæ forma alibi occurrit. Locum Strabonis xiii. p. 883. ὅτι πάλαι μετωνομάσθη Περκώτη mutatum fuiſſe cenſet a ſciolo ex Stephano Byzantio, qui, Περκώτη, inquit, καὶ πάλαι Περκώπη, Stephanum vero vitio ſcripturæ deceptum fuiſſe. Tu vero vide de Περκώπῃ annotationem Weſſelingii ad Herodotum p. 435.

§. 26. Φανίαν. A. J. Br. Caſt. Φαινίαν.

Κολυττεύς. Ald. Κοταλύτεὺς, J. Br. Caſt. Κοταλιτεύς. Taylor ubique cenſuit legendum eſſe Κολλυτεὺς in Commentariis ad Demoſthenem et Æſchinem.

§. 27. τινὰς ναύτας. Margo Leoncl. τοὺς ναύτας.

ὡς ἤδη. Leoncl. emendabat ὡς δή. Recte, puto.

τοῖς πρωτόπλοις. Steph. et Leoncl. malebant ταῖς, ſed ſtatim ſequitur τοὺς πρωτόπλους. Sic enim ibi legendum, recte cenſuit Brodæus pro πρόπλους.

τῶν βραδυτέρων. Ante hæc verba Steph. et Leoncl. inſerunt ὑπό. Recte. Cæterum hanc Antalcidæ expeditionem narrat etiam Polyænus ii. 24. Ἀνταλκίδας ἐν Ἀβύδῳ μετὰ ναυτικοῦ πλείονος διατρίβων ἀττικὰς τριήρεις ὁρμούσας ἐν Τενέδῳ μαθὼν φοβουμένας ἐς Βυζάντιον διαπλεῦσαι πρὸς Ἰφικράτην, ἀγγείλαντός τινος, ὡς Ἰφικράτης πολιορκοίη Χαλκηδονίους φίλους ὄντας, παρήγγειλεν ἀποπλεῖν εἰς Χαλκηδόνα, καὶ ἀναχθεὶς ἐνέδρευσεν περὶ τὴν Κυζικηνήν. οἱ δὲ ἀπὸ τῆς Τενέδου τὴν ἀναγωγὴν τὴν Ἀνταλκίδου πυθόμενοι κατὰ τάχος ἐπειρῶντο πρὸς τὸν Ἰφικράτην πλεῖν. ἐπεὶ δ' ἐγένοντο κατὰ τὰς τῶν πολεμίων τριήρεις οὐχ' ὁρωμένας ἀλλ' ἀφανῶς ἐφορμούσας,

ἡλίσκοντο· ὥσθ' ἥλωσαν ἅπασαι. Ἐπεὶ δ' ἦλθον αὐτῷ 28 αἵ τε ἐκ Συρακουσῶν νῆες εἴκοσιν, ἦλθον δὲ καὶ αἱ ἀπὸ Ἰωνίας, ὅσης ἐγκρατὴς ἦν Τιρίβαζος, ξυνεπληρώθησαν δὲ καὶ ἐκ τῆς Ἀριοβαρζάνους, (καὶ γὰρ ἦν ξένος ἐκ παλαιοῦ τῷ Ἀριοβαρζάνει) ὁ δὲ Φαρνάβαζος, ἤδη ἀνακεκλημένος, ᾤχετο ἄνω, (ὅτε δὴ καὶ ἔγημε τὴν βασιλέως θυγατέρα) ὁ [δὲ] Ἀνταλκίδας γενομέναις ταῖς πάσαις ναυσὶ πλείοσιν ἢ ὀγδοήκοντα ἐκράτει πάσης τῆς θαλάττης· ὥστε καὶ τὰς ἐκ τοῦ Πόντου ναῦς Ἀθήναζε μὲν ἐκώλυε καταπλεῖν, ἐς δὲ

Ἀνταλκίδας, ἄφνω προσπεσὼν ταῖς Ἀττικαῖς, τὰς μὲν κατέδυσε τῶν δὲ πλειόνων ἐκράτησεν. Quæ cum ille ex bono fcriptore, veftigiis veritatis conturbatis, veluti Cacus ille boves, in librum fuum abigeret, effecit, ut nihil inde lucis affundi poffet Xenophontis narrationi. Iphicrates cum Diotimo obfident Abydi Nicolochum; hos vero jam fupra fect. 7. fimpliciter τοὺς Ἀθηναίων στρατηγοὺς dixit. Fingebat vero Antalcidas, Chalcedonios, ab Iphicrate obfeffos, auxilium fuum flagitare; hoc obfcure dixit Polyænus ἀγγείλαντός τινος.—Provehitur igitur verfus Propontidem et ad Percotam fubfiftit; unde fugatus ad Proconnefum, poftquam hoftes abfcefferant, redit ad Abydum, ut naves a Polyxeno adducendas reciperet. Demænetus igitur Dionyfius, Leontichus et Phanias fuiffe videntur in claffe fub imperio Iphicratis, qui Nicolochum ad Abydum obfidebat, ὁρμώμενος ἐκ Χεῤῥονήσου, ut fupra eft §. 7. At vero fupra §. 10. Demænetus cum Chabria in infulam Cyprum auxilio Evagoræ profectus effe dicitur; igitur illinc poftea devertit in Hellefpontum Demænetus, forte cum ipfo Chabria. Acceffit deinde Thrafybulus Colyttenfis a Thracia conjuncturus naves fuas octo cum Iphicrate, Demæneto et forte etiam Chabria. Subftitiffe ad Tenedum, narrat Polyænus; deinde fubito comperto Antalcidæ difceffu voluiffe ad Iphicratem verfus Chalcedonem evadere, et incidiffe in infidias circa Cyzicenam pofitas ab Antalcida. Hæc vero plane contraria funt iis, quæ narrat Xenophon. Neque enim Chalcedonem, fed Abydum obfidebat Iphicrates; et Antalcidas primum quidem circa Cyzicenam ad Proconnefum fubftiterat, fed mox inde redierat; et cum a Thracia Thrafybulum advenire comperiffet, infidias ei ftruxit, non circa Cyzicenam, ut ait Polyænus, fed in ipfo aditu Hellefponti, credo, in quem ex Tenedo invectus erat Thrafybulus. Nifi Tenedi mentio obfifteret, crederem, Polyænum ex male intellecto Xenophontis loco fua duxiffe.

§. 28. ἦλθον αὐτῷ. A. J. Br. Caft. αὐτοῖς.

ὅσης. Eædem Edd. ὅσων.

ἀνακεκλημένος. Eædem ἅμα κεκλημένος ᾤχετο ἄγων. Pharnabazus, amicus Athenienfium, profuit Antalcidæ conatibus.

ὁ δή. Recte ita emendabat Leonclav. Morus vulgatum δὲ inclufit.

πάσης. Ut fpurium notant St. et Leoncl.

Πόντου. Videntur igitur Byzantium tum tenuiffe, unde frumentum importabatur Athenas. Eam fcilicet urbem cum Thafo infula Thrafybulus Stirienfis pauco ante tempore iterum imperio Athenienfium fubjecerat, proditam fibi a civibus Archebio, et Heraclide, Thafum vero ab Ecphanto. Rem ab aliis omiffam obiter narravit Demofthenes contra Leptinem p. 474. ubi agit de honoribus ab una civitate tributis Ecphanto ejufque fociis: οἳ παραδόντες ὑμῖν Θάσον καὶ τὴν Λακεδαιμονίων φρουρὰν μεθ' ὅπλων ἐκβαλόντες καὶ Θρασύβουλον εἰσαγαγόντες καὶ παρασχόντες φίλην ὑμῖν τὴν ἑαυτῶν πατρίδα, αἴτιοι τοῦ γενέσθαι σύμμαχον τὸν περὶ Θράκην τόπον ὑμῖν ἐγένοντο. Deinde de Archebio et Hera-

29 τὰς ἑαυτῶν ξυμμάχους κατῆγεν. Οἱ μὲν οὖν Ἀθηναῖοι, ὁρῶντες μὲν πολλὰς τὰς πολεμίας ναῦς, φοβούμενοι δὲ, μὴ, ὡς πρότερον, καταπολεμηθείησαν, ξυμμάχου Λακεδαιμονίοις βασιλέως γεγενημένου, πολιορκούμενοι δ᾽ ἐκ τῆς Αἰγίνης ὑπὸ λῃστῶν, διὰ ταῦτα μὲν ἰσχυρῶς ἐπεθύμουν τῆς εἰρήνης. οἱ δ᾽ αὖ Λακεδαιμόνιοι, φρουροῦντες μόρᾳ μὲν ἐν Λεχαίῳ, μόρᾳ δ᾽ ἐν Ὀρχομενῷ, φυλάττοντες δὲ τὰς πόλεις, αἷς μὲν ἐπίστευον, μὴ ἀπόλοιντο, αἷς δὲ ἠπίστουν, μὴ ἀποσταῖεν, πράγματα δ᾽ ἔχοντες καὶ παρέχοντες περὶ τὴν Κόρινθον, χαλεπῶς ἔφερον τῷ πολέμῳ. οἱ γε μὴν Ἀργεῖοι, ἰδόντες φρουράν τε πεφασμένην ἐφ᾽ ἑαυτοὺς, καὶ γινώσκοντες, ὅτι ἡ τῶν μηνῶν ὑποφορὰ οὐδὲν ἔτι σφᾶς

clide, iiſdem honoribus auctis, pergit: οἳ Βυζάντιον παραδόντες Θρασυβούλῳ κυρίους ὑμᾶς ἐποίησαν τοῦ Ἑλλησπόντου, ὥστε τὴν δεκάτην ἀποδόσθαι, καὶ χρημάτων εὐπορήσαντας, Λακεδαιμονίους ἀναγκάσαι τοιαύτην, οἵαν ὑμῖν ἐδόκει, ποιήσασθαι τὴν εἰρήνην· ὧν μετὰ ταῦτα ἐκπεσόντων, ἐψηφίσασθε ἅπερ φεύγουσιν εὐεργέταις δι᾽ ὑμᾶς προσῆκε, προξενίαν, εὐεργεσίαν, ἀτέλειαν ἁπάντων. Denique paulo poſt addit, Thaſum tunc et Byzantium fuiſſe Lacedæmoniorum proprias et amicas, ab Athenienſibus autem alienas urbes. De tempore traditi Athenienſibus Byzantii ab Archebio et Heraclide ſolus monuit ad Demoſthenem Palmerius, ſed vir præclarus plane a vero aberravit. Is enim refert narrata a Demoſthene ad hiſtoriam, a Diodoro xiii. 66. traditam, ubi Thaſus quidem a Thraſybulo, ſed Byzantium ab Alcibiade, prodentibus quibuſdam civibus, occupatum refertur? Quæ quidem expeditio accurate narrata fuit a Xenophonte ſupra lib. i. cap. 4. Sed tum Byzantii occupationem nulla pax conſecuta eſt, qualem Athenienſes vellent habere; nec omnino poſt bellum Peloponneſiacum facta fuit ab Athenienſibus cum Lacedæmoniis pax optabilis, niſi quæ Antalcidæ dici ſolet, qua tandem extorſerunt Lacedæmoniis et Perſis pervicacia ſua, ut imperium Lemni, Imbri et Scyri ſibi relinquerent intactum. Thraſybulum vero cum nominant ſimpliciter ſcriptores Attici, Stirienſem, utpote celeberrimum et de Athenienſibus præclare meritum, intelligi volunt. Thraſybulum vero Stirienſem iterum occupaſſe Byzantium, portitorium locaſſe publice, et reipublicæ formam democraticam reſtituiſſe, nulla tamen proditionis mentione facta, narravit ſupra Xenophon iv. 8. 27. Opportunitate igitur horum locorum et redituum portitorii uſi Athenienſes bellum tam diu ſuſtinuerunt, auctore Demoſthene, donec eas pacis conditiones obtinerent, quas vellent. Thaſi, a Thraſybulo proditione captæ, porro non meminit Xenophon, ſed generatim urbes Thraciæ vicinæque regionis imperio Athenienſium ſubjectas memorat iv. 8. 26. De Byzantio recuperato recte Palmerii opinionem deſeruit doctiſſimus orationis Leptineæ interpres, *Fr. Aug. Wolf*, ſed Thaſum receptam refert ad anteriora tempora. Neque equidem auſim contrarium affirmare. Ulpiani Scholia Ecphantum faciunt Thaſiorum στρατηγόν: qua vero auctoritate, ignoro. Archebii memorati a Demoſthene filium fuiſſe illum, qui velut Athenienſium ſtudioſus memoratur ab eodem contra Ariſtocrat. p. 756. cenſuit idem vir doctus ad Leptineam p. 281. et in Indice.

§. 29. ἰδόντες. Margo Leonclav. εἰδότες.

ὠφελήσει, καὶ οὗτοι ἐς τὴν εἰρήνην πρόθυμοι ἦσαν. Ὡς 30 ἐπεὶ παρήγγειλεν ὁ Τιρίβαζος, παρεῖναι τοὺς βουλομένους ὑπακοῦσαι, ἣν βασιλεὺς εἰρήνην καταπέμπει, ταχέως πάντες παρεγένοντο. ἐπεὶ δὲ ξυνῆλθον, ἐπιδείξας ὁ Τιρίβαζος τὰ βασιλέως σημεῖα, ἀνεγίγνωσκε τὰ γεγραμμένα. εἶχε δὲ ὧδε·

Ἀρταξέρξης βασιλεὺς νομίζει δίκαιον, τὰς μὲν ἐν τῇ 31 Ἀσίᾳ πόλεις ἑαυτοῦ εἶναι, καὶ τῶν νήσων Κλαζομενὰς καὶ Κύπρον· τὰς δὲ ἄλλας Ἑλληνίδας πόλεις, καὶ μικρὰς καὶ μεγάλας, αὐτονόμους ἀφεῖναι, πλὴν Λήμνου, καὶ Ἴμβρου, καὶ Σκύρου· ταύτας δὲ, ὥσπερ τὸ ἀρχαῖον, εἶναι Ἀθη-

§. 30. ὧδε. Summam formulæ pacis repetiit Plutarchus Artaxerx. c. 21. et Diodorus xiv. 110.

§. 31. Κλαζομενάς. Cum Clazomenas inter insulas memoratas ignorarent Steph. et Leoncl. ille quidem τῶν νήσων τὰς κατὰ Κλαζομενὰς, hic vero cum Francisco Porto τῶν νήσων Κλαζομενίας legendum censebat. Uterque falsus. Monuit enim Palmerius ad h. l. ex Pausania vii. p. 529. Clazomenarum urbem in continente terra primum conditam fuisse; deinde metu Persarum in insulam transiisse incolas; Alexandrum denique, mole in mare projecta, insulam continenti junxisse. Molem illam hodieque superstitem vidit descripsitque Chandler Itin. Asiæ minoris p. 122. vers. germanicæ.

[Κλαζομενάς. Cum constet, Clazomenas eo tempore inter insulas fuisse maris, explicandus hic est locus Thucydidis viii. c. 31. ubi de Astyocho duce Lacedæmoniorum: παρέπλευσεν ἐπὶ Κλαζομενὰς, καὶ ἐκέλευεν αὐτῶν τοὺς τὰ Ἀθηναίων φρονοῦντας ἀνοικίζεσθαι ἐς τὸν Δαφνοῦντα, καὶ προσχωρεῖν σφίσι—ἀπέπλευσεν ἀνέμῳ μεγάλῳ—αἱ δὲ ἄλλαι νῆες κατῆραν ἐς τὰς ἐπικειμένας ταῖς Κλαζομεναῖς νήσους Μαράθουσαν καὶ Πήλην καὶ Δρυμοῦσαν, καὶ ὅσα ὑπεξέκειτο αὐτόθι τῶν Κλαζομενίων διήρπασαν. Unde discimus, Daphnuntem (quam cum Hermesia intus sitis interiisse suo tempore monet Plinius v. f. 31.) primam et antiquam sedem Clazomeniorum fuisse; eo enim studiosos Atheniensium ex insula recedere in continentem interiorem jubet Astyochus; quod est ἀνοικίζεσθαι. Habitabatur igitur adhuc Daphnus eo tempore, ut videtur mihi, et cum Clazomenis eo forte modo conjuncta erat republica communi, ut cum Colophone, intus sita, maritimum Notium. Locus manifestior est Thucydidis viii. c. 14. διαβάντες δὲ οἱ Κλαζομένιοι εὐθὺς εἰς τὴν ἤπειρον τὴν πολίχναν ἐτείχιζον, εἴτι δέοι σφίσιν αὐτοῖς ἐκ τῆς νησίδος ἐν ᾗ οἰκοῦσι, πρὸς ἀναχώρησιν. ubi miror, Interpretes non vidisse, πολίχναν esse Daphnuntem. Nomen enim urbis esse πολίχναν, quominus credamus, impedit locus c. 23. ubi Athenienses Κλαζομενίων τὴν ἐν τῇ ἠπείρῳ πολίχναν τειχιζομένην ἑλόντες διεκόμισαν πάλιν αὐτοὺς ἐς τὴν ἐν τῇ νήσῳ πόλιν, πλὴν τῶν αἰτίων τῆς ἀποστάσεως. οὗτοι δὲ ἐς Δαφνοῦντα ἀπῆλθον. καὶ αὖθις Κλαζομεναὶ προσεχώρησαν Ἀθηναίοις. ubi tamen diversa videtur aliqua urbs Daphnus dici ab ea, quam in continente a Clazomeniis conditam πολίχνην vocavit. Verum si mecum statuas, auctores seditionis ex insulari urbe, discessione facta, rediisse in urbem continentem, non opus erit diversam Daphnuntem statuere ab ea, quam πολίχναν antea dixerat Thucydides. *Ex Addendis.*]

Κύπρον. Hinc Isocrates Panegyric. cap. 39. de Evagora tum bellum cum rege gerente: ἐν δὲ ταῖς συνθήκαις ἔκδοτός ἐστιν.

Σκύρου. Iterum vulgatum Σκίρου

ναίων. ὁπότεροι δὲ ταύτην τὴν εἰρήνην μὴ δέχονται, τούτοις ἐγὼ πολεμήσω μετὰ τῶν ταῦτα βουλομένων, καὶ πεζῇ, καὶ κατὰ θάλατταν, καὶ ναυσὶ, καὶ χρήμασιν.

32 Ἀκούοντες οὖν ταῦτα οἱ ἀπὸ τῶν πόλεων πρέσβεις, ἀπήγγελλον ἐπὶ τὰς ἑαυτῶν ἕκαστοι πόλεις. καὶ οἱ μὲν ἄλλοι πάντες ὤμνυσαν ἐμπεδώσειν ταῦτα· οἱ δὲ Θηβαῖοι ἠξίουν ὑπὲρ πάντων Βοιωτῶν ὀμνῦναι. ὁ δὲ Ἀγησίλαος οὐκ ἔφη δέξασθαι τοὺς ὅρκους, ἐὰν μὴ ὀμνύωσιν, ὥσπερ τὰ βασιλέως γράμματα ἔλεγεν, αὐτονόμους εἶναι καὶ μικρὰν καὶ μεγάλην πόλιν. οἱ δὲ τῶν Θηβαίων πρέσβεις ἔλεγον, ὅτι οὐκ ἐπεσταλμένα σφίσι ταῦτα εἴη. ἴτε νῦν, ἔφη ὁ Ἀγησίλαος, καὶ ἐρωτᾶτε· ἀπαγγέλλετε δ᾽ αὐτοῖς καὶ ταῦτα,

33 ὅτι, εἰ μὴ ταῦτα ποιήσοιεν, ἔκσπονδοι ἔσονται. Οἱ μὲν δὴ ᾤχοντο. ὁ δὲ Ἀγησίλαος, διὰ τὴν πρὸς Θηβαίους ἔχθραν, οὐκ ἔμελλεν, ἀλλὰ πείσας τοὺς ἐφόρους, εὐθὺς ἐθύετο. ἐπεὶ δὲ ἐγένετο τὰ διαβατήρια, ἀφικόμενος ἐς τὴν Τεγέαν, διέπεμπε τῶν μὲν ἱππέων κατὰ τοὺς περιοίκους ἐπισπεύσοντας, διέπεμπε δὲ καὶ ξεναγοὺς ἐς τὰς πόλεις. πρὶν δὲ αὐτὸν ὁρμηθῆναι ἐκ Τεγέας, παρῆσαν οἱ Θηβαῖοι, λέγοντες, ὅτι ἀφιᾶσι τὰς πόλεις αὐτονόμους. καὶ οὕτω Λακεδαιμόνιοι μὲν οἴκαδε ἀπῆλθον, Θηβαῖοι δ᾽ ἐς τὰς σπονδὰς εἰσελθεῖν ἠναγκάσθησαν, αὐτονόμους ἀφέντες τὰς Βοιωτι-

34 κὰς πόλεις. Οἱ δ᾽ αὖ Κορίνθιοι οὐκ ἐξέπεμπον τὴν τῶν

correxi. Eaſdem inſulas exceptas in fœdere poſuit Andocides p. 96. Factam et confirmatam fuiſſe hanc pacem archonte Theodoto Olymp. 98. 2. cum Diodoro tradit Polybius i. 6. et Ariſtides tom. iii. p. 474.

§. 32. ὀμνύωσιν. A. J. Br. Caſt. ὀμῶσιν.

ἴτε νῦν. Margo Leonclavii ἴτε οὖν.

§. 33. κατὰ τοὺς περιοίκους. Recte Leonclav. emendabat καὶ τοὺς περιοίκους. Cum enim Ageſilaus jam Arcadiam ingreſſus fuerit, inepte nunc dicitur circa περιοίκους, i. e. Lacedæmonios Spartanorum imperio ſubjectos, miſiſſe, qui adventum eorum accelerarent. Quodſi vero περιοίκους vicinas Tegeæ gentes interpreteris, tunc inepta exiſtit tautologia in verbis διέπεμπε—ἐς τὰς πόλεις.

Βοιωτικάς. Margo Leoncl. Βοιωτίας.

[Τὰς Βοιωτίδας πόλεις leg. vel cum Leonclav. Βοιωτίας. Conf. iv. 8. 15. vi. 4. 3. quanquam locus poſterior non eſt genuinus inde a verbis: ὁ δὲ Κλεόμβροτος—αὐτονόμους. Vulgata forma Βοιωτικὸς caret auctoritate *F. A. Wolfius.*]

Ἀργείων φρουράν. ἀλλ' ὁ Ἀγησίλαος καὶ τούτοις προεῖπε, τοῖς μέν, εἰ μὴ ἐκπέμψοιεν τοὺς Ἀργείους, τοῖς δέ, εἰ μὴ ἀπίοιεν ἐκ τῆς Κορίνθου, ὅτι πόλεμον ἐξοίσει ἐπ' αὐτούς. ἐπεὶ δὲ φοβηθέντων ἀμφοτέρων ἐξῆλθον οἱ Ἀργεῖοι, καὶ αὐτὴ ἐφ' ἑαυτῆς ἡ τῶν Κορινθίων πόλις ἐγένετο, οἱ μὲν σφαγεῖς καὶ οἱ μεταίτιοι τοῦ ἔργου, αὐτοὶ γνόντες, ἀπῆλθον ἐκ τῆς Κορίνθου· οἱ δ' ἄλλοι πολῖται ἑκόντες κατεδέχοντο τοὺς πρόσθεν φεύγοντας.

Ἐπεὶ δὲ ταῦτ' ἐπράχθη, καὶ ὀμωμόκεσαν αἱ πόλεις 35 ἐμμένειν τῇ εἰρήνῃ, ἣν κατέπεμψε βασιλεύς, ἐκ τούτου διελύθη μὲν τὰ πεζικά, διελύθη δὲ καὶ τὰ ναυτικὰ στρατεύματα. Λακεδαιμονίοις μὲν δή, καὶ Ἀθηναίοις, καὶ τοῖς ξυμμάχοις οὕτως ἡ μετὰ τὸν ὕστερον πόλεμον τῆς καθαιρέσεως τῶν Ἀθήνησι τειχῶν αὕτη πρώτη εἰρήνη ἐγένετο. Ἐν δὲ τῷ πολέμῳ μᾶλλον ἀντιρρόπως τοῖς ἐναντίοις πράτ- 36 τοντες οἱ Λακεδαιμόνιοι, πολὺ ἐπικυδέστεροι ἐγένοντο ἐκ τῆς ἐπ' Ἀνταλκίδου εἰρήνης καλουμένης. προστάται γὰρ γενόμενοι τῆς ὑπὸ βασιλέως καταπεμφθείσης εἰρήνης, καὶ τὴν αὐτονομίαν ταῖς πόλεσι πράττοντες, προσέλαβον μὲν ξύμμαχον Κόρινθον, αὐτονόμους δὲ ἀπὸ τῶν Θηβαίων τὰς Βοιωτίδας πόλεις ἐποίησαν, οὗπερ πάλαι ἐπεθύμουν. ἔπαυσαν δὲ καὶ Ἀργείους Κόρινθον σφετεριζομένους, φρουρὰν φήναντες ἐπ' αὐτούς, εἰ μὴ ἐξίοιεν ἐκ Κορίνθου.

## ΚΕΦ. Β.

ΤΟΥΤΩΝ δὲ προκεχωρηκότων, ὡς ἐβούλοντο, ἔδοξεν

§. 34. ἐπ' αὐτούς. Margo Leonclav. πρὸς αὐτούς.

ἀπῆλθον. Recepti ab Athenienſibus, ut docui ſupra ad iv. 2. 23.

§. 35. οὕτως ἡ. Leoncl. emendabat οὑτωσὶ aut οὕτως αὕτη ἡ. Contra Morus ſequens αὕτη incluſit.

§. 36. ἐπικυδέστεροι. Caſtal. edidit ἐπικηδέστεροι vitioſe. Deinceps ἐκ omittunt A. J. Bryl. Caſt.

προστάται. Qui tuebantur fœdus commune, et impediebant, quo minus aliqui contra pacis conditiones facerent. Galli dicere ſolent hodie *Garans*.

§. 1. ἔδοξεν. Rem de Mantineenſibus

αὐτοῖς, ὅσοι ἐν τῷ πολέμῳ τῶν ξυμμάχων ἐνέκειντο, καὶ τοῖς πολεμίοις εὐμενέστεροι ἦσαν, ἢ τῇ Λακεδαίμονι, τούτους κολάσαι, καὶ κατασκευάσαι, ὥστε μὴ δύνασθαι ἀπιστεῖν. πρῶτον μὲν οὖν πέμψαντες ὡς τοὺς Μαντινέας, ἐκέλευσαν αὐτοὺς τὸ τεῖχος περιαιρεῖν, λέγοντες, ὡς οὐκ ἂν πιστεύσειαν ἄλλως αὐτοῖς, μὴ ξὺν τοῖς πολεμίοις γενέσθαι. 2 Αἰσθάνεσθαι γὰρ ἔφασαν, καὶ ὡς σῖτον ἐξέπεμπον τοῖς Ἀργείοις, σφῶν αὐτοῖς πολεμούντων· καὶ ὡς ἔστι μὲν ὅτε οὐδὲ συστρατεύοιεν, ἐκεχειρίαν προφασιζόμενοι· ὁπότε δὲ καὶ ἀκολουθοῖεν, ὡς κακῶς συστρατεύοιεν. ἔτι δὲ γιγνώσκειν ἔφασαν φθονοῦντας μὲν αὐτοὺς, εἴ τι σφίσιν ἀγαθὸν γίγνοιτο· ἐφηδομένους δὲ, εἴ τις συμφορὰ προσπίπτοι. ἐλέγοντο δὲ καὶ αἱ σπονδαὶ ἐξεληλυθέναι τοῖς Μαντινεῦσι τούτῳ τῷ ἔτει, αἱ μετὰ τὴν ἐν Μαντινείᾳ μάχην τριακονταετεῖς γενόμεναι. 3 Ἐπεὶ δὲ οὐκ ἤθελον καθαιρεῖν τὰ

egregie et pragmatice narrat Diod. xv. 5. Mantineenſes vero ab Athenienſibus auxilium fruſtra petiiſſe, idem addit. Xenophon etiam hac in narratione ſtudium in Lacedæmonios nimium prodidit. Bellum contra Mantineenſes ſuſceptum ad Olymp. 98. annum 3. retulit Diodorus xv. 5. qui Lacedæmonios, ait, ne duo quidem annos ſervaſſe fœdus pacis commune, quod ad annum Olymp. 98. ſecundum retulerat. Ex quo loco apparet, initia belli, contra Mantineenſes geſti, hoc eſt, legationem Mantineam miſſam et altercationes incidiſſe in annum 3. Olympiad. 98, ipſum vero bellum eodem, ut ſæpe retulit Diodorus, ne res continuas, annis et oratione diſcerptas, obſcuraret. Quæ mea opinio ſi vera eſt, induciarum etiam tempus, de quo paulo poſt, aliter definiendum erit. Dodwellus tamen ipſum bellum Olymp. 98. anno 3. attribuit, miratus tamen, duos fere pacis annos a Lacedæmoniis obſervatos dici.

ἐνέκειντο. Neſcio, an verbum ſit ſanum. Morus urgere, vexare interpretatur. At ita ſequens εὐμενέστεροι cum cæteris languent.

§. 2. τριακονταετεῖς. Prœlium in regione Mantineenſi commiſſum deſcripſit Thucydides v. 64. 66. ſeqq. recte monente Dodwello. Verum Morus difficultatem inde aliquam exſculpſit, quod Thucydides c. 79. illo quidem tempore fœdus in annos 50. factum narret. Igitur malebat locum noſtrum interpretari: fœdus, quod poſt illam pugnam nunc fuerat tricennale, triginta annos nunc quidem duraverat: ſed ita vim facit verbo ἐξεληλυθέναι, quod interpretationem iſtam non fert. Atque alias fuiſſe et diverſas, quæ Mantineenſibus datæ fuerint invitis, inducias, recte ex h. l. colligit Dodwell; atque adeo biennio poſt inducias, cum Argivis in quinquaginta annos factas has demum cum Mantineenſibus pactas fuiſſe, ex eo conjicit, quod hoc demum anno Olymp. 98. 2. elapſas dixit Xenophon inducias illas tricennales, a quo retro ad annum ſecundum Olympiadis 90. anni numerantur ad minimum 32. Eadem fere contra Morum monuit Kœppen.

τείχη, φρουρὰν φαίνουσιν ἐπ' αὐτούς. Ἀγησίλαος μὲν οὖν ἐδεήθη τῆς πόλεως, ἀφεῖναι αὐτὸν ταύτης τῆς στρατηγίας, λέγων, ὅτι τῷ πατρὶ αὐτοῦ πολλὰ ὑπηρετήκει ἡ τῶν Μαντινέων πόλις ἐν τοῖς πρὸς Μεσσήνην πολέμοις· Ἀγησίπολις δὲ ἐξήγαγε τὴν φρουρὰν, καὶ μάλα Παυσανίου, τοῦ πατρὸς αὐτοῦ, φιλικῶς ἔχοντος πρὸς τοὺς ἐν Μαντινείᾳ τοῦ δήμου προστάτας. Ὡς δὲ ἐνέβαλε, πρῶτον μὲν τὴν γῆν 4 ἐδῄου. ἐπεὶ δὲ οὐδὲ οὕτω καθῄρουν τὰ τείχη, τάφρον ὤρυττε κύκλῳ περὶ τὴν πόλιν, τοῖς μὲν ἡμίσεσι τῶν στρατιωτῶν προκαθημένοις σὺν τοῖς ὅπλοις τῶν ταφρευόντων, τοῖς δὲ ἡμίσεσιν ἐργαζομένοις. ἐπεὶ δὲ ἐξείργαστο ἡ τάφρος, ἀσφαλῶς ἤδη κύκλῳ [τεῖχος] περὶ τὴν πόλιν ᾠκοδόμησεν. αἰσθόμενος δὲ, ὅτι ὁ σῖτος ἐν τῇ πόλει πολὺς εἴη, εὐετηρίας γενομένης τῷ πρόσθεν ἔτει, καὶ νομίσας, χαλεπὸν ἔσεσθαι, εἰ δεήσοι πολὺν χρόνον τρύχειν στρατιαῖς τήν τε πόλιν καὶ τοὺς ξυμμάχους, ἀπέχωσε τὸν ῥέοντα ποταμὸν διὰ τῆς πόλεως, μάλ' ὄντα εὐμεγέθη. Ἐμφραχθείσης δὲ τῆς 5 ἀπορροίας, ἤρετο τὸ ὕδωρ ὑπέρ τε τῶν ὑπὸ ταῖς οἰκίαις καὶ

§. 3. *τῷ πατρί.* Archidamo, tum cum terræ motu Sparta conturbata, Messenii cum Helotibus insurrexerant contra Spartanos. Vide Diodorum xi. 63. 64.

§. 4. *προκαθημένοις.* Ita scripsit Budæus Comment. Gr. L. p. 344. Vulgo *προσκαθημένοις.*

*τεῖχος.* Hoc verbum deest in A. J. Bryl. Castal. Qui primus addidit, si Codicis auctoritatem secutus est, recte egit. Brevior emendandi via erat *κύκλον* legendo. Ita infra in obsessione Phliuntis cap. 3. 22. *ὁ περιτετειχισμένος κύκλος.*

*δεήσοι.* Ita recte A. J. Bryl. Castal. Reliquæ habent *δεήσει.* Verba *τῷ πρόσθεν ἔτει* pessime Dodwellus de hujus ipsius anni, quo bellum gestum est, messe interpretatur, dorici anni divisionem caussatus, quam Xenophon in numerandis annis non sequitur. Ante messis hornæ tempus bellum hoc cœpisse et ad auctumnum protractum fuisse, arguit hæc prioris anni messis, et Diodori xv. 12. verba *χειμῶνος ἐνστάντος.* Unde pluviis increverat fluvius.

*στρατείαις.* Ita recte Steph. pro *στρατιαῖς*, quanquam vulgatam defendit Morus.

*διὰ τῆς πόλεως.* Fluvio nomen fuit Ossis, auctore Pausania viii. 8. sed is, ait, eum fluere *παρὰ τὴν νῦν πόλιν*, itaque situs Mantineæ, postquam ab Epaminonda fuit restituta, mutatus erat, forte ob hoc ipsum infortunium. Diodorus xv. 11. de ipso hoc tempore narrans, tamen *τὸν παρὰ τὴν Μαντίνειαν ποταμὸν* appellat, eumque increvisse, ait, auctumnalibus pluviis.

§. 5. *ὑπὸ ταῖς οἰκίαις.* Domos suburbanas intelligi, aut mendum subesse putabat Fr. Portus. Deinceps articulum ante *τείχει* omittunt A. J. Br. Cast.

ὑπὲρ τῶν ὑπὸ τῷ τείχει θεμελίων. βρεχομένων δὲ τῶν κάτω πλίνθων, καὶ προδιδουσῶν τὰς ἄνω, τὸ μὲν πρῶτον ἐῤῥήγνυτο τὸ τεῖχος, ἔπειτα δὲ καὶ ἐκλίνετο. οἱ δὲ χρόνον μέν τινα ξύλα ἀντήρειδον, καὶ ἀντεμηχανῶντο, ὡς μὴ πίπτοι ὁ πύργος· ἐπεὶ δὲ ἡττῶντο τοῦ ὕδατος, δείσαντες, μὴ, πεσόντος πη τοῦ κύκλῳ τείχους, δορυάλωτοι γένοιντο, ὡμολόγουν περιαιρήσειν. οἱ δὲ Λακεδαιμόνιοι οὐκ ἔφασαν πείσεσθαι, εἰ μὴ καὶ διοικοῖντο κατὰ κώμας. οἱ δ᾽ αὖ νομίσαντες ἀνάγκην εἶναι, ξυνέφασαν καὶ ταῦτα ποιήσειν. 6 Οἰομένων δὲ ἀποθανεῖσθαι τῶν ἀργολιζόντων, καὶ τῶν τοῦ δήμου προστατῶν, διεπράξατο ὁ πατὴρ παρὰ τοῦ Ἀγησιπόλιδος, ἀσφάλειαν αὐτοῖς γενέσθαι, ἀπαλλαττομένοις ἐκ τῆς πόλεως, ἑξήκοντα οὖσι. καὶ ἀμφοτέρωθεν μὲν τῆς ὁδοῦ, ἀρξάμενοι ἀπὸ τῶν πυλῶν, ἔχοντες τὰ δόρατα οἱ Λακεδαιμόνιοι, ἔστησαν, θεώμενοι τοὺς ἐξιόντας· καὶ μισοῦντες αὐτοὺς, ὅμως ἀπείχοντο αὐτῶν ῥᾷον, ἢ οἱ βέλτιστοι τῶν Μαντινέων. καὶ τοῦτο μὲν εἰρήσθω μέγα τεκμήριον πειθαρχίας. 7 Ἐκ δὲ τούτου καθῃρέθη μὲν τὸ τεῖχος, διῳκίσθη δὲ ἡ Μαντίνεια τετραχῇ, καθάπερ τὸ ἀρχαῖον ᾤκουν. καὶ τὸ μὲν

πλίνθων. Pauſanias l. c. pugnam ante obſeſſionem memorat, et recte monet, crudos lateres intelligi, qui in aqua tam facile diffluant, quam in ſole cera. Græci ſcilicet lateres crudos ad ædificiorum inferiores partes adhibebant, ut nuper ad Memorabilia annotavi. Eodem olim artificio Cimon urbem Eionem, ad Strymonem poſitam, expugnaverat, teſte Pauſan. l. c.

ἀντεμηχανῶντο. Margo Leonclav. ἐμηχανῶντο.

§. 6. ἀργολιζόντων. Ita recte ſcripſit Steph. pro ἀργυρολογίζοντων. Mantineenſes fere ſemper ab Argivorum partibus ſtetiſſe, apparet ex ſuperioribus, et iis, quæ habet Thucydides v. 29.

ὁ πατήρ. Pauſanias, qui Tegeæ exſul vixit, uſque ad hoc tempus igitur.

§. 7. τετραχῇ. Diodor. μετοικῆσαι πάντας εἰς τὰς ἀρχαίας πέντε κώμας ἐξ ὧν εἰς τὴν Μαντίνειαν τὸ παλαιὸν συνῴκησαν. Iſocrates Panegyr. c. 35. τὴν δὲ Μαντινέων πόλιν ἀνάστατον ἐποίησαν. Idem de Pace pag. 264. Μαντινέας διῴκισαν. Diodorus Ephorum ſequi videtur, ex quo Harpocration retulit, ὅτι εἰς πέντε κώμας τὴν Μαντινέων διῴκισαν πόλιν Λακεδαιμόνιοι. Diſſenſum ita tollebat Weſſeling ad Diodorum, ut ex Pauſania admoneret, Ageſipolin paucis quibuſdam permiſiſſe, ut ibi habitarent, ubi Mantinea ſteterat; atque ita dici poſſunt per quinque vicos diſperſi Mantineenſes: atque eodem modo habitaſſe antea credere oportet, quam in unum locum congregati Mantineam ampliaſſent, quia Diodorus remigraſſe, ait, Mantineenſes in antiquos quinque pagos, unde deinde coiverant Mantineam.

πρῶτον ἤχθοντο, ὅτι τὰς μὲν ὑπαρχούσας οἰκίας ἔδει καθαιρεῖν, ἄλλας δὲ οἰκοδομεῖν· ἐπεὶ δὲ οἱ ἔχοντες τὰς οὐσίας ἐγγύτερον μὲν ᾤκουν τῶν χωρίων, ὄντων αὐτοῖς περὶ τὰς κώμας, ἀριστοκρατίᾳ δ᾽ ἐχρῶντο, ἀπηλλαγμένοι δ᾽ ἦσαν τῶν βαρέων δημαγωγῶν, ἥδοντο τοῖς πεπραγμένοις. καὶ ἔπεμπον μὲν αὐτοῖς οἱ Λακεδαιμόνιοι οὐ καθ᾽ ἕνα, ἀλλὰ κατὰ κώμην ἑκάστην ξεναγόν. ξυνεστρατεύοντο δ᾽ ἐκ τῶν κωμῶν πολὺ προθυμότερον, ἢ ὅτε ἐδημοκρατοῦντο. Καὶ τὰ μὲν δὴ περὶ Μαντινείας οὕτω διεπέπρακτο, σοφωτέρων γενομένων ταύτῃ γε τῶν ἀνθρώπων, τῷ μὴ διὰ τειχῶν ποταμὸν ποιεῖσθαι.

8 Ol. 99. $\frac{1}{2}$.

Οἱ δ᾽ ἐκ Φλιοῦντος φεύγοντες, αἰσθόμενοι τοὺς Λακεδαιμονίους ἐπισκοποῦντας τοὺς ξυμμάχους, ὁποῖοί τινες ἕκαστοι ἐν τῷ πολέμῳ αὐτοῖς ἐγεγένηντο, καιρὸν ἡγησάμενοι, ἐπορεύθησαν ἐς Λακεδαίμονα, καὶ ἐδίδασκον, ὡς, ἕως μὲν σφεῖς οἴκοι ἦσαν, ἐδέχετό τε ἡ πόλις τοὺς Λακεδαιμονίους ἐς τὸ τεῖχος, καὶ συνεστρατεύοντο, ὅποι ἡγοῖντο· ἐπεὶ δὲ σφᾶς αὐτοὺς ἐξέβαλον, ὡς ἕπεσθαι μὲν οὐδαμῶς ἐθέλοιεν,

*μὲν ᾤκουν.* J. Br. Castal. *μὴν ᾤκουν.* In sequentibus *χωρία* sunt agri, pascua etc. Cæterum vide, quam studiose Xenophon de Mantineensium calamitate, velut optabili, judicet, in qua reliqui scriptores merito Lacedæmoniorum crudelitatem accusant. Non mirum igitur, Athenienses, cognito Xenophontis animo et judicio de forma democratica reipublicæ suæ, exilio eum, veluti civem perniciosum, multasse.

*οὐ καθ᾽ ἕνα.* Fr. Portus emendabat *οὐχ ἕνα.* Male. Est enim h. l. non mittebant, ut olim, collectis in unam civitatem Mantineensibus. Est ergo pro *καθ᾽ ἕνα οὖσιν.* Ita infra v. 2. 16. *τῆς Βοιωτίας ἐπιμεληθῆναι μὴ καθ᾽ ἓν εἴη.* Dionysius Halicarnas. Archæol. 8. p. 1518. ed. Reiske; *καθ᾽ ἕνα πάντες γενόμενοι κοινὸν ἐκφέρουσι πόλεμον.* Hæc loca debeo Moro, qui suspicatur, et h. l. legendum esse *καθ᾽ ἓν*, ut infra. Pro *κώμην* deinceps A. J. Br. Cast. *γνώμην.*

*τῷ μή.* Hæc vitiosa esse puto. An fuit *τὸ μή?* quanquam vulgatam interpretatur Morus: ne comprehendant fluvium ambitu murorum. An voluit Xenophon addita hac sententia simul monere, Mantineenses postea fluvium urbe non comprehendisse? Manifeste igitur erravit Diodorus in loco supra allato, ubi fluvium, Ophin juxta Mantineam fluxisse dixerat, antequam urbs restaurata fuisset ab Epaminonda.

§. 8. *ξυμμάχους.* In Stephan. Leonclav. est *τῶν ξυμμάχων ὁποῖοι.*

*ἐς τὸ τεῖχος.* Articulum *τὸ* omittunt A. J. Br. Cast. Deinceps Castal. *ἡγοῦντο.*

*σφᾶς αὐτούς.* Steph. et Leonclav. *αὐτοί.*

*οὐδαμῶς.* Margo Leoncl. *οὐδαμοῦ.* Recte, puto. Ut supra, *ὅποι ἡγοῖντο.*

μόνους δὲ πάντων ἀνθρώπων Λακεδαιμονίους οὐ δέχοιντο
9 εἴσω τῶν πυλῶν. Ἀκούσασι δὴ ταῦτα τοῖς ἐφόροις ἄξιον ἔδοξεν ἐπιστροφῆς εἶναι. καὶ πέμψαντες πρὸς τὴν τῶν Φλιασίων πόλιν ἔλεγον, ὡς φίλοι μὲν οἱ φυγάδες τῇ Λακεδαιμονίων πόλει εἶεν, ἀδικοῦντες δ' οὐδὲν φεύγοιεν. ἀξιοῦν δ' ἔφασαν, μὴ ὑπ' ἀνάγκης, ἀλλὰ παρ' ἑκόντων διαπράξασθαι κατελθεῖν αὐτούς. ἃ δὴ ἀκούσαντες οἱ Φλιάσιοι, ἔδεισαν, μὴ, εἰ στρατεύσαιντο ἐπ' αὐτοὺς, τῶν ἔνδοθεν παρέιησάν τινες ἐς τὴν πόλιν αὐτούς. (καὶ γὰρ συγγενεῖς πολλοὶ ἔνδον ἦσαν τῶν φευγόντων, καὶ ἄλλως εὐμενεῖς, καὶ, οἷα δὴ ἐν ταῖς πλείσταις πόλεσι, νεωτέρων τινὲς ἐπιθυμοῦν-
10 τες πραγμάτων, κατάγειν ἐβούλοντο τὴν φυγήν.) Τοιαῦτα μὲν δὴ φοβηθέντες, ἐψηφίσαντο καταδέχεσθαι τοὺς φυγάδας, καὶ ἐκείνοις μὲν ἀποδοῦναι τὰ ἐμφανῆ κτήματα, τοὺς δὲ τὰ ἐκείνων πριαμένους, ἐκ δημοσίου τὴν τιμὴν ἀπολαβεῖν· εἰ δέ τι ἀμφίλογον πρὸς ἀλλήλους γίγνοιτο, δίκῃ διακριθῆναι. Καὶ ταῦτα μὲν αὖ περὶ τῶν Φλιασίων φυγάδων ἐν ἐκείνῳ τῷ χρόνῳ ἐπέπρακτο.

11 Ἐξ Ἀκάνθου δὲ καὶ Ἀπολλωνίας (αἵπερ μέγισται τῶν περὶ Ὄλυνθον πόλεων) πρέσβεις ἀφίκοντο ἐς Λακεδαίμονα. ἀκούσαντες δὲ οἱ ἔφοροι, ὧν ἕνεκα ἧκον, προσήγαγον αὐτοὺς πρός τε τὴν ἐκκλησίαν καὶ τοὺς συμμάχους. ἔνθα δὴ Κλειγένης Ἀκάνθιος ἔλεξεν·

Ol. 99. $\frac{2}{3}$.

12 Ὦ ἄνδρες Λακεδαιμόνιοί τε καὶ οἱ σύμμαχοι, οἰόμεθα, λανθάνειν ὑμᾶς πρᾶγμα, φυόμενον ἐν τῇ Ἑλλάδι. ὅτι μὲν γὰρ τῶν ἐπὶ Θρᾴκης μεγίστη πόλις Ὄλυνθος, σχεδὸν

§. 9. Ἀκούσασι δή. Margo Leonclav. ἀκούσασι μὲν οὖν.

παρέιησαν. A. J. Bryl. Cast. παρήεισαν.

τὴν φυγήν. I. e. τοὺς φυγάδας.

§. 10. τοὺς—πριαμένους. Ita recte Steph. et Leoncl. in margine emendant vulgatum τοῖς πριαμένοις.

§. 11. πρέσβεις. Diodorus xv. 19. bellum adversus Olynthios gestum narrat, nulla legationis hujus facta mentione. Contra Amyntam, ait, Lacedæmoniis persuasisse, ut bellum contra Olynthios susciperent.

πάντες ἐπίστασθε. οὗτοι τῶν πόλεων προσηγάγοντο ἔστιν ἃς, ἐφ' ᾧ τε τοῖς αὐτοῖς χρῆσθαι νόμοις καὶ συμπολιτεύειν· ἔπειτα δὲ καὶ τῶν μειζόνων προσέλαβόν τινας. ἐκ δὲ τούτου ἐπεχείρησαν καὶ τὰς τῆς Μακεδονίας πόλεις ἐλευθεροῦν ἀπὸ Ἀμύντου, τοῦ βασιλέως Μακεδόνων. Ἐπεὶ δὲ 13 εἰσήκουσαν αἱ ἐγγύτατα αὐτῶν, ταχὺ καὶ ἐπὶ τὰς πόρρω καὶ μείζους ἐπορεύοντο· καὶ κατελίπομεν ἡμεῖς ἔχοντας ἤδη ἄλλας τε πολλὰς, καὶ Πέλλαν, ἥπερ μεγίστη τῶν ἐν Μακεδονίᾳ πόλεων. καὶ Ἀμύνταν δὲ αἰσθανόμεθα ἀποχωροῦντά τε ἐκ τῶν πόλεων, καὶ ὅσον οὐκ ἐκπεπτωκότα ἤδη ἁπάσης Μακεδονίας. πέμψαντες δὲ καὶ πρὸς ἡμᾶς καὶ πρὸς Ἀπολλωνιάτας οἱ Ὀλύνθιοι, προεῖπον ἡμῖν, ὅτι, εἰ μὴ παρεσόμεθα συστρατευόμενοι, ἐκεῖνοι ἐφ' ἡμᾶς ἴοιεν. Ἡμεῖς δὲ, ὦ ἄνδρες Λακεδαιμόνιοι, βουλόμεθα μὲν τοῖς 14 πατρίοις νόμοις χρῆσθαι, καὶ αὐτοὶ πολῖται εἶναι· εἰ μέντοι μὴ βοηθήσοι τις, ἀνάγκη καὶ ἡμῖν, μετ' ἐκείνων γίγνεσθαι. καὶ τοίνυν γε δὴ αὐτοῖς εἰσιν ὁπλῖται μὲν οὐκ ἐλάττους ὀκτακοσίων, πελτασταὶ δὲ πολὺ πλείους ἢ τοσοῦτοι· ἱππεῖς γε μέντοι, ἐὰν καὶ ἡμεῖς μετ' αὐτῶν γενώμεθα, ἔσονται πλείους

§. 12. οὗτοι. Scilicet Ὀλύνθιοι, quod latet in nomine urbis.

§. 13. εἰσήκουσαν. Stephanus usitatius ὑπήκουσαν malebat substituere. Sed εἰσακούειν ita esse apud Thucydidem i. 126. iii. 4. monuit Morus.

ἁπάσης. Margo Leonclav. ἐκ πάσης. Diodorus l. c. τῷ δήμῳ τῶν Ὀλυνθίων δωρησάμενος πολλὴν τῆς ὁμόρου χώρας διὰ τὴν ἀπόγνωσιν τῆς ἑαυτοῦ δυναστείας, τὸ μὲν πρῶτον ὁ δῆμος τῶν Ὀλυνθίων τὰς προσόδους ἐλάμβανε τὰς ἐκ τῆς δοθείσας χώρας, μετὰ δὲ ταῦτ' ἀνελπίστως τοῦ βασιλέως ἀναλαβόντος αὐτὴν καὶ τὴν ὅλην ἀρχὴν ἀνακτησαμένου, οἱ μὲν Ὀλύνθιοι τὴν χώραν ἀπαιτηθέντες οὐχ οἷοι ἦσαν ἀποδιδόναι· διόπερ Ἀμύντας ἰδίαν τε δύναμιν συνεστήσατο καὶ τοὺς Λακεδαιμονίους ποιησάμενος συμμάχους ἔπεισεν etc. Societatem cum Amynta contractam videbimus infra sect. 37.

συστρατευόμενοι. In Steph. et Leonclav. est συστρατευσόμενοι.

§. 14. καὶ ἡμῖν. A. J. Bryl. Cast. καὶ ἡμᾶς.

καὶ τοίνυν γε δή. Posteriora vitiosa esse puto; forte in illis latet ἤδη. De copiis Olynthiorum Demosthenes de falsa legatione p. 425. ἐκεῖνοι γὰρ ἡνίκα μὲν τετρακοσίους ἱππέας ἐκέκτηντο μόνον καὶ σύμπαντες οὐδὲν ἦσαν πλείους τῶν πεντακισχιλίων τὸν ἀριθμὸν, οὔπω Χαλκιδέων πάντων εἰς ἓν συνῳκισμένων, Λακεδαιμονίων ἐπ' αὐτοὺς ἐλθόντων, οὔτε τὴν πόλιν οὔτε φρούριον οὐδὲν ἀπώλεσαν, ἀλλὰ καὶ μάχας πολλὰς ἐκράτησαν καὶ τρεῖς τῶν πολεμάρχων ἀπέκτειναν. De numero ducum interfectorum vide Wesseling ad Diodorum tom. ii. p. 19.

[καὶ τοίνυν γε δή—In eandem fere ego suspicionem primo obtutu incideram, ut legerem, καίτοι νῦν γ' ἤδη. *F. A. Wolfius.*]

15 ἢ χίλιοι. Κατελίπομεν δὲ καὶ Ἀθηναίων καὶ Βοιωτῶν πρέσβεις ἤδη αὐτόθι. ἠκούομεν δὲ, ὡς καὶ αὐτοῖς Ὀλυνθίοις ἐψηφισμένον εἴη, συμπέμπειν πρέσβεις ἐς ταύτας τὰς πόλεις περὶ συμμαχίας. καίτοι εἰ τοσαύτη δύναμις προσγενήσεται τῇ τε Ἀθηναίων καὶ Θηβαίων ἰσχύϊ, ὁρᾶτε, ἔφη, ὅπως μὴ οὐκέτι εὐμεταχείριστα ἐκεῖνα ἔσται ὑμῖν. Ἐπεὶ δὲ καὶ Ποτίδαιαν ἔχουσιν, ἐπὶ τῷ Ἰσθμῷ τῆς Παλλήνης οὖσαν, νομίζετε, καὶ τὰς ἐντὸς ταύτης πόλεις ὑπηκόους ἔσεσθαι αὐτῶν. τεκμήριον δέ τι ἔστω καὶ τοῦτο, ὅτι ἰσχυρῶς αὗται αἱ πόλεις πεφόβηνται· μάλιστα γὰρ μισοῦσαι τοὺς Ὀλυνθίους, ὅμως οὐκ ἐτόλμησαν μεθ' ἡμῶν πρεσβείας 16 πέμπειν, διδάξουσας ταῦτα. Ἐννοήσατε δὲ καὶ τόδε, πῶς εἰκὸς, ὑμᾶς τῆς μὲν Βοιωτίας ἐπιμεληθῆναι, ὅπως μὴ καθ' ἓν εἴη, πολὺ δὲ μείζονος ἀθροιζομένης δυνάμεως ἀμελῆσαι, καὶ ταύτης οὐ κατὰ γῆν μόνον, ἀλλὰ καὶ κατὰ θάλατταν ἰσχυρᾶς γενομένης. τί γὰρ δὴ καὶ ἐμποδὼν, ὅπου ξύλα μὲν ναυπηγήσιμα ἐν αὐτῇ τῇ χώρᾳ ἐστὶ, χρημάτων δὲ πρόσοδοι ἐκ πολλῶν μὲν λιμένων, πολλῶν δὲ ἐμπορίων, πολυανθρωπία γε μὴν διὰ τὴν πολυσιτίαν ὑπ-17 άρχει; ἀλλὰ μὴν καὶ γείτονές εἰσιν αὐτοῖς Θρᾷκες οἱ ἀβασίλευτοι, οἳ θεραπεύουσι μὲν καὶ νῦν ἤδη τοὺς Ὀλυνθίους· εἰ δὲ ὑπ' ἐκείνους ἔσονται, πολλὴ καὶ αὕτη δύναμις προσγένοιτ' ἂν αὐτοῖς. Τούτων γε μὴν ἀκολουθούντων, καὶ τὰ ἐν τῷ Παγγαίῳ χρύσεια χεῖρα ἂν αὐτοῖς ὀρέγοι. Καὶ τούτων

§. 15. ἴστω. Steph. et Leonclaviana addunt ὑμῖν.

§. 16. ἰσχυρᾶς. Ita emendavit Brodæus, atque edidit Caſt. Stephan. Leonclav. pro vulgato ἰσχυρῶς.

πολλῶν δέ. Steph. et Leoncl. ἐκ πολλῶν δέ.

§. 17. [Θρᾷκες οἱ ἀβασίλευτοι, Olynthiis vicini ſunt, quos Thucydides ii. 29. μέρος αὐτόνομον Θρᾳκῶν dixit, et eodem libro habitationes eorum accuratius deſignavit. *Ex Addendis.*]

Παγγαίῳ. Antiquiſſima hæc metalla fuiſſe, arguit, quod Plinius vii. ſect. 57. et Clemens Stromat. i. p. 307. Cadmum Phœnicem narrant auri metalla et conflaturam ad Pangæum montem reperiſſe. Fuerunt haud procul Crenides urbs, poſtea Philippi nomine inſignis, qui opportunitate metalli, egregie exculti, uſus eſt ad bella, teſte Diodoro xvi. 8. et Strabone vii. p. 511. In colle Dionyſi erant auri metalla, ἄσυλα dicta,

ἡμεῖς οὐδὲν λέγομεν, ὅ τι οὐ καὶ ἐν τῷ τῶν Ὀλυνθίων δήμῳ μυριόλεκτόν ἐστι· τὸ γεμὴν φρόνημα αὐτῶν τί ἄν τις λέγοι; καὶ γὰρ ἴσως ὁ θεὸς ἐποίησεν, ἅμα τῷ δύνασθαι καὶ 18 τὰ φρονήματα αὔξεσθαι τῶν ἀνθρώπων. Ἡμεῖς μὲν οὖν, ὦ ἄνδρες Λακεδαιμόνιοί τε καὶ ξύμμαχοι, ἐξαγγέλλομεν, ὅτι τἀκεῖ οὕτως ἔχει· ὑμεῖς δὲ βουλεύεσθε, εἰ δοκεῖ ἄξια ἐπιμελείας εἶναι. Δεῖ γεμὴν ὑμᾶς καὶ τόδε εἰδέναι, ὡς, 19 ἣν εἰρήκαμεν δύναμιν μεγάλην οὖσαν, οὔπω δυσπάλαιστός τις ἐστίν· αἱ γὰρ ἄκουσαι τῶν πόλεων τῆς πολιτείας κοινωνοῦσαι, αὗται, ἄν τι ἴδωσιν ἀντίπαλον, ταχὺ ἀποστήσονται· εἰ μέντοι συγκλεισθήσονται ταῖς ἐπιγαμίαις καὶ ἐγκτήσεσι 20 παραλλήλαις, ἃς ἐψηφισμένοι εἰσὶ, καὶ γνώσονται, ὅτι μετὰ τῶν κρατούντων ἕπεσθαι κερδαλέον ἐστὶν, (ὥσπερ Ἀρκάδες, ὅταν μεθ' ὑμῶν ἴωσι, τά τε αὑτῶν σώζουσι, καὶ τὰ ἀλλότρια ἁρπάζουσιν) ἴσως οὐκέθ' ὁμοίως εὔλυτα ἔσται.

Λεχθέντων δὲ τούτων, ἐδίδοσαν οἱ Λακεδαιμόνιοι τοῖς 21 συμμάχοις λόγον, καὶ ἐκέλευον συμβουλεύειν, ὅ τι γιγνώσκει τις ἄριστον τῇ Πελοποννήσῳ καὶ τοῖς συμμάχοις. ἐκ τούτου μέντοι πολλοὶ μὲν ξυνηγόρευον στρατιὰν ποιεῖν, μάλιστα δὲ οἱ βουλόμενοι χαρίζεσθαι τοῖς Λακεδαιμονίοις, καὶ ἔδοξε πέμπειν ἐς τοὺς μυρίους ξύνταγμα [ἐς] ἑκάστην πόλιν.

prope Philippos, narrante Appiano B. Civil. iv. 106. Aurum recreſcere, ex vulgari traditione narrat Auctor mirabil. Acuſm. c. 42. Philippicum aurum pro χρυσεῖον dixit Plinius xxxvii. ſect. 15.—In A. J. Br. Caſt. Steph. eſt male Παγκαίῳ.

ὀρέγοι. Quod ante hoc verbum habent additum Steph. et Leonclaviana ἤδη, eædem tamen incluſerunt. Male A. J. Br. Caſtal. ὀρέγει.

μυριόλεκτον. Vulgatum μυριολεκτῶν ex Polluce vi. 206. emendavit Brodæus, et rectum edidit Br. Caſt.

§. 20. ἐπιγαμίαις. Steph. et Leoncl. additum habent ταῖς τε ἐπιγαμίαις. Sæpe civitates in fœdere pacto ſibi invicem ſpondent ἐπιγαμίαν καὶ ἔγκτησιν γῆς, ſæpe etiam οἰκιῶν. Demoſthenes pro Corona pag. 256. Et ἐγκτήματα ſunt poſſeſſiones agrorum in terra aliena.

§. 21. στρατιάν. Leonclav. correxit, approbante Stephano, στρατείαν. Sed Morus recte monet, ita eſſe debere ποιεῖσθαι. Ipſe στρατιὰν ποιεῖν interpretatur: exercitum cogere.

χαρίζεσθαι. Ald. Junt. χαρίσεσθαι.

ἐς τοὺς μυρίους. Steph. edidit τὸ ἐς τοὺς μυρίους ξύνταγμα ἑκάστην πόλιν, quem refellere conatus eſt Leoncl. ſed τὸ ἐς τοὺς μυρίους ξ. defendit Æmil. Portus. Alterum εἰς Morus incluſit, et locum interpretatur: decretum eſt, ut quælibet civitas certam militum manum (ξύνταγμα) mitteret, ad conficien-

22 Λόγοι δὲ ἐγένοντο, ἀργύριόν τε ἀντ' ἀνδρῶν ἐξεῖναι διδόναι τῇ βουλομένῃ τῶν πόλεων, τριώβολον Αἰγιναῖον κατ' ἄνδρα· ἱππέας τε εἴ τις παρέχοι, [ἀντὶ] τεττάρων ὁπλιτῶν μισθὸν τῷ ἱππεῖ δίδοσθαι· εἰ δέ τις τῶν πόλεων ἐκλίποι τὴν στρατείαν, ἐξεῖναι τοῖς Λακεδαιμονίοις, ἐπιζημιοῦν στατῆρι 23 κατὰ τὸν ἄνδρα, τῆς ἡμέρας. Ἐπεὶ δὲ ταῦτα ἔδοξεν, ἀναστάντες οἱ Ἀκάνθιοι πάντες ἐδίδασκον, ὡς ταῦτα καλὰ μὲν εἴη τὰ ψηφίσματα, οὐ μέντοι δυνατὰ ταχὺ περανθῆναι. βέλτιον οὖν ἔφασαν εἶναι, ἐν ᾧ αὕτη ἡ παρασκευὴ ἀθροίζοιτο, ὡς τάχιστα ἄνδρα ἐξελθεῖν ἄρχοντα, καὶ δύναμιν ἐκ Λακεδαίμονός τε, ὅση ἂν ταχὺ ἐξέλθοι, καὶ ἐκ τῶν ἄλλων πόλεων· τούτου γὰρ γενομένου, τάς τε οὔπω προσκεχωρηκυίας πόλεις στῆναι ἄν, καὶ τὰς βεβιασμένας ἧττον ἂν 24 συμμαχεῖν. Δοξάντων δὲ τούτων ἐκπέμπουσιν οἱ Λακεδαιμόνιοι Εὐδαμίδαν, καὶ σὺν αὐτῷ νεοδαμώδεις τε καὶ τῶν περιοίκων καὶ Σκιριτῶν ἄνδρας ὡς δισχιλίους. ὁ μέντοι Εὐδαμίδας ἐξιών, Φοιβίδαν τὸν ἀδελφὸν, ἐδεήθη τῶν ἐφόρων, τοὺς ὑπολειπομένους τῶν ἑαυτῷ προσεταγμένων ἀθροίσαντα

dum numerum decem millium. Infra ſect. 36. eſt de Lacedæmoniis: *τὴν δ' ἐς τοὺς μυρίους ξύνταξιν αὐτοί τε (ἅπαντες) ξυνεξέπεμπον, καὶ ἐς τὰς συμμαχίδας πόλεις σκυτάλας διέπεμπον, κελεύοντες ἀκολουθεῖν Τελευτίᾳ κατὰ τὸ δόγμα τῶν συμμάχων.* Diodorus xv. 19. *οἱ Λακεδαιμόνιοι κατέλεξαν στρατιώτας ἔκ τε τῶν πολιτῶν καὶ παρὰ τῶν συμμάχων τοὺς ἅπαντας ὑπὲρ μυρίους.*

§. 22. *τριώβολον.* In diem ſcilicet.

[*τριώβολον.* In fœdere apud Thucyd. v. 47. civitates ſociæ ſtipulantur invicem *τῷ μὲν ὁπλίτῃ καὶ ψιλῷ καὶ τοξότῃ τρεῖς ὀβολοὺς Αἰγιναίους τῆς ἡμέρας ἑκάστης, τῷ δ' ἱππεῖ δραχμὴν Αἰγιναίαν.* Novum atque inuſitatum eſt, quod habet Thucydides iii. 17. *ὁπλίτας διδράχμους.* qui *αὐτοῖς καὶ ὑπηρέτῃ δραχμὴν ἐλάμβανον τῆς ἡμέρας.* *Ex Addendis.*]

[*ἀντί*]. Recte, delendam præpoſitionem hanc eſſe, vidit Morus; conſtitutum enim fuit, ut equiti in diem ſolveretur tantum ſtipendii, quantum peditibus quatuor.

*τὴν στρατείαν.* Ita ſcripſit Leoncl. pro vulgato *στρατιάν.*

§. 23. *πάντες.* Steph. et Leonclav. habent *πάλιν.* Recte, ut puto.

*τάς τε οὔπω.* A. J. Br. Caſtal. *τάς τε οὕτω.*

§. 24. *δοξάντων δὲ τούτων.* Steph. et Leonclav. ediderunt *δοξάντων δὲ καὶ τούτων.*

*καὶ Σκιριτῶν.* Steph. et Leonclav. *καὶ τῶν Σκιριτῶν.* Contra Diodorus xv. 20. *Λακεδαιμόνιοι τὸν μὲν Φοιβίδαν ἀπέστησαν τῆς ἡγεμονίας, Εὐδαμίδαν δὲ τὸν ἀδελφὸν τοῦ Φοιβίδα κατέστησαν στρατηγόν· δόντες δ' αὐτῷ τρισχιλίους ὁπλίτας ἐξαπέστειλαν διαπολεμήσοντα τὸν πρὸς τοὺς Ὀλυνθίους πόλεμον.* Phœbidam igitur ante Eudamidam miſſum adverſus Olynthios vult.

μετιέναι· αὐτὸς δὲ ἐπεὶ ἀφίκετο ἐς τὰ ἐπὶ Θρᾴκης χωρία, ταῖς μὲν δεομέναις τῶν πόλεων φρουροὺς ἔπεμπεν, Ποτίδαιαν δὲ καὶ προσέλαβεν ἑκοῦσαν, σύμμαχον ἤδη ἐκείνων οὖσαν. καὶ ἐντεῦθεν ὁρμώμενος ἐπολέμει, ὥσπερ εἰκὸς τὸν ἐλάττω ἔχοντα δύναμιν.

Ὁ δὲ Φοιβίδας, ἐπεὶ ἠθροίσθησαν αὐτῷ οἱ ὑπολειφθέντες τοῦ Εὐδαμίδου, λαβὼν αὐτοὺς ἐπορεύετο. ὡς δ᾽ ἐγένοντο ἐν ταῖς Θήβαις, ἐστρατοπεδεύσαντο μὲν ἔξω τῆς πόλεως περὶ τὸ γυμνάσιον· στασιαζόντων δὲ τῶν Θηβαίων, πολεμαρχοῦντες μὲν ἐτύγχανον Ἰσμηνίας τε καὶ Λεοντιάδης· διάφοροι δὲ ὄντες ἀλλήλοις, καὶ στρατηγὸς ἑκάτερος τῶν ἑταιριῶν, ὁ μὲν Ἰσμηνίας διὰ τὸ μῖσος τῶν Λακεδαιμονίων οὐδὲ ἐπλησίαζε τῷ Φοιβίδᾳ· ὁ μέντοι Λεοντιάδης ἄλλως τε ἐθεράπευεν αὐτὸν, καὶ ἐπεὶ εἰσῳκειώθη, ἔλεγε τοιάδε· Ἔξεστί σοι, ὦ Φοιβίδα, τῇδε τῇ ἡμέρᾳ μέγιστα ἀγαθὰ τῇ σεαυτοῦ πατρίδι ὑπουργῆσαι· ἐὰν γὰρ ἀκολουθήσῃς ἐμοὶ σὺν τοῖς ὁπλίταις, εἰσάξω σε ἐγὼ ἐς τὴν ἀκρόπολιν. τούτου δὲ γενομένου, νόμιζε, τὰς Θήβας παντάπασιν ὑπὸ τοῖς Λακεδαιμονίοις καὶ ἡμῖν, τοῖς ὑμετέροις φίλοις, ἔσεσθαι. καίτοι νῦν

ἐλάττω. Diodorus xv. 21. de Eudamida: ἐμβαλὼν εἰς τὴν χώραν τῶν Ὀλυνθίων κοινῇ μετ᾽ Ἀμύντου διεπολέμει πρὸς Ὀλυνθίους· εἶθ᾽ οἱ μὲν Ὀλύνθιοι, δύναμιν ἀξιόλογον ἠθροικότες, ἐπλεονέκτουν ἐν ταῖς μάχαις, στρατιώτας πλείους ἔχοντες τῶν πολεμίων. Hæc ille sub Olympiad. 99. anno 2.

§. 25. γυμνάσιον. Ante portas Proetidas fuit gymnaſium Iolai et ſtadium, et ad dextram hippodromus, auctore Pauſania ix. p. 754.

Λεοντιάδης. Plutarchus in Ageſil. c. 23. 24. Pelopid. 5. et de Genio Socratis p. 275. ſeqq. ubi hiſtoriam multo accuratius aliunde narrat, ubique Λεοντίδην nominat. Sed cum Xenophonte facit locus Domoſthenis contra Neæram pag. 1378. ubi ſceleſtus ejus filius, qui Platæas prodidit, cum eſſet bœotarcha, ſimillimus patri et vita et ſtudio Lacedæmoniorum, Eurymachus ὁ Λεοντιάδου nominatur.

[Λεοντιάδης. Quem ex Demoſthene nominavi Eurymachum Leontiadis filium, eundem habet Thucyd. ii. 2. ubi eſt: Εὐρυμάχου τοῦ Λεοντιάδου, ἀνδρὸς Θηβαίων δυνατωτάτου. Ibidem nominatur cum Eurymacho bœotarcha Πυθάγγελος ὁ Φυλίδου. Credo, intelligi eum, qui noſtro infra v. 4. 2. eſt Φυλλίδας. *Ex Addendis.*]

στρατηγός. Margo Steph. L. ἀρχηγὸς, quam lectionem equidem approbo, contra Morus, velut interpretationem, damnat. Nunquam legi factionis ducem στρατηγὸν dictum, ubi de bello non agitur.

εἰσῳκειώθη. In familiaritatem ejus ſe inſinuaverat.

§. 27. καίτοι νῦν. Ita recte Leoncl. emendavit vulgatum καὶ τοίνυν.

μὲν, ὡς ὁρᾷς, ἀποκεκήρυκται, μηδένα μετὰ σοῦ στρατεύειν Θηβαίων ἐπ' Ὀλυνθίους· ἐὰν δέ γε σὺ ταῦτα μεθ' ἡμῶν πράξῃς, εὐθύς σοι ἡμεῖς πολλοὺς μὲν ὁπλίτας, πολλοὺς δὲ ἱππέας συμπέμψομεν· ὥστε πολλῇ δυνάμει βοηθήσεις τῷ ἀδελφῷ, καὶ ἐν ᾧ μέλλει ἐκεῖνος Ὄλυνθον καταστρέφεσθαι, σὺ κατεστραμμένος ἔσῃ Θήβας, πολὺ μείζω πόλιν Ὀλύν-
28 θου. Ἀκούσας δὲ ταῦτα ὁ Φοιβίδας, ἀνεκουφίσθη· καὶ γὰρ ἦν τοῦ λαμπρόν τι ποιῆσαι πολὺ μᾶλλον, ἢ τοῦ ζῆν ἐραστής· οὐ μέντοι λογιστικός γε, οὐδὲ φρόνιμος πάνυ ἐδόκει εἶναι. ἐπεὶ δὲ ὡμολόγησε ταῦτα, προορμῆσαι μὲν αὐτὸν ἐκέλευσεν, ὥσπερ ξυνεσκευασμένος ἦν ἐς τὸ ἀπιέναι· ἡνίκα δ' ἂν ᾖ καιρὸς, πρὸς σὲ ἥξω ἐγὼ, ἔφη ὁ Λεοντιάδης, καὶ
29 αὐτός σοι ἡγήσομαι. Ἐν ᾧ δὲ ἡ μὲν βουλὴ ἐκάθητο, ἐν τῇ τῆς ἀγορᾶς στοᾷ, διὰ τὸ τὰς γυναῖκας ἐν τῇ Καδμείᾳ θεσμοφοριάζειν, θέρους δὲ ὄντος καὶ μεσημβρίας, πλείστη

§. 28. *λογιστικός*. His verbis facti pessimi communionem a consiliis Lacedæmoniorum removere conatur Xenophon. Contra Diodorus xv. 20. Spartanos, crescentes Thebanorum opes veritos et futuram aliquando auctoritatem Thebarum quasi præsagientes, hoc in mandatis secretis consilii ducibus suis dedisse ait, ut oblatam occasionem quamcunque arcis Cadmeæ occupandæ arriperent. Plutarchus inveterato Agesilai in Thebanos odio et ambitioni immoderatæ hoc consilium aperte tribuit, eamque Græcorum, ut videtur, omnium eo tempore suspicionem exitus comprobavit; et satis manifesto animum prodidit Agesilaus dicto illo, quod refert ipse Xenophon infra §. 23. Cf. Plutarch. Agesil. cap. 23. et 24. Diodorum universis Spartanis tribuere, quod nominatim adscribere debebat Agesilao, monuit etiam Morus.

*ξυνεσκευασμένος*. A. J. Bryl. Cast. *ξυνεσκεδασμένος*.

§. 29. *ἐν τῇ τῆς ἀγορᾶς*. Ita cum Moro scripsi. Vulgo *τῆς* deest. Monet hæc, quia alias senatus in acropoli, Cadmea, ut Athenis, convenire solebat.

*θεσμοφοριάζειν*. Tempore Pythiorum captam fuisse Cadmeam, ex Aristidis Eleusiniaca oratione annotavit Palmerius. Locus est p. 452. ed. Cant. Dodwellus in Annalibus ad Olymp. 99. 2. putabat, notam æstatis non convenire cum thesmophoriorum tempore. Thesmophoria enim incidisse ait in mensem Pyanepsionem Atticum et Damatrium Bœoticum, Attico Pyanepsioni fere respondentem, hoc est in initium Novembris nostri. Reperio quidem in Plutarchi libro de Iside locum p. 489. ed. Reiskii hunc: *Ἀθήνησι νηστεύουσιν αἱ γυναῖκες ἐν Θεσμοφορίοις χαμαὶ καθήμεναι· καὶ Βοιωτοὶ τὰ τῆς Ἀχαίας μέγαρα κινοῦσιν* (recte Toup emendabat *οἰκοῦσιν*) *ἐπαχθῆ τὴν ἑορτὴν ὀνομάζοντες, ὡς διὰ τὴν τῆς κόρης κάθοδον ἐν ἄχει τῆς Δήμητρος οὔσης. ἔστι δὲ ὁ μὴν οὗτος περὶ πλειάδα σπόριμος, ὃν Ἀθὺρ Αἰγύπτιοι, Πυανεψιῶνα δ' Ἀθηναῖοι, Βοιωτοὶ δὲ Δαμάτριον καλοῦσι*. Hinc igitur de tempore constat thesmophoriorum Atticorum, quibuscum Plutarchus Thebanam solemnitatem sacrorum Cereris, *ἐπαχθῆ* appellatam, comparavit. Nec video, quid Dodwelli rationibus opponam, nisi forte gemina Bœotorum

ἦν ἐρημία ἐν ταῖς ὁδοῖς, ἐν τούτῳ προσελάσας ἐφ' ἵππου ὁ Λεοντιάδης, ἀποστρέφει τὸν Φοιβίδαν, καὶ ἡγεῖται εὐθὺς ἐς τὴν ἀκρόπολιν. καταστήσας δὲ ἐκεῖ τὸν Φοιβίδαν καὶ τοὺς μετ' αὐτοῦ, καὶ παραδοὺς αὐτῷ τὴν βαλανάγραν τῶν πυλῶν, καὶ εἰπὼν, μηδένα παριέναι ἐς τὴν ἀκρόπολιν, ὅντινα μὴ αὐτὸς κελεύῃ, ἐπορεύετο ἐς τὴν βουλήν. ἐλθὼν δ' εἶπε τάδε· Ὅτι μὲν, ὦ ἄνδρες, Λακεδαιμόνιοι κατέχουσι τὴν ἀκρόπο- 30 λιν, μηδὲν ἀθυμεῖτε· οὐδενὶ γάρ φασι πολέμιοι ἥκειν, ὅστις μὴ πολέμου ἐρᾷ· ἐγὼ δὲ, τοῦ νόμου κελεύοντος, ἐξεῖναι πολεμάρχῳ, λαβεῖν, εἴ τις δοκεῖ ἄξια θανάτου ποιεῖν, λαμβάνω τουτονὶ Ἰσμηνίαν, ὡς πολεμοποιοῦντα. καὶ ὑμεῖς δὲ, οἱ λοχαγοί τε καὶ οἱ μετὰ τούτων τεταγμένοι, ἀνίστασθε, καὶ λαβόντες ἀπάγετε τοῦτον, ἔνθα εἴρηται. Οἱ μὲν δὴ εἰδό- 31 τες τὸ πρᾶγμα, παρῆσάν τε καὶ ἐπείθοντο, καὶ ξυνελάμβανον· τῶν δὲ μὴ εἰδότων, ἐναντίων δὲ ὄντων τοῖς περὶ Λεοντιάδην, οἱ μὲν ἔφευγον εὐθὺς ἔξω τῆς πόλεως, δείσαντες, μὴ ἀποθάνοιεν· οἱ δὲ καὶ οἴκαδε πρῶτον ἀπεχώρησαν. ἐπεὶ δὲ εἰργμένον τὸν Ἰσμηνίαν ᾔσθοντο ἐν τῇ Καδμείᾳ, τότε δὴ ἀπεχώρησαν ἐς τὰς Ἀθήνας οἱ ταῦτα γιγνώ-

fuerint thesmophoria, altera vere, altera autumno celebrata. Pythiorum nota latuit Dodwellum, qui alibi demonstravit, Pythia veris initio in annos Olympiadum secundos exeuntes incidisse. Male igitur Diodorus fraudem Phœbidæ ad annum 3. Olymp. 99. retulit, ut recte monuit Dodwell.

κελεύῃ. Ita cum Castal. scripsi pro vulgato κελεύει.

[Corr. vel ὅντινα μὴ αὐτὸς κελεύοι, vel ὅντιν' ἂν μὴ αὐτὸς κελεύῃ. Tametsi vulg. ferri potest. *F. A. Wolfius.*]

ἐπορεύετο. Ante hoc verbum inserunt εὐθὺς L. Steph.

§. 30. Ἰσμηνίαν. Ut factionis principem contrariæ. Sed et multos alios deinde comprehensos fuisse, infra annotabimus, ubi Amphitheus nominatur a Plutarcho.

λοχαγοί τε. Cast. omisit τε. Quod vero lochagos surgere jubet et comprehendere Leontiades, dubitationem mihi facit, quinam lochagi isti fuerint, qui inter senatores sedebant. An potius milites Leontiades secum duxerat, qui in vicinia alicubi, in foro, consederant interim, quos polemarchus Leontiades nunc surgere et Ismeniam comprehendere jubet?

§. 31. ἐν τῇ Καδμείᾳ. Vulgatum οἱ ἐν τῇ Καδμείᾳ recte emendavit Leoncl. Amici urbe excedunt, postquam Ismeniam in arce captum teneri audiverant.

Ἀθήνας. Aristides in Panathen. p. 300. ed. Cant. οὐδὲν εἶδος εὐεργεσίας ἀπέλιπον δεξάμενοι μὲν τὴν φυγὴν καὶ τὴν πρᾶξιν αὐτοῖς συνθέντες, καὶ προδείξαντες ὥσπερ δρᾶμα παρ' αὐτοῖς, ἀτέλειαν δὲ καὶ πολίτειαν καὶ πάντων μετουσίαν δόντες.

σκοντες Ἀνδροκλείδα τε καὶ Ἰσμηνίᾳ, μάλιϛα τετρακό-
32 σιοι. Ὡς δὲ ταῦτ᾽ ἐπέπρακτο, πολέμαρχον μὲν ἀντὶ Ἰσμηνίȣ ἄλλον εἵλοντο· ὁ δὲ Λεοντιάδης εὐθὺς ἐς Λακεδαίμονα ἐπορεύετο. εὗρε δ᾽ ἐκεῖ τȣ̀ς μὲν ἐφόρȣς καὶ τὸ πλῆθος τῆς πόλεως χαλεπῶς ἔχοντας τῷ Φοιβίδᾳ, ὅτι οὐ προϛαχθέντα ὑπὸ τῆς πόλεως ταῦτα ἐπεπράχει· ὁ μέντοι Ἀγησίλαος ἔλεγεν, ὅτι, εἰ μὲν βλαβερὰ τῇ Λακεδαίμονι πεπραχὼς εἴη, δίκαιος εἴη ζημιȣ̃σθαι· εἰ δ᾽ ἀγαθὰ, ἀρχαῖον εἶναι νόμιμον, ἐξεῖναι τὰ τοιαῦτα αὐτοσχεδιάζειν. αὐτὸ ȣ̃ν τȣ̃τ᾽, ἔφη, προσήκει σκοπεῖν, πότερον ἀγαθὰ, ἢ
33 κακά ἐϛι τὰ πεπραγμένα. Ἔπειτα μέντοι ὁ Λεοντιάδης, ἐλθὼν ἐς τȣ̀ς ἐκκλήτȣς, ἔλεγε τοιάδε· Ἄνδρες Λακεδαιμόνιοι, ὡς μὲν πολεμικῶς ὑμῖν εἶχον οἱ Θηβαῖοι, πρὶν τὰ νῦν πεπραγμένα γενέσθαι, καὶ ὑμεῖς ἐλέγετε· ἑωρᾶτε γὰρ ἀεὶ τȣ́τȣς τοῖς μὲν ὑμετέροις δυσμενέσι φιλίως ἔχοντας,

*τετρακόσιοι.* Diodorus l. c. tercentos modo edit ἐπιφανεϛάτȣς, quos turbam aliam ignobiliorum secutam fuisse suspicatur Morus.

*κωμαστάς.* Plutarch. de Genio Socrat. p. 355. *ἡμιθωράκια ἐνδεδυμένοι καὶ στεφάνους δασεῖς ἔχοντες οἱ μὲν ἐλάτης, οἱ δὲ πεύκης, ἔνιοι δὲ καὶ χιτώνια τῶν γυναικῶν ἀμπεχόμενοι μεθύοντας ἀπομιμούμενοι κώμῳ χρωμένους μετὰ γυναικῶν.*

*Φυλλίδας τρεῖς.* Plutarchus Pelop. c. 11. separatim Pelopidam, Cephisodorum et Damoclidem immittit Leontiadæ et Hypatæ. In lib. de Genio Socr. p. 358. addit Theopompum et Theocritum vatem.

*χωρὶς κατακείμενος.* In lecto triclinii post cœnam seorsim decumbebat. Cæterum cædem Leontiadæ multo aliter narrat Plutarch. c. 11. Simulabant nempe legati illi, litteras se afferre Leontiadæ a Callistrato Atheniensi. Plutarch. de Genio Socr. p. 358.

§. 8. *λαβὼν δύο.* Plutarch. de Genio Socr. p. 360. *ἐχωροῦμεν ἐπὶ τὸ δεσμωτήριον· ἐκκαλέσας δὲ τὸν ἐπὶ τῆς εἱρκτῆς ὁ Φυλλίδιας Ἀρχίας, ἔφη, καὶ Φίλιππος κελεύουσι σε ταχέως ἄγειν ἐπ' αὐτοὺς Ἀμφίθεον· ὁ δὲ ὁρῶν καὶ τῆς ὥρας τὴν ἀτοπίαν καὶ τὸ μὴ καθεστηκότα λαλεῖν αὐτῷ τὸν Φυλλίδαν, ἀλλὰ θερμὸν ὄντα τῷ ἀγῶνι καὶ μετέωρον, ὑπειδόμενος τὸ πάλαισμα. πότε, ἔλεγεν, ὦ Φυλλίδα, τηνικαῦτα μετεπέμψαντο δεσμώτην οἱ πολέμαρχοι; πότε δὲ διὰ σοῦ; τί δὲ κομίζεις παράσημον; ἅμα δὲ τῷ λόγῳ ξυστὸν ἱππικὸν ἔχων διῆκε τῶν πλευρῶν καὶ κατέβαλε πονηρὸν ἄνθρωπον, ᾧ καὶ μεθ' ἡμέραν ἐπενέβησαν καὶ προσέπτυσαν οὐκ ὀλίγαι γυναῖκες.* Quæ quidem minus probabilitatis habent.

*ἀναγκαῖον.* Pro carcere ex h. l. et Isæo oratore laudat Harpocratio. In Isæi loco tamen Suidas *ἀνακαῖον* habet; Grammatici vero Bœotorum dicunt *ἀνακαῖον* pro carcere. Pariter ergastula, in quibus servi mali concludebantur, *ἀνάκαια* appellabantur. Demosth. contra Stephanum p. 1125. de Phormione servo: *πονηρὸς οὗτος ἄνωθεν ἐκ τοῦ ἀνακείου.* Ubi vide Interpretes.

εἱργμοφύλακι, ὅτι ἄνδρα ἄγει παρὰ πολεμάρχου, ὃν εἷρξαι δέοι. ὡς δὲ ἀνέῳξε, τοῦτον μὲν ἀπέκτειναν εὐθὺς, τοὺς δὲ δεσμώτας ἔλυσαν. καὶ τούτους μὲν ταχὺ, τῶν ἐκ τῆς στοᾶς ὅπλων καθελόντες, ὥπλισαν, καὶ ἀγαγόντες ἐπὶ τὸ Ἀμ-
9 φεῖον, θέσθαι ἐκέλευον τὰ ὅπλα. Ἐκ δὲ τούτου εὐθὺς ἐκήρυττον, ἐξιέναι πάντας Θηβαίους, ἱππέας τε καὶ ὁπλίτας, ὡς τῶν τυράννων τεθνεώτων. οἱ δὲ πολῖται, ἕως μὲν νὺξ ἦν, ἀπιστοῦντες ἡσυχίαν εἶχον· ἐπεὶ δὲ ἡμέρα τ' ἦν, καὶ φανερὸν ἦν τὸ γεγενημένον, ταχὺ δὴ καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππεῖς σὺν τοῖς ὅπλοις ἐξεβοήθουν. ἔπεμψαν δὲ ἱππέας οἱ κατεληλυθότες ἐπὶ τοὺς πρὸς τοῖς ὁρίοις Ἀθηναίων, καὶ τοὺς δύο τῶν στρατηγῶν. οἱ δὲ εἰδότες τὸ πρᾶγμα, ἐφ'
10 ὃ ἀπεστάλκεισαν.—Ὁ μέντοι ἐν τῇ ἀκροπόλει ἁρμοστὴς, ἐπεὶ ᾔσθετο τὸ νυκτερινὸν κήρυγμα, εὐθὺς ἔπεμψεν εἰς

*ἀπέκτειναν εὐθύς.* A. J. Br. Caſt. *ἀπέκτεινε* et deinde *ἀπέλυσε.*

*στοᾶς ὅπλων.* Plutarch. Pelop. c. 12. *ἀφαιροῦντες ἀπὸ τῶν στοῶν τὰ περικείμενα σκῦλα καὶ τὰ περὶ τὴν οἰκίαν ἐργαστήρια δορυξόων καὶ μαχαιροποιῶν ἀναῤῥηγνῦντες.* Ubi Reiſke emendat *περὶ τὴν ἀγοράν.* Certe *οἰκίαν* vitioſum eſt. Idem de Genio Socrat. pag. 362. *ὅπλα παρεῖχον αἵ θ' ἑστίαι πλήρεις οὖσαι παντοδαπῶν λαφύρων καὶ τὰ τῶν ἐγγὺς οἰκούντων ἐργαστήρια μαχαιροποιῶν.* Ubi ſimiliter legendum *αἵ τε στοαί.*

*Ἀμφιεῖον.* Ita cum Steph. L. ſcripſi, approbante Moro. Brodæus monumentum ſepulcrale Amphionis interpretatur, de quo Pauſanias ix. 17. In Plutarcho de Genio Socr. p. 280. edit. Reiſke, ubi eadem hiſtoria narratur, hæc leguntur: *ἐκνεύσας τῆς ὁδοῦ μικρὸν ὑπὸ τὸ Ἄμφιον·* e quibus, niſi in antecedentibus lacuna eſt, ſitum forte definire liceret. Locum Arriani Anabaſ. Alexandri I. c. 8. ubi intra urbis mœnia *Ἀμφεῖον* collocatur, attulit Kœppen. Nihilo tamen magis inde conſtat, qualis fuerit locus.

§. 9. *τοὺς πρὸς τοῖς ὁρίοις.* Plutarchus Ageſil. cap. 8. *ἔδοξε τοῖς φυγάσι τοὺς μὲν ἄλλους συναγαγόντα Φερένικον ἐν τῷ Θριασίῳ πεδίῳ περιμένειν, ὀλίγους δὲ τῶν νεωτάτων παραβαλέσθαι προεισελθεῖν εἰς τὴν πόλιν.* Poſt cædem Archiæ Philippi, Leontiadæ et Hypatæ mittunt equitatum in Atticam et exſules reliquos advocant. Plutarchus ibidem c. 12.

*τοὺς δύο τῶν στρατηγῶν.* Leoncl. *καὶ* inſeruit, quod vulgo deerat. Intelligit enim duces duos Athenienſes exſulum, quos infra §. 19. a populo Athenienſi poſtea damnatos fuiſſe refert. Auctor eſt Diodorus xv. 25. adjuvantibus Athenienſibus rediiſſe exſules in patriam; deinde legatis Athenas miſſis auxilia rogaſſe atque obtinuiſſe, ac eorum ope arcem tandem expugnaſſe. Ducem auxiliorum, ab Athenienſibus miſſorum, nominat Demophontem, numerum peditum 5000, equitum 500. refert. Ariſtides in Panath. p. 301. ed. Cant. Athenienſes, ait, exiiſſe prope omnes auxiliatum Thebanis, etſi Thebani paulo antea ipſas fœderis olim icti cum Athenienſibus columellas dejeciſſent: *καὶ τῶν στηλῶν τῶν περὶ τῆς συμμαχίας ὑπὸ Θηβαίων καθῃρημένων.*

*ἀπεστάλκεισαν.* Poſt hoc verbum *ᾤχοντο* inſerendum eſſe aut ſimile verbum, vidit Leoncl.

Πλαταιὰς καὶ Θεσπιὰς ἐπὶ βοήθειαν. καὶ τοὺς μὲν Πλαταιέας αἰσθόμενοι προσιόντας οἱ τῶν Θηβαίων ἱππεῖς, ἀπαντήσαντες ἀπέκτειναν αὐτῶν πλέον ἢ εἴκοσιν· ἐπεὶ δὲ εἰσῆλθον ταῦτα πράξαντες, καὶ οἱ Ἀθηναῖοι ἀπὸ τῶν ὁρίων ἤδη παρῆσαν, προσέβαλον πρὸς τὴν ἀκρόπολιν. 11 Ὡς δὲ ἔγνωσαν οἱ ἐν τῇ ἀκροπόλει, ὀλίγοι ὄντες, τήν τε προθυμίαν τῶν προσιόντων ἁπάντων ἑώρων, καὶ τῶν κηρυγμάτων μεγάλων γιγνομένων τοῖς πρώτοις ἀναβᾶσιν, ἐκ τούτου φοβηθέντες εἶπον, ὅτι ἀπίοιεν ἄν, εἰ σφίσιν ἀσφάλειαν μετὰ τῶν ὅπλων ἀπιοῦσι διδοῖεν. οἱ δὲ ἄσμενοί τε ἔδοσαν, ἃ ᾔτουν, καὶ σπεισάμενοι, καὶ ὅρκους ὀμόσαντες ἐπὶ τούτοις, ἐξέπεμπον. 12 Ἐξιόντων μέντοι, ὅσους ἐπέγνωσαν τῶν ἐχθρῶν ὄντας, συλλαμβάνοντες ἀπέκτειναν. ἦσαν δέ τινες, οἳ καὶ ὑπὸ Ἀθηναίων τῶν ἀπὸ τῶν ὁρίων ἐπιβοηθη-

§. 10. Πλαταιὰς καὶ Θεσπιάς. Diodor. xv. 25. Spartam nuncios miſſos tradit. In Plutarcho vero de Genio Socr. p. 318. narrantur ante cædem Harmoſtes die tertio jam edixiſſe Theſpienſibus, ut in armis eſſent, et quando demum cunque vocarentur, ſtatim præſto eſſe poſſent. Vates enim publicum aliquod infortunium ex victimarum ſignis augurabantur.

§. 11. ὀλίγοι ὄντες. Se eſſe paucos, ſcilicet ad hoſtes, interpretatur Morus. Diodorus Lacedæmonios cum ſociis fuiſſe, ait, in arce 1500; Spartiatæ tamen inter eos pauci tantum aderant, ut diſerte idem habet §. 27. qui tandem reliquorum ſententiæ concedere coacti arce exceſſerunt. Eundem præſidiariorum numerum dat Plutarchus Pelop. c. 12.

ἐκ τούτου. Margo St. Leoncl. ἐκ τούτων. Diu atque acriter pugnatum fuiſſe ad arcem, narrat Diodor. xv. Non ſolum enim Athenis, ſed ex Bœotia etiam multi accurrerant milites auxiliaturi Thebanis, pedites quidem numero 12000, equites plures quam 200. qui, diviſa in partes multitudine, diu noctuque per vices arcem oppugnabant. Tandem fame expugnati Lacedæmonii cum ſociis, accepta fide, incolumes egreſſi ſunt urbe. Spartani ducum præſidii in judicium adductorum duos quidem capite damnarunt, tertio ingentem multam irrogarunt, quam ſolvere non potuit. Ita Diodor. xv. 27. Plutarch. in Pelop. c. 13. occiſos fuiſſe, auctor eſt, Hermippidam et Arciſſum, Lyſanoridem pecunia multatum extra Peloponneſum fugiſſe. Sed de Genio Socratis p. 318. nominat Κριπίδαν καὶ Ἄρκισον, ubi Bryanus legendum cenſet Ἑριππίδαν καὶ Ὄρσιππον, quæ nomina poſuit Xenophon H. Gr. iv. Denique Lyſanoridem non in arce tum adfuiſſe, ſed auxilia accerſiſſe et reliquos harmoſtas deſtituiſſe, denique Corinthi deprehenſum et multatum fuiſſe, apparet ex Plutarchi loco de Genio p. 363. quem corruptum ſatis ingenioſe concinnavit Reiſkius.

§. 12. τῶν ἐχθρῶν ὄντας. Sunt illi, qui poſt cædem polemarchorum factam in arcem confugerant. Plutarch. de Genio Socr. p. 362. οἱ μὲν λακωνίζοντες εἰς τὴν Καδμείαν ἔφευγον ἐπισπασάμενον καὶ τοὺς κρείττους λεγομένους, εἰωθότας δὲ περὶ τὴν ἄκραν κάτω νυκτερεύειν. Ita enim recte vulgatum κατνίζοντες emendavit Reiſkius noſter.

ὑπὸ Ἀθηναίων. Ita recte Leonclav. in margine pro vulgato ἀπό. Sed deinde Margo Leonclav. et Steph. ἐξι-

πάντων ἐκλάπησαν, καὶ διεσώθησαν. οἱ μέντοι Θηβαῖοι καὶ τοὺς παῖδας τῶν ἀποθανόντων, ὅσοις ἦσαν, λαβόντες ἀπέσφαξαν.

13 Ἐπεὶ δὲ ταῦτα ἐπύθοντο οἱ Λακεδαιμόνιοι, τὸν μὲν ἁρμοστὴν, τὸν ἐγκαταλιπόντα τὴν ἀκρόπολιν, καὶ οὐκ ἀναμείναντα τὴν βοήθειαν, ἀπέκτειναν· φρουρὰν δὲ φαίνουσιν ἐπὶ τοὺς Θηβαίους. καὶ Ἀγησίλαος μὲν, λέγων, ὅτι ὑπὲρ τετταράκοντα ἔτη ἀφ᾽ ἥβης εἴη, καὶ, ὥσπερ τοῖς ἄλλοις τοῖς τηλικούτοις οὐκέτι ἀνάγκη εἴη τῆς ἑαυτῶν ἔξω στρατεύεσθαι, οὕτω δὴ καὶ βασιλεῦσι τὸν αὐτὸν ὄντα νόμον ἀπεδείκνυε· κἀκεῖνος μὲν δὴ, λέγων ταῦτα, οὐκ ἐστρατεύετο. οὐ μέντοι τούτου γε ἕνεκεν κατέμεινεν, ἀλλ᾽ εὖ εἰδὼς, ὅτι, εἰ στρατηγοίη, λέξειαν οἱ πολῖται, ὡς Ἀγησίλαος, ὅπως βοηθήσειε τοῖς τυράννοις, πράγματα τῇ πόλει παρέχει. εἴα

Olymp. 100. $\frac{2}{3}$.

14 οὖν αὐτοὺς βουλεύεσθαι, ὅ τι βούλοιντο περὶ τούτων. Οἱ δ᾽ ἔφοροι, διδασκόμενοι ὑπὸ τῶν μετὰ τὰς ἐν Θήβαις σφαγὰς ἐκπεπτωκότων, Κλεόμβροτον ἐκπέμπουσι, τότε πρῶτον ἡγούμενον, μάλα χειμῶνος ὄντος. Καὶ τὴν μὲν δι᾽

κλάπησαν habet, quod vulgato etiam præferendum puto.

§. 13. ἀπέκτειναν. Tres harmoftas fuiffe, quorum duos occiderunt Spartani, tertium pecunia multarunt ingenti, ante vidimus.

ὄντα νόμον. In A. J. defunt hæc verba; habent Br. Caftal. Addenda cenfuerat Brodæus, unde in L. Stephan. recepta fuerunt, fed ibi mutato ordine νόμον ὄντα, ad numerum orationis minus apto, legitur.

βοηθήσειε τοῖς τυράννοις. Plutarchus hæc difertius explicat Agefil. 24. αἰσχυνόμενος εἰ Φλιασίοις ὀλίγον ἔμπροσθεν ὑπὲρ φυγάδων πεπολεμηκὼς αὖθις ὀφθήσεται Θηβαίους κακῶς ποιῶν διὰ τοὺς τυράννους.

βουλεύεσθαι, ὅτι βούλοιντο. Ita Morus edidit, fecutus fcripturam A. J. Bryl. Caft. ubi eft: βούλεσθαι ὅτι βουλεύοιντο. Leonclavius emendabat βουλεύεσθαι ὁποῖόν τι βούλοιντο, et verba quidem ὁποῖόν τι ex aliis libris fe duxiffe fatetur. Stephan. fcilicet attulerat ὁποῖόν τι.

§. 14. μάλα χειμῶνος ὄντος. Sub initium hiemis exfules redierant Thebas, tefte Plutarch. Pelop. c. 9.

Καὶ τὴν μέν. Margo St. Leonclav. τὴν μὲν οὖν. Dodwell in Annal. Xenophonteis ad Olymp. 100. 3. nefcio, inquit, an pro Eleutheris Erythræ potius intelligendæ fint. At vero Eleutheræ fitæ erant in dextro Cithæronis montis latere et atticum agrum attingebant, auctore Paufania i. p. 93. contra Erythræ in finiftro latere et in agro Platæenfi eodem auctore ix. pag. 714. Apparet igitur, longe commodius nominari a Xenophonte Eleutheras. Per utramque autem urbem via Lacedæmonios ducebat ad Tanagram in dextro Thebarum latere fitam; contra fi Platæas verfus defcenderis ex Cithærone, via ducit ad Thefpias, in finiftro Thebarum latere fitas.

Ἐλευθερῶν ὁδὸν Χαβρίας, ἔχων Ἀθηναίων πελταστὰς, ἐφύλαττεν· ὁ δὲ Κλεόμβροτος ἀνέβαινε κατὰ τὴν ἐς Πλαταιὰς φέρουσαν. προϊόντες δὲ οἱ πελτασταὶ περιτυγχάνουσιν ἐπὶ τῷ ἄκρῳ φυλάττουσι τοῖς ἐκ τοῦ ἀναγκαίου λελυμένοις, ὡς περὶ ἑκατὸν καὶ πεντήκοντα οὖσι. καὶ τούτους μὲν ἅπαντας, εἰ μή τις ἐξέφυγεν, οἱ πελτασταὶ ἀπέκτειναν· αὐτὸς δὲ κατέβαινε πρὸς τὰς Πλαταιὰς, ἔτι φιλίας οὔσας. 15 Ἐπεὶ δὲ εἰς Θεσπιὰς ἀφίκετο, ἐκεῖθεν ὁρμηθεὶς, εἰς Κυνὸς κεφαλὰς, οὔσας Θηβαίων, ἐστρατοπεδεύσατο. μείνας δὲ ἐκεῖ περὶ ἑκκαίδεκα ἡμέρας, ἀπεχώρησε πάλιν εἰς Θεσπιάς. κἀκεῖ μὲν κατέλιπεν ἁρμοστὴν Σφοδρίαν, καὶ ἀπὸ τῶν συμμάχων τὸ τρίτον μέρος ἑκάστων· παρέδωκε δὲ αὐτῷ καὶ χρήματα, ὅσα ἐτύγχανεν οἴκοθεν ἔχων, καὶ ἐκέλευσε ξενικὸν προσμισθοῦσθαι. 16 Καὶ ὁ μὲν Σφοδρίας ταῦτ' ἔπραττεν. ὁ δὲ Κλεόμβροτος ἀπῆγεν ἐπ' οἴκου τὴν διὰ Κρεύσιος τοὺς μεθ' ἑαυτοῦ στρατιώτας, καὶ μάλα ἀποροῦντας, πότερά ποτε πόλεμος πρὸς Θηβαίους, ἢ εἰρήνη εἴη· ἤγαγε μὲν γὰρ εἰς τὴν τῶν Θηβαίων τὸ στράτευμα, ἀπῆλθε δὲ ὡς ἐδύνατο ἐλάχιστα κακουργήσας. 17 Ἀπιόντι γεμὴν ἄνεμος αὐτῷ ἐξαίσιος ἐπεγένετο, ὃν καὶ οἰωνίζοντό τινες σημαίνειν πρὸ τῶν μελλόντων. πολλὰ μὲν γὰρ καὶ ἄλλα

Χαβρίας. Hic bello Corinthiaco adfuerat, nec videtur cum Demophonte auxilio miſſus fuiſſe Thebanis.

οἱ πελτασταί. Quos Cleombrotus adduxerat.

§. 15. Κυνὸς κεφαλάς. Morus affert locum Plutarchi in Flaminio c. 8. κυνὸς κεφαλαὶ, λόφων οὖσαι πυκνῶν καὶ παραλλήλων ἄκραι λεπταὶ, δι' ὁμοιότητα τοῦ σχήματος οὕτως ὠνομάσθησαν. Sed fallitur, cum putat, eundem ibi deſcribi locum. Sunt enim illæ Κυνὸς κεφαλαὶ in Theſſalia haud procul Scotuſſa ſitæ, ut ex Plutarcho ipſo conſtat. Eaſdem nominat etiam Pauſanias vii. p. 543. Eundem tamen errorem erravit Bach ad Xenophontis Ageſilaum ii. 22. et in Indicem Geographicum inde retulit Zeune. Thebanas κυνὸς κεφαλὰς habet Stephanus Byz. appellans tamen Κυνοκεφάλους. Vicum ibidem fuiſſe, ex eo licet arguere, quod Pindarum ibi natum fuiſſe tradunt ſcriptores veteres.

μείνας δὲ ἐκεῖ. Caſtal. omiſit ἐκεῖ.

§. 16. Κρεύσιος. Ita emendavit vulgatum Κράσιος Leoncl. cum Fr. Porto hic et ſect. 17. et 60. Vide et vi. 4. 3. 25. et Pauſan. Bœotic. c. 32.

§. 17. πρὸ τῶν μελλόντων. Margo L. et St. περὶ τῶν μελ. quod etſi mollius eſſe fatetur Morus, vulgatum tamen defendit.

γενναῖα ἐποίησεν, ἀτὰρ καὶ, ὑπερβάλλοντος αὐτοῦ μετὰ τῆς στρατιᾶς ἐκ τῆς Κρεύσιος τὸ καθῆκον ἐπὶ θάλατταν ὄρος, πολλοὺς μὲν ὄνους κατεκρήμνισεν αὐτοῖς σκεύεσι, πάμπολλα δὲ ὅπλα ἀναρπασθέντα ἐξέπεσεν εἰς τὴν θά-

18 λατταν. Τέλος δὲ, πολλοὶ, οὐ δυνάμενοι σὺν τοῖς ὅπλοις πορεύεσθαι, ἔνθεν καὶ ἔνθεν τοῦ ἄκρου κατέλιπον, λίθων ἐμπλήσαντες, ὑπτίας τὰς ἀσπίδας. καὶ τότε μὲν ἐν Αἰγοσθένοις τῆς Μεγαρικῆς ἐδείπνησαν, ὡς ἠδύναντο· τῇ δὲ ὑστεραίᾳ ἐλθόντες ἐκομίσαντο τὰ ὅπλα. καὶ ἐκ τούτου ἤδη ἕκαστοι οἴκαδε ἀπῆσαν· ἀφῆκε γὰρ αὐτοὺς ὁ Κλεόμβροτος.

19 Οἱ μὲν οὖν Ἀθηναῖοι, ὁρῶντες τὴν τῶν Λακεδαιμονίων δύναμιν, καὶ ὅτι πόλεμος ἐν Κορίνθῳ οὐκέτι ἦν, ἀλλ' ἤδη παριόντες τὴν Ἀττικὴν οἱ Λακεδαιμόνιοι εἰς τὰς Θήβας ἐνέβαλλον, οὕτως ἐφοβοῦντο, ὥστε καὶ τὼ δύω στρατηγὼ, οἳ συνηπιστάσθην τὴν τοῦ Μέλλωνος ἐπὶ τοὺς περὶ Λεοντιάδην ἐπανάστασιν, κρίναντες, τὸν μὲν ἀπέκτειναν, τὸν δὲ, ἐπεὶ οὐχ ὑπέμεινεν, ἐφυγάδευσαν.

Ol. 98. 2/3.

20 Οἱ δ' αὖ Θηβαῖοι, καὶ αὐτοὶ φοβούμενοι, εἰ μηδένες

γενναῖα. Margo St. Leoncl. βίαια, quam gloſſam vulgatæ lectionis eſſe cenſet Morus, qui γενναίαν δύην ex Sophocl. Ajac. 947. affert.

ἀναρπασθέντα. Margo Leoncl. ἀφαρπασθέντα.

§. 18. ἔνθεν καὶ ἔνθεν. Poſterius ἔνθεν deeſt in A. J. Br. Caſt. unde Brodæus emendabat: ἔνθεν ἐπὶ τοῦ ἄκρου.

§. 19. δύναμιν. Margo St. L. ῥώμην.

συνηπιστάσθην. Caſtal. συνηπιστάτην. Plutarchus Pelopid. c. 14. conſentit de Athenienſibus: οἱ Ἀθηναῖοι περίφοβοι γενόμενοι τήν τε συμμαχίαν ἀπείπαντο τοῖς Θηβαίοις καὶ τῶν βοιωταζόντων εἰς τὸ δικαστήριον παραγαγόντες τοὺς μὲν ἀπέκτειναν, τοὺς δ' ἐφυγάδευσαν, τοὺς δὲ χρήμασιν ἐζημίωσαν. Dignus eſt locus Dinarchi contra Demoſthenem qui huc referatur p. 30. τὰ μικρὸν πρὸ τῆς ἡμετέρας ἡλικίας γεγενημένα ὑπὸ Κεφάλου τοῦ ῥήτορος καὶ Θράσωνος τοῦ Ἐρχιέως καὶ Ἡλίου Φορμισίου καὶ ἑτέρων ἀνδρῶν ἀγαθῶν, ὧν ἐνίων καὶ νῦν ἔτι ζῇ τὰ σώματα· τούτων γὰρ οἱ μὲν, φρουρουμένης ὑπὸ Λακεδαιμονίων τῆς Καδμείας, βοηθήσαντες τοῖς εἰς Θήβας κατιοῦσι τῶν φυγάδων τοῖς ἰδίοις κινδύνοις ἠλευθέρωσαν πόλιν ἀστυγείτονα καὶ πολὺν χρόνον δουλεύουσαν. οἱ δὲ πείσαντες ἐξελθεῖν ὑμῶν τοὺς προγόνους κεφάλου τούτου ψήφισμα γράψαντος, ὃς οὐ καταπλαγεὶς τὴν Λακεδαιμονίων δύναμιν οὐδὲ λογισάμενος—ἔγραψεν ἐξιέναι βοηθήσοντας Ἀθηναίους τοῖς κατειληφόσι τῶν φυγάδων Θήβας· καὶ ἐξελθόντων ἐκεῖ τῶν ἡμετέρων πατέρων, ὀλίγαις ἡμέραις ἐξεβλήθη ὁ τῶν Λακεδαιμονίων φρούραρχος, ἠλευθεροῦντο Θηβαῖοι. Ex Plutarcho apparet, Archiam hierophantam et Calliſtratum faviſſe partibus Archiæ et Leontiadæ. Vide de Genio Socr. p. 358.

ἄλλοι ἢ αὐτοὶ πολεμήσοιεν τοῖς Λακεδαιμονίοις, τοιόνδε τι εὑρίσκουσι μηχάνημα· πείθουσι τὸν ἐν ταῖς Θεσπιαῖς ἁρμοστὴν Σφοδρίαν, χρήματα δόντες, ὡς ὑπωπτεύετο, ἐμβαλεῖν εἰς τὴν Ἀττικὴν, ἵν' ἐκπολεμήσειε τοὺς Ἀθηναίους πρὸς τοὺς Λακεδαιμονίους. κἀκεῖνος πειθόμενος αὐτοῖς, προσποιησάμενος τὸν Πειραιᾶ καταλήψεσθαι, ὅτι δὴ ἀπύλωτος ἦν, ἦγεν ἐκ τῶν Θεσπιῶν πρῲ δειπνήσαντας τοὺς στρατιώτας, φάσκων, πρὸ ἡμέρας κατανύσειν εἰς τὸν Πειραιᾶ. Θριάσι δ' αὐτῷ ἡμέρα ἐπεγένετο, καὶ οὐδὲ ταῦτ' 21 ἐποίησεν, ὥστε λαθεῖν· ἀλλ' ἐπεὶ ἀπετέτραπτο, βοσκήματα διήρπασε καὶ οἰκίας ἐπόρθησε. τῶν δ' ἐντυχόντων τινὲς τῆς νυκτὸς, φεύγοντες εἰς τὸ ἄστυ, ἀπήγγελλον τοῖς Ἀθηναίοις, ὅτι στράτευμα πάμπολυ προσήει. οἱ μὲν δὴ ταχὺ

§. 20. *Σφοδρίαν.* Diodorus xv. 29. *Σφοδριάδαν* et *φύσει μετέωρον καὶ προπετῆ* vocat, eique regem Cleombrotum id confilii dediſſe ait, ut Piræeum occuparet; poſtea in judicium adductum faventibus regibus abſolutum fuiſſe. Scilicet ex eventu confilium Cleombroti addidiſſe videtur, ut ſupra in Phœbida fecerat. Eundem Plutarchus Pelop. 14. *ὑπόκουφον τὴν γνώμην καὶ κενῶν ἐλπίδων καὶ φιλοτιμίας ἀνοήτου μεστὸν* vocat. Idem Ageſ. 24. de eo ſentit; ubi tamen Codices quidem Sphodriam harmoſtiam Therapnis (*Θεράπναις*) non Theſpiis dant.

*χρήματα δόντες.* Orationem mercatoris, a Pelopida ſubmiſſi, plus etiam quam pecuniam valuiſſe apud Sphodriam, tradit Plutarchus Pelopid. c. 14. et Ageſil. 24.

*ἐκπολεμήσειε.* Ad bellum incenderet. Hoc ſenſu Harpocration Xenophontem, ait, in ſexto Hellenicorum poſuiſſe *ἐκπολεμῆσαι* pro *ἐκπολεμῶσαι.* Zonaræ teſtimonium protulit Valckenair ad Ammonium pag. 72. Plutarchus Pelop. cap. 14. hoc idem confilio Pelopidæ et Gorgidæ bœotarcharum communi factum narrans, *συγκροῦσαι πάλιν τοὺς Ἀθηναίους τοῖς Λακεδαιμονίοις.*

[*ἀπύλωτος.* Idem accidit Athenienſibus antea, cum res illorum maxime floreret, auctore Thucyd. ii. 93. *τοῦ Πειραιῶς, τοῦ λιμένος—ἦν δὲ ἀφύλακτος καὶ ἄκλειστος, εἰκότως διὰ τὸ ἐπικρατεῖν πολὺ τῷ ναυτικῷ·* et tunc poſt hoſtium reditum c. 94. *φυλακὴν ἤδη τοῦ Πειραιῶς μᾶλλον τὸ λοιπὸν ἐποιοῦντο λιμένων τε κλείσει καὶ τῇ ἄλλῃ ἐπιμελείᾳ.* Scilicet poſtquam Lyſander rem nauticam Athenienſium plane everterat, portum ipſum neglexerant Athenienſes, etſi paulatim imperium maris iterum affectantes. *Ex Addendis.*]

§. 21. *Θριάσι.* Uſque ad Eleuſinem provectum rediiſſe propter militum timorem tradit Plutarch. Pelopid. c. 14. Lumen ex ſacris Eleuſiniis ſubito paruiſſe et milites terruiſſe, narrat Ageſil. c. 24. Ariſtides in Eleuſin. orat. p. 452. ed. Canteri *Σφοδρίου—ἤρκεσαν αἱ δᾷδες φανεῖσαι καταστέσαι τὴν τόλμαν.* Unde colligitur menſe medio Boedromione Sphodriæ incurſionem acciddiſſe, quo per dies novem ſacra Eleuſinia celebrabantur.

*οὐδὲ ταῦτ' ἐποίησεν.* Sed ne hoc quidem effecit, eum impulit, ut ſtuderet latere. Ita Morus. Quem ſenſum equidem ex verbis græcis vel ſumma vi extorqueri poſſe nego.

[*οὐδὲ ταῦτ' ἐποίησεν, ὥστε λαθεῖν. Neque jam ita ſe geſſit ut lateret*, h. e. *conſilium abjecit latendi.* Niſi malis *τοιαῦτ' ἐποίησεν*, ſententia eadem. *F. A. Wolfius.*]

*ἀπετέτραπτο* Margo St. L. *ἀπετράπετο.*

ὁπλισάμενοι, καὶ ἱππεῖς καὶ ὁπλῖται, ἐν φυλακῇ τῆς πό-
22 λεως ἦσαν. Τῶν δὲ Λακεδαιμονίων καὶ πρέσβεις Ἀθή-
νησιν ἐτύγχανον ὄντες, παρὰ Καλλίᾳ τῷ προξένῳ, Ἐτυμο-
κλῆς τε καὶ Ἀριστόλοχος καὶ Ὤκελλος· οὓς οἱ Ἀθηναῖοι,
ἐπεὶ τὸ πρᾶγμα ἠγγέλθη, συλλαβόντες ἐφύλασσον, ὡς
καὶ τούτους συνεπιβουλεύοντας. οἱ δὲ ἐκπεπληγμένοι τε ἦσαν
τῷ πράγματι, καὶ ἀπελογοῦντο, ὡς οὐκ ἄν ποτε μωροὶ
οὕτως ἦσαν, ὡς, εἰ ᾔδεισαν καταλαμβανόμενον τὸν Πειραιᾶ,
ἐν τῷ ἄστει ἂν ὑποχειρίους αὐτοὺς παρεῖχον, καὶ ταῦτα,
23 παρὰ τῷ προξένῳ, οὗ τάχιστ᾽ ἂν εὑρέθησαν. Ἔτι δ᾽
ἔλεγον, ὡς εὔδηλον καὶ τοῖς Ἀθηναίοις ἔσοιτο, ὡς οὐδ᾽ ἡ
πόλις τῶν Λακεδαιμονίων ταῦτα συνῄδει. Σφοδρίαν γὰρ
εὖ εἰδέναι ἔφασαν, ὅτι ἀπολωλότα πεύσοιντο ὑπὸ τῆς πό-
λεως. κἀκεῖνοι μὲν, κριθέντες μηδὲν συνειδέναι, ἀφείθη-
24 σαν. Οἱ δ᾽ ἔφοροι ἀνεκάλεσάν τε τὸν Σφοδρίαν, καὶ
ὑπῆγον θανάτου. ἐκεῖνος μέντοι φοβούμενος οὐχ ὑπήκουσεν·
ὅμως δὲ, καίπερ οὐχ ὑπακούων εἰς τὴν κρίσιν, ἀπέφυγε.
καὶ πολλοῖς ἔδοξεν αὕτη δὴ ἐν Λακεδαιμονίοις ἀδικώτατα
δίκη κριθῆναι. ἐγένετο δὲ τοῦτο αἴτιον.

25 Ἦν υἱὸς τῷ Σφοδρίᾳ, ἡλικίαν τε ἔχων τὴν ἄρτι ἐκ
παίδων, Κλεώνυμος ὄνομα, καὶ ἅμα κάλλιστός τε καὶ εὐ-
δοκιμώτατος τῶν ἡλίκων. τούτου δὲ ἐρῶν ἐτύγχανεν Ἀρχί-
δαμος ὁ Ἀγησιλάου. οἱ μὲν οὖν τοῦ Κλεομβρότου φίλοι,
ἅτε ἑταῖροι ὄντες τῷ Σφοδρίᾳ, ἀπολυτικῶς αὐτοῦ εἶχον,

§. 22. προξένῳ. Male A. J. Br. Cast. Προξένου, ut monuit jam Brodæus. Ipse Callias infra vi. 3. in oratione apud Lacedæmonios suam jactat προξενίαν. Favebat ille Lacedæmoniis, ejusque ad Archiam Thebanorum polemarchum litteras, quibus eum de seditione exsulum admonebat, Plutarchus commemoravit.

Ὤκελλος. Infra libro vi. 5. 33. cum Etymocle legatus Athenis venisse dicitur Ὤκυλλος. Quæ forma rectior et vera sit, ignoro.

§. 24. ἀνεκάλεσαν. In Ald. J. Cast. simplex ἐκάλεσαν.

ὑπῆγον. Ita vulgatum ἀπῆγον correxit Pierson ad Mœrin p. 478. et Valckenair ad Herodotum ix. 93.

§. 25. Κλεώνυμος. Historiam ex Xenophonte iisdem sæpe verbis repetiit Plutarchus Ages. cap. 25.

τῷ Σφοδρίᾳ ἀπολυτικῶς. Nomen omiserunt A. J. Br. Castal. et deinde ἀπειλητικῶς scriptum habent. Deinde

τὸν δὲ Ἀγησίλαον καὶ τοὺς ἐκείνου φίλους ἐφοβοῦντο, καὶ τοὺς διὰ μέσου δέ· δεινὰ γὰρ ἐδόκει πεποιηκέναι. Ἐκ τούτου 26 δὲ ὁ μὲν Σφοδρίας εἶπε πρὸς τὸν Κλεώνυμον· ἔξεστί σοι, ὦ υἱὲ, σῶσαι τὸν πατέρα, δεηθέντι Ἀρχιδάμου, Ἀγησίλαον εὐμενῆ ἐμοὶ εἰς τὴν κρίσιν παρασχεῖν. ὁ δὲ ἀκούσας ἐτόλμησεν ἐλθεῖν πρὸς τὸν Ἀρχίδαμον, καὶ ἐδεῖτο σωτῆρα αὐτῷ τοῦ πατρὸς γενέσθαι. ὁ μέντοι Ἀρχίδαμος, ἰδὼν μὲν τὸν Κλεώνυμον κλαίοντα, συνεδάκρυε παρεστώς· ἀκούσας 27 δὲ δεομένου, ἀπεκρίνατο· ἀλλ᾽, ὦ Κλεώνυμε, ἴσθι, ὅτι ἐγὼ μὲν τῷ ἐμῷ πατρὶ οὐδ᾽ ἀντιβλέπειν δύναμαι, ἀλλὰ, κἄν τι βούλωμαι διαπράξασθαι ἐν τῇ πόλει, πάντων μᾶλλον ἢ τοῦ πατρὸς δέομαι· ὅμως δ᾽, ἐπεὶ σὺ κελεύεις, νόμιζε, πᾶσάν με προθυμίαν συνέξειν ταῦτά σοι πραχθῆναι. Καὶ τότε μὲν δὴ ἐκ τοῦ φιλιτίου εἰς τὸν οἶκον ἐλθὼν ἀνε- 28 παύετο· τοῦ δ᾽ ὄρθρου ἀναστὰς, ἐφύλαττε, μὴ λάθῃ αὐτὸν ὁ πατὴρ ἐξελθών. Ἐπεὶ δὲ εἶδεν αὐτὸν ἐξιόντα, πρῶτον μὲν, εἴ τις τῶν πολιτῶν παρῆν, παρίει τούτους διαλέγεσθαι αὐτῷ· ἔπειτα δ᾽, εἴ τις ξένος· ἔπειτα δὲ καὶ τῶν θερα-

Stephanus noſtram lectionem propoſuit, eamque ſe in libris veteribus reperiſſe dixit. Merito tamen de integritate iſtius etiam lectionis dubitavit Morus, offenſus inprimis genitivo αὐτοῦ. Quodſi vero interſertum τῷ Σφοδρίᾳ cum Edd. vetuſtis omiſeris et αὐτοῦ ad ἑταῖροι retraxeris, hanc offenſionem tolles. Sed in voce ἀπολυτικῶς ipſe etiam hæſi.

[ἀπολυτικῶς αὐτοῦ εἶχον. H.e. *Cupiebant optabantque abſolutionem hominis.* Non Tibi ſoli hoc loquendi genus viſum fuerit ἄκυρον. Defenditur vero quadam analogiæ ſpecie. Ut ἐρωτικῶς τινὸς ἔχειν ſeu διακεῖσθαι etc. Conf. vi. 1. n. 4. p. 314. ubi tamen dativus jungitur. *F. A. Wolfius.*]

τοὺς διὰ μέσου. Neutri factioni addictos interpretatur Morus. Plutarchus Ageſil. c. 24. Sphodriam fuiſſe, ait, ἐκ τῆς ὑπεναντίας στάσεως τῷ Ἀγησιλάῳ.

§. 26. ἐδεῖτο σωτῆρα αὐτῷ. Ita ex margine Leonclav. ſcripſi pro vulgato ἐδεῖτο αὐτὸν σωτῆρα.

§. 27. ἀλλὰ κἄν τι. Leoncl. ἀλλ᾽ ἄν. In utraque tamen lectione ſcribendum erat deinceps βούλωμαι. Igitur vulgatum βούλομαι correxi.

συνέξειν. Steph. cum quo facit Morus ἕξειν, Leoncl. συμπαρέξειν emendabat. Equidem Leonclavium ſequor. Eſt enim dictum pro συμπροθυμεῖσθαι, quo verbo ſæpe utitur Noſter.

§. 28. φιλιτίου. Margo Leonclavii φιδιτίου. Altera tamen ſcriptura reperitur etiam apud Noſtrum de Republ. Lacedæm. iii. 6. ubi vid. Zeunium.

παρίει τούτους. Ita ex margine L. Steph. ſcripſi pro vulgato παρήνει. Sed male interpretatur Morus παρίει ſic: cedebat illis. Quin admittebat illos. Sic Cyrop. i. 4. 6. ὅτι οὐ παρίει αὐτὸν πρὸς τὸν πάππον. Sic et alibi Xenophon.

ἔπειτα δὲ καὶ τῶν θεραπόντων τῷ δεομένῳ. Ita cum L. et St. ſcripſi. In A.

πόντων τῷ δεομένῳ παρεχώρει. τέλος δ', ἐπεὶ ἀπὸ τοῦ Εὐρώτα ἀπιὼν ὁ Ἀγησίλαος εἰσῆλθεν οἴκαδε ἀπιὼν ᾤχετο οὐδὲ προσελθών. καὶ τῇ ὑστεραίᾳ δὲ ταυτὰ ταῦτα 29 ἐποίησεν. Ὁ δ' Ἀγησίλαος ὑπώπτευε μὲν, ὧν ἕνεκεν ἐφοίτα· οὐ μέντοι ἠρώτα, ἀλλ' εἴα αὐτόν. ὁ δ' αὖ Ἀρχίδαμος ἐπεθύμει μὲν, ὥσπερ εἰκὸς, ὁρᾶν τὸν Κλεώνυμον· ὅπως μέντοι ἔλθοι πρὸς αὐτὸν, μὴ διειλεγμένος τῷ πατρὶ, περὶ ὧν ἐκεῖνος ἐδεήθη, οὐκ εἶχεν. οἱ δὲ ἀμφὶ τὸν Σφοδρίαν, οὐχ ὁρῶντες τὸν Ἀρχίδαμον ἰόντα, πρόσθεν δὲ θαμίζοντα, ἐν παντὶ ἦσαν, μὴ λελοιδορημένος εἴη ὑπ' Ἀγησιλάου. 30 Τέλος μέντοι ὁ Ἀρχίδαμος ἐτόλμησε προσελθεῖν, καὶ εἰπεῖν· ὦ πάτερ, Κλεώνυμός με κελεύει σου δεηθῆναι, σῶσαί οἱ τὸν πατέρα· καὶ ἐγώ σου ταῦτα δέομαι, εἰ δυνατόν. ὁ δ' ἀπεκρίνατο· ἀλλά σοι μὲν ἔγωγε συγγνώμην ἔχω· αὐτὸς μέντοι ὅπως συγγνώμης τύχοιμι παρὰ τῆς πόλεως, ἄνδρα μὴ καταγιγνώσκων ἀδικεῖν, 31 οἷς ἐχρηματίσατο ἐπὶ κακῷ τῆς πόλεως, οὐχ ὁρῶ. Ὁ δὲ τότε μὲν πρὸς ταῦτα οὐδὲν εἶπεν, ἀλλ' ἡττηθεὶς τοῦ δικαίου ἀπῆλθεν. ὕστερον δὴ ἢ αὐτὸς νοήσας, ἢ διδαχθεὶς ὑπό του, εἶπεν ἐλθών· ἀλλ' ὅτι μὲν, ὦ πάτερ, εἰ μηδὲν ἠδίκει Σφοδρίας, ἀπέλυσας ἂν αὐτὸν, οἶδα· νῦν δὲ, εἰ ἠδίκηκέ τι, ἡμῶν ἕνεκεν συγγνώμης παρὰ σοῦ τυχέτω. ὁ δὲ εἶπεν·

J. Bryl. legitur: ἔπειτα δ' εἴ τις καὶ τῶν δεομένων παρεχώρει τῶν θεραπόντων, fine fenfu; eam tamen fcripturam revocaverat Morus.

§. 29. ἐφοίτα, Tam frequens illi ubique aderat. Cæterum egregie timidam Archidami cunctationem pinxit Xenophon. Obfcuritatem loci nefcio quam reperire fibi vifus eft Morus.

ἐν παντὶ ἦσαν. Valde timebant, anxii erant. Ita infra vi. 1. 4. εἰς πᾶν ἀφικέσθαι. Conf. Valckenair ad Herodot. p. 557. In Anabafi iii. 1. 12. ἐπὶ πᾶν ἐλθεῖν eft: omnia tentare.

λελοιδορημένος. Margo Leoncl. λελοιδορημένος ὑπ' Ἀγησιλάου ἀπεληλαμένος εἴη.

§. 30. οἷς ἐχρηματίσατο. Margo L. St. ἐχρήσατο. Morus interpretatur, quafi effet ἀδικεῖν ἐν ἐκείνοις οἷς ἐχρ. quæ in detrimentum patriæ et emolumentum fuum fecit. V. D. in Bibl. Crit. Amftel. ὅς legendum effe cenfet, quod et mihi placet.

§. 31. παρὰ σοῦ. Margo Leonclav. ὑπὸ σοῦ. Cæterum noverant amici, qui juveni confilium dederant, animum Agefilai mollem et facilem in amicos. Ejus enim epiftolam memorat Plutarchus Præcept. reipubl. gerendæ p. 121. ad Idrieum, Cariæ regulum, hanc; Νικίαν, εἰ μὲν οὐκ ἀδικεῖ, ἄφες, εἰδ' ἀδικεῖ, ἐμοὶ ἄφες· πάντως δ' ἄφες.

ἂν μέλλῃ καλὰ ταῦτ' ἡμῖν εἶναι, οὕτως ἔσω. ὁ μὲν δὴ ταῦτα ἀκούσας, μάλα δύσελπις ὢν ἀπήει. 32 Τῶν δὲ τοῦ Σφοδρίου φίλων τὶς, διαλεγόμενος Ἐτυμοκλεῖ, εἶπεν· ὑμεῖς μὲν, οἶμαι, ἔφη, πάντες, οἱ Ἀγησιλάου φίλοι, ἀποκτενεῖτε τὸν Σφοδρίαν. καὶ ὁ Ἐτυμοκλῆς, μὰ Δία, οὐκ ἄρα ταὐτὰ, ἔφη, ποιήσομεν Ἀγησιλάῳ; ἐπεὶ ἐκεῖνός γε πρὸς πάντας, ὅσοις διείλεκται, ταῦτα λέγει· μὴ ἀδικεῖν μὲν Σφοδρίαν ἀδύνατον εἶναι· ὅστις μέντοι, παῖς τε ὢν, καὶ παιδίσκος καὶ ἡβῶν, πάντα τὰ καλὰ ποιῶν διετέλεσε, χαλεπὸν εἶναι τοιοῦτον ἄνδρα ἀποκτιννύναι· τὴν γὰρ Σπάρτην τοιούτων δεῖσθαι στρατιωτῶν. 33 Ὁ δ' ἀκούσας ταῦτα, ἀπήγγειλε τῷ Κλεωνύμῳ. ὁ δὲ ἡσθεὶς, εὐθὺς ἐλθὼν πρὸς τὸν Ἀρχίδαμον, εἶπεν· ὅτι μὲν ἡμῶν ἐπιμελῇ, ἤδη ἴσμεν· εὖ δ' ἐπίστω, Ἀρχίδαμε, ὅτι καὶ ἡμεῖς πειρασόμεθα ἐπιμελεῖσθαι, ὡς μήποτε σὺ ἐπὶ τῇ ἡμετέρᾳ φιλίᾳ αἰσχυνθῇς. Καὶ οὐκ ἐψεύσατο, ἀλλὰ καὶ ζῶν ἅπαντ' ἐποίει, ὅσα καλὰ ἐν τῇ Σπάρτῃ, καὶ ἐν Λεύκτροις πρὸ τοῦ βασιλέως μαχόμενος σὺν Δείνωνι τῷ πολεμάρχῳ, προσπεσὼν πρῶτος τῶν πολιτῶν, ἐν μέσοις τοῖς πολεμίοις ἀπέθανε. καὶ ἠνίασε μὲν εἰς τὰ ἔσχατα Ἀρχίδαμον· ὡς δὲ ὑπέσχετο, οὐ κατῄσχυνεν, ἀλλὰ μᾶλλον ἐκόσμησε. Τοιούτῳ μὲν δὴ τρόπῳ Σφοδρίας ἀπέφυγε.

34 Τῶν μέντοι Ἀθηναίων οἱ βοιωτιάζοντες ἐδίδασκον τὸν

*ἂν μέλλῃ.* L. et St. *οὐκοῦν ἄν.* ſed notatur ut ſuſpectum *οὐκοῦν.* Plutarchus Ageſil. c. 25. *σκέψασθαι δὲ φήσας ὅτι καλῶς ἔχει καὶ πρεπόντως ἀπῆλθεν*, ubi Stephan. emendabat *σκέψεσθαι.* Unde ſuſpicor, lectum olim in hoc loco fuiſſe: *εἰ μέλλει καλὰ— οὕτω σκέψομαι· ὁ μὲν δὴ* et cet. Quodſi vero dixerat pater *οὕτω ἔσω*, non erat, quare filius *μάλα δύσελπις ὢν* abiret.

§. 32. *ταὐτὰ ἔφη.* Verbum *ἔφη* omittunt A. J. Caſtal. Sed rectius huc retraxit St. et L. ex ſequentibus, ubi poſt *ἀδύνατον εἶναι* male inſertum legebatur.

*διείλεκται.* A. J. *διείλεγκται.* Caſt. *διέλεγκται.*

§. 34. *οἱ βοιωτιάζοντες.* Huc pertinent verba Plutarchi Pelop. c. 15. *ἐκ τούτου πάλιν προθυμότατα Ἀθηναῖοι τοῖς Θηβαίοις συνεμάχουν καὶ τῆς θαλάσσης ἀντελαμβάνοντο, καὶ περιϊόντες ἐδέχοντο καὶ προσήγοντο τοὺς ἀποστατικῶς τῶν Ἑλλήνων ἔχοντας.* Sed omnium diſtinctiſſime hæc narrat Diodorus xv. 28. alieno tamen loco, ante Sphodriæ ſc. impetum, eadem tamen Olympiade 100. 4. Suſpicatus eſt et-

δῆμον, ὡς οἱ Λακεδαιμόνιοι οὐχ ὅπως τιμωρήσαιντο, ἀλλὰ καὶ ἐπαινέσαιεν τὸν Σφοδρίαν, ὅτι ἐπεβούλευσε ταῖς Ἀθήναις. καὶ ἐκ τούτου οἱ Ἀθηναῖοι ἐπύλωσάν τε τὸν Πειραιᾶ, ναῦς τε ἐναυπηγοῦντο, τοῖς τε Βοιωτοῖς ἐβοήθουν πάσῃ προ-
35 θυμίᾳ. Οἱ δ᾽ αὖ Λακεδαιμόνιοι φρουράν τε ἔφηναν ἐπὶ τοὺς Θηβαίους, καὶ τὸν Ἀγησίλαον νομίσαντες φρονιμώτερον ἂν σφίσι τοῦ Κλεομβρότου ἡγήσεσθαι, ἐδέοντο αὐτοῦ, ἄγειν τὴν στρατιάν. ὁ δὲ εἰπὼν, ὅτι οὐδὲν ἂν, ὃ τῇ πόλει δοκοίη,
36 ἀντειπεῖν—παρεσκευάζετο εἰς τὴν ἔξοδον. Γιγνώσκων δὲ, ὅτι, εἰ μή τις προκαταλήψοιτο τὸν Κιθαιρῶνα, οὐ ῥᾴδιον ἔσται εἰς τὰς Θήβας ἐμβαλεῖν, μαθὼν πολεμοῦντας τοὺς Κλειτορίους τοῖς Ὀρχομενίοις, καὶ ξενικὸν τρέφοντας, ἐκοινολογήσατο αὐτοῖς, ὅπως γένοιτο τὸ ξενικὸν αὐτῷ, εἴ τι
37 δεηθείη. Ἐπεὶ δὲ τὰ διαβατήρια ἐγένετο, πέμψας, πρὶν

iam Weſſelingius, illa præpoſtero ordine tradita eſſe, et comparavit hunc Xenophontis locum. Omiſit tamen Plutarchi locum et alium Xenophontis poſtea afferendum, ex quibus ordo rerum ſatis clare conſtitui poteſt. Diodorus igitur Athenienſes, ait, miſſis legatis civitates Græciæ hortatos eſſe, ut ſuperbum Lacedæmoniorum imperium detrectarent. Primos igitur acceſſiſſe ad partes Athenienſium Chios et Byzantios, deinde Rhodios, Mitylenæos aliarumque inſularum incolas. Aucto ita paulatim ſociorum numero, Athenienſes commune ſociorum concilium inſtituunt, in quo delecti ex unaquaque civitate conſulerent de communi ſalute. Conſeſſus concilii habebatur Athenis, civitati unicuique ſuffragii jus erat, imperium belli Athenienſes gerebant. Poſt Sphodriæ impetum in Piræeum Thebanos etiam in commune concilium ſociorum admiſſos fuiſſe, refert Diodorus; addit præterea, Athenienſes decreviſſe, ut agri per ſortitionem occupati (κληρουχίαι) a colonis ſuis dominis antiquis reſtituerentur, nemoque extra Atticæ fines agri colendi jus haberet; quo facto plures etiam civitates ad partes Athenienſium acceſſiſſe, in primis autem Euboeæ civitates, excepta Heſtiæa. Hactenus Diodorus. Atque hinc perſpicitur, quod ſit, quod infra vi. 2. 1. Athenienſes queruntur de Thebanis χρήματα οὐ συμβαλλομένους εἰς τὸ ναυτικόν. Scilicet ærarium commune erat apud Athenienſes, ut concilii ipſius conſeſſus bellique imperium. De ærario monere oblitus eſt Diodorus. Æginam in ſtudio Lacedæmoniorum perſeveraſſe, ex eodem Xenophontis loco cognoſcimus.

§. 35. ἡγεῖσθαι. Ita cum L. St. ſcripſi. Reliquæ Edd. ἡγήσεσθαι, quod Morus prætulit. Sed ἡγεῖσθαι ex addito ἂν habet ſignificationem futuri temporis.

ἀντειπεῖν. Caſtal. ἀντείπειεν, Leoncl. ἀντείποι probat. Morus excidiſſe putabat δυνηθείη aut ſimile verbum. Equidem ſuperfluum puto ὅτι, nec tamen ideo ejiciendum. Plutarchus Ageſil. c. 26. ἐπεὶ δὲ τὸν υἱὸν Κλεόμβροτον οὐχ ἑώρα πρόθυμον ὄντα πολεμεῖν τοῖς Θηβαίοις, οὕτω δὴ χαίρειν τὸν νόμον ἐάσας, ᾧ πρόσθεν ἐχρῆτο περὶ τῆς στρατείας. Ubi vocem υἱὸν delendam eſſe viderunt Interpretes.

§. 36. Κλειτορίους. Ita ex margine L. St. ſcripſi pro vulgato Κλητορίους. Atque ita ubique nomen hoc populi ſcriptum reperitur in Pauſania.

ἐν Τεγέᾳ αὐτὸς εἶναι, πρὸς τὸν ἄρχοντα τῶν παρὰ τοῖς
Κλειτορίοις ξένων, καὶ μισθὸν δοὺς μηνὸς αὐτοῖς, ἐκέλευσε
προκαταλαβεῖν αὐτοὺς τὸν Κιθαιρῶνα. τοῖς δ' Ὀρχομε-
νίοις εἶπεν, ἕως στρατεία εἴη, παύσασθαι τοῦ πολέμου· εἰ δέ
τις πόλις, στρατιᾶς οὔσης ἔξω, ἐπὶ πόλιν στρατεύσοι, ἐπὶ
ταύτην ἔφη πρῶτον ἰέναι κατὰ τὸ δόγμα τῶν συμμάχων.
Ἐπεὶ δὲ ὑπερέβαλεν [εἰς] τὸν Κιθαιρῶνα, ἐλθὼν εἰς 38
Θεσπιάς, ἐκεῖθεν ὁρμηθείς, ᾔει ἐπὶ τὴν τῶν Θηβαίων χώ-
ραν. εὑρὼν δὲ ἀποτεταφρευμένον τε καὶ ἀπεσταυρωμένον
κύκλῳ τὸ πεδίον καὶ τὰ πλείστου ἄξια τῆς χώρας, στρατο-
πεδευόμενος ἄλλοτε ἄλλῃ, καὶ μετ' ἄριστον ἐξάγων, ἐδῄου
τῆς χώρας τὰ πρὸς ἑαυτοῦ τῶν σταυρωμάτων καὶ τῆς τάφρου.
οἱ γὰρ πολέμιοι, ὅπου ἐπιφαίνοιτο ὁ Ἀγησίλαος, ἀντι-
παρῄεσαν αὐτῷ ἐντὸς τοῦ χαρακώματος ὡς ἀμυνούμενοι.
Καί ποτε ἀποχωροῦντος αὐτοῦ ἤδη τὴν ἐπὶ τὸ στρατόπεδον, 39
οἱ τῶν Θηβαίων ἱππεῖς τε, ὡς ἀφανεῖς ὄντες, ἐξαίφνης
διὰ τῶν ὡδοποιημένων τοῦ χαρακώματος ἐξόδων ἐξελαύνου-

§. 37. *αὐτὸς εἶναι.* Ita recte ſcribendum cenſuit Morus pro vulgato *αὐτούς.*

*ἕως στρατεία εἴη.* In A. J. Br. Caſt. *στρατιά.*

§. 38. *ὑπερέβαλεν τόν.* Auctore Leoncl. Stephan. et Moro omiſit *εἰς* ante articulum.

*ἀπεσταυρωμένον.* Male A. J. Bryl. Caſtal. *ἀπεστρατευμένον.* In Ageſilao i. §. 22. eſt *ἀποτεταφρωμένα καὶ ἀπεσταυρωμένα ἅπαντα ὑπερβὰς τὰς Κυνὸς κεφαλὰς ἐδῄου τὴν χώραν μέχρι τοῦ ἄστεος.* Quo in loco quidem Xenophon non nominavit Cynoſcephalas, ſed ex ordine rerum hic geſtarum et ex §. 15. apparet, fuiſſe illos colles inter Theſpias et Thebas. Diodorus xv. 31. 32. qui hanc expeditionem longe copioſius enarrat, et Chabriæ inprimis prudentiam in acie ſtruenda laudat, plane diverſus abit a Xenophonte; cum eo tamen conſentiunt Cornelius Nepos in Chabria cap. 1. et Polyænus ii. 1. 2. Valli nuſpiam meminit Diodorus, ſed ita narrat cap. 32. *οἱ μὲν Θηβαῖοι λόφον τινὰ κατελάβοντο παραμήκη, σταδίους ἀπέχοντα τῆς πόλεως εἴκοσι* (Cynoſcephalas videtur dicere) *καὶ πλόβλημα ποιησάμενοι τὰς δυσχωρίας, ἀνέμεινον τὴν τῶν πολεμίων ἔφοδον.* Itaque omnis reliqua narratio toto, ut aiunt, cœlo differt. Mihi quidem Diodori et reliquorum ſcriptorum narratio multo veroſimilior eſſe videtur, quam Xenophontea. Videtur enim Xenophon hæc citius tranſiiſſe, ne gloriæ Ageſilai officeret, quem ipſi triginta *σύμβουλοι*, qui cum eo exierant, taxabant timiditatis, quoniam magnis cum copiis, quas accurate enarrat Diodorus, nihil plane effecerat.

*τὰ πρὸς ἕω τῶν.* Ita cum Viro docto in Miſcell. Obſervv. Belgicis vol. iii. p. 430. emendavit Morus vulgatum *πρὸς ἑαυτοῦ*, comparato loco ſimili infra §. 49. unde tamen ſitum locorum non melius cognoſces quam ex tabula geographica.

σι, καὶ, οἷα δὴ ἀπιόντων πρὸς δεῖπνον καὶ συσκευαζομένων
τῶν πελταστῶν, τῶν δὲ ἱππέων τῶν μὲν οὐκέτι καταβεβη-
κότων, τῶν δ᾽ ἀναβαινόντων, ἐπελαύνουσι· καὶ τῶν τε
πελταστῶν συχνοὺς κατέβαλον, καὶ τῶν ἱππέων Κλέωνα
καὶ Ἐπιλυτίδαν Σπαρτιάτας, καὶ τῶν περιοίκων ἕνα,
Εὔδικον, καὶ τῶν Ἀθηναίων τινὰς φυγάδας, οὔπω ἀνα-
40 βεβηκότας ἐπὶ τοὺς ἵππους. Ὡς δὲ ἀναστρέψας σὺν τοῖς
ὁπλίταις ἐβοήθησεν ὁ Ἀγησίλαος, οἵ τε ἱππεῖς ἤλαυνον
ἐναντίοι τοῖς ἱππεῦσι, καὶ τὰ δέκα ἀφ᾽ ἥβης ἐκ τῶν ὁπλι-
τῶν ἔθει σὺν αὐτοῖς· οἱ μέντοι τῶν Θηβαίων ἱππεῖς ἐῴκεσαν
ὑποπεπωκόσι που ἐν μεσημβρίᾳ· ὑπέμενον μὲν γὰρ τοῖς
ἐπελαύνουσιν, ὥστ᾽ ἐξακοντίζειν τὰ δόρατα, ἐξικνοῦντο δ᾽ οὔ.
καὶ ἀναστρέφοντες δὲ ἐκ τούτου, ἀπέθανον αὐτῶν δώδεκα.
41 Ὡς δὲ κατέγνω ὁ Ἀγησίλαος, ὅτι ἀεὶ μετ᾽ ἄριστον οἱ
πολέμιοι ἐφαίνοντο, θυσάμενος ἅμα τῇ ἡμέρᾳ ἦγεν ὡς
οἷόν τε τάχιστα, καὶ παρῆλθε δι᾽ ἐρημίας εἴσω τῶν χαρα-

§. 39. *τῶν μὲν οὐκέτι.* Ita scripsi cum Castal. pro vulgato *ἔτι*, quod jungi cum perfecto sensus h. l. vetat. *ἀναβαινόντων.* A. J. Br. Cast. *ἀναβεβηκότων.* Equidem hic *ἔτι* inferendum censeo, ut priori *οὐκέτι* respondeat. Idem deinceps est *οὔπω ἀναβεβηκότας*, ex quo manifestum est, paulo antea *οὐκέτι καταβεβηκότων* legendum esse.

§. 40. *ὁπλίταις.* Male A. J. Bryl. Castal. *ὅπλοις.* Deinceps Margo L. *ἐναντίον.*

*οἱ μέντοι.* Castal. *οἱ μέν.*

*ὑποπεπωκόσι.* Editionum A. J. Br. vitiosam lectionem *ὑποπεμπλωκόσι* revocavit Morus. Castal. edidit *ὑποπεπλωκόσι*, quod cum Porto probavit Leonclav. interpretatus *languidiores.* Unice probanda erat emendatio a Camerario et Leopardo Emendat. ix. 23. jam olim proposita, quam confirmat locus simillimus infra vi. 4. 8. Similiter *ὑποπεπωκὼς* est in Symposio c. 9. ubi Zeunius ex Suetonio Neron. c. 20. annotavit *subbibere.*

*ὑπέμενον μὲν γάρ.* In A. J. Bryl. Cast. *μὲν* omittitur. Deinde Morus *τοὺς ἐπελαύνοντας* emendat, aut *ὑπέμενον* corruptum esse censet. Nisi dictum est ut *ὑποστῆναί τινι* apud Xenophontem.

*ἐκ τούτου.* Steph. malebat *ἐκ τοσούτου*, quod mihi non tam displicet quam Moro. Supra enim Noster iv. c. 4. §. 16. de peltastis Iphicratis, Lacedæmonios timentibus, hæc notarat: *ὡς ἐντὸς ἀκοντίσματος οὐ προσῄεσαν τοῖς ὁπλίταις· ἤδη γάρ ποτε καὶ ἐκ τοσούτου διώξαντες οἱ νεώτεροι τῶν Λακεδαιμονίων ἑλόντες ἀπέκτεινάν τινας αὐτῶν.* Ex quo apparet, verba hujus nostri loci, *ὥστ᾽ ἐξακοντίζειν τὰ δόρατα*, idem significare, atque in illo loco verba: *ἐντὸς ἀκοντίσματος*, adeoque etiam *ἐκ τοσούτου* locum hic habere posse. Sed ibi Margo Leonclav. habet *ἐκ τούτου* adscriptum, nescio unde.

§. 41. *ἄριστον οἱ πολέμιοι.* Edd. A. J. Br. Cast. interserunt *καὶ*, quod revocavit Morus, ut hostes dicantur et ipsi post prandium prodire, prout fecerat Agesilaus §. 38. Sed hæc ratio falsa est.

κωμάτων. ἐκ δὲ τούτου τὰ ἐντὸς ἔτεμνε καὶ ἔκαε μέχρι τοῦ ἄστεος. ταῦτα δὲ ποιήσας, καὶ πάλιν ἀποχωρήσας εἰς Θεσπιὰς, ἐτείχιζε τὸ ἄστυ αὐτοῖς· καὶ ἐκεῖ μὲν Φοιβίδαν κατέλιπεν ἁρμοστὴν, αὐτὸς δὲ ὑπερβαλὼν πάλιν εἰς τὰ Μέγαρα, τοὺς μὲν ξυμμάχους διῆκε, τὸ δὲ πολιτικὸν στράτευμα ἐπ' οἴκου ἀπήγαγεν.

42 Ἐκ δὲ τούτου ὁ Φοιβίδας, ἐκπέμπων μὲν ληστήρια, ἔφερε καὶ ἦγε τοὺς Θηβαίους, καταδρομὰς δὲ ποιούμενος, ἐκακούργει τὴν χώραν. οἱ δ' αὖ Θηβαῖοι, ἀντιτιμωρεῖσθαι βουλόμενοι, στρατεύουσι πανδημεὶ ἐπὶ τὴν τῶν Θεσπιέων χώραν. ἐπεὶ δ' ἦσαν ἐν τῇ χώρᾳ, ὁ Φοιβίδας, σὺν τοῖς πελτασταῖς προσκείμενος, οὐδαμοῦ εἴα αὐτοὺς ἀποσκεδάννυσθαι τῆς φάλαγγος· ὥστε οἱ Θηβαῖοι, μάλα ἀχθόμενοι τῇ ἐμβολῇ, θᾶσσον τὴν ἀποχώρησιν ἐποιοῦντο, καὶ οἱ ὀρεωκόμοι δὲ, ἀποῤῥίπτοῦντες ὃν εἰλήφεσαν καρπὸν, ἀπήλαυνον οἴκαδε. οὕτω δεινὸς φόβος τῷ στρατεύματι ἐνέπεσεν. 43 Ὁ δὲ ἐν τούτῳ θρασέως ἐπέκειτο, περὶ αὐτὸν μὲν ἔχων τὸ πελταστικὸν, τὸ δὲ ὁπλιτικὸν ἐν τάξει ἕπεσθαι κελεύσας. καὶ ἐγένετο ἐν ἐλπίδι τροπὴν τῶν ἀνδρῶν ποιήσασθαι· αὐτός τε γὰρ ἐῤῥωμένως ἡγεῖτο, καὶ τοῖς ἄλλοις ἅπτεσθαι τῶν ἀνδρῶν παρεκελεύετο, καὶ τοὺς τῶν Θεσπιέων ὁπλίτας ἀκολουθεῖν ἐκέλευεν. 44 Ὡς δ' ἀποχωροῦντες οἱ τῶν Θηβαίων ἱππεῖς ἐπὶ νάπει ἀδιαβάτῳ ἐγίγνοντο, πρῶτον μὲν ἠθροίσθησαν, ἔπειτα δὲ ἀνέστρεφον, διὰ τὸ ἀπορεῖν, ὅποι δια-

§. 42. Φοιβίδας. Longe aliter rem narrat Diodorus xv. 33. οἱ δὲ Θηβαῖοι μετὰ τὴν ἀπαλλαγὴν τὴν Ἀγησιλάου στρατεύσαντες ἐπὶ Θεσπίας, τὴν μὲν προφυλακὴν οὖσαν ἀνδρῶν διακοσίων ἀνεῖλον, τῇ δὲ πόλει προσβολὰς συνεχεῖς ποιούμενοι καὶ μηδὲν ἀξιόλογον πράξαντες, ἀπῆγον τὴν δύναμιν εἰς τὰς Θήβας—Φοιβίδας δὲ ὁ Λακεδαιμόνιος, ἀξιόλογον φρουρὰν ἐν ταῖς Θεσπιαῖς ἔχων, ἐκχυθεὶς ἐκ τῆς πόλεως καὶ προπετῶς τοῖς ἀποχωροῦσι Θηβαίοις ἐπιθέμενος τῶν μὲν στρατιωτῶν ἀπέβαλε πλείους τῶν πεντακοσίων, αὐτὸς δὲ λαμπρῶς ἀγωνισάμενος καὶ πολλοῖς ἐναντίοις τραύμασι περιπεσὼν ἡρωϊκῶς κατέστρεψε τὸν βίον.

θᾶσσον. Margo Leoncl. θάσσονα.

τῷ στρατεύματι. A. J. Br. Castal. τοῖς στρατεύμασι.

§. 43. τροπήν. Ita recte emendavit Fr. Portus vulgatam A. J. Bryl. Castal. scripturam: πρὸς τὴν πονήσασθαι.

§. 44. ἀνέστρεφον. De pugna hac Phœbidæ cum Thebanis, duce Gor-

βαῖεν. οἱ μὲν οὖν πελτασαὶ [καὶ] ὀλίγοι ὄντες οἱ πρῶτοι, φοβηθέντες αὐτοὺς, ἔφυγον· οἱ δὲ ἱππεῖς αὖ ὡς τοῦτο εἶδον, ἐδιδάχθησαν ὑπὸ τῶν φευγόντων ἐπιθέσθαι αὐτοῖς.

45 Καὶ ὁ μὲν δὴ Φοιβίδας, καὶ δύο ἢ τρεῖς μετ' αὐτοῦ, μαχόμενοι ἀπέθανον· οἱ δὲ μισθοφόροι, τούτου γενομένου, πάντες ἔφυγον. ἐπεὶ δὲ φεύγοντες ἀφίκοντο πρὸς τοὺς ὁπλίτας τῶν Θεσπιέων, κἀκεῖνοι, μάλα πρόσθεν μέγα φρονοῦντες μὴ ὑπείξειν τοῖς Θηβαίοις, ἔφυγον, μηδέν τι πάνυ διωκόμενοι, (καὶ γὰρ ἦν ἤδη ὀψὲ) καὶ ἀπέθνησκον μὲν οὐ πολλοὶ, ὅμως δὲ οὐ πρόσθεν ἔστησαν οἱ Θεσπιεῖς, πρὶν ἐν τῷ τείχει ἐγένοντο.

46 Ἐκ δὲ τούτου πάλιν τὰ τῶν Θηβαίων ἀνεζωπυρεῖτο, καὶ ἐστρατεύοντο εἰς Θεσπιὰς, καὶ εἰς τὰς ἄλλας τὰς περιοικίδας πόλεις. ὁ μέντοι δῆμος ἐξ αὐτῶν εἰς τὰς Θήβας ἀπεχώρει· ἐν πάσαις γὰρ ταῖς πόλεσι δυναστεῖαι καθειστήκεσαν, ὥσπερ ἐν Θήβαις· ὥστε καὶ οἱ ἐν ταύταις ταῖς πόλεσι φίλοι τῶν Λακεδαιμονίων βοηθείας ἐδέοντο. μετὰ δὲ τὸν Φοιβίδα θάνατον, πολέμαρχον μὲν καὶ μόραν οἱ Λακεδαιμόνιοι κατὰ θάλατταν πέμψαντες, τὰς Θεσπιὰς ἐφύλαττον.

47 Ἐπεὶ δὲ τὸ ἔαρ ἐπέστη, πάλιν ἔφαινον φρουρὰν οἱ Λακεδαιμόνιοι εἰς τὰς Θήβας, καὶ τοῦ Ἀγησιλάου, ἧπερ τὸ πρόσθεν, ἐδέοντο ἡγεῖσθαι. ὁ δὲ ὑπὲρ τῆς ἐμβολῆς ταυτὰ γιγνώσκων, πρὶν καὶ τὰ διαβατήρια θύεσθαι, πέμψας

gida, ita Polyænus ii. 5. 2. στενοπόριον ἦν τὸ χωρίον. Γοργίας φεύγειν προσποιούμενος τοὺς πελταστὰς ἐπὶ πόδα ἀνεχώρει. τῶν δὲ πολεμίων ἐγκειμένων, ὑπήγαγεν αὐτοὺς εἰς τὴν εὐρυχωρίαν. ἔνθα δὴ Γοργίας κράνος ἐπὶ δόρατος ἀνατείνας σημεῖον ἔδωκεν ἀναστροφῆς· ὡς δὲ ἐν πλατυτέρῳ χωρίῳ τὸ ἱππικὸν ἀνέστρεψε, τὴν ἐμβολὴν τῶν ἵππων οὐ φέροντες οἱ πελτασταὶ, προτροπάδην ἐς Θεσπιὰς ἔφυγον, ὧν οἱ μὲν ἔπεσον ἐν τῇ φυγῇ, Φοιβίδας δὲ διώκων αὐτίκα φεύγων ᾤχετο. Ita locus ille legendus eſt. Ultima tamen verba ſana non præſto. Videtur enim potius de morte Phœbidæ voluiſſe narrare Polyænus.

*καὶ ὀλίγοι.* In Bryl. eſt πελτασταὶ ὀλίγοι ὄντες καὶ πρῶτοι. Caſt. vulgatam lectionem poſuit, omiſſo tamen *καὶ*, quod fecit etiam Stephan. damnavit etiam L. copulam.

§. 45. *Φοιβίδας.* Mortem Phœbidæ memorat etiam Plutarchus Pelop. c. 15. qui breviter hæc tranſcurrit.

§. 47. *οἱ Λακεδαιμόνιοι.* Margo L. et Steph. *οἱ ἔφοροι*, quod cum uſu Xenophonteo congruit, ut altera etiam lectio.

πρὸς τὸν ἐν Θεσπιαῖς πολέμαρχον, ἐκέλευε προκαταλαβεῖν τὸ ὑπὲρ τῆς κατὰ τὸν Κιθαιρῶνα ὁδῦ ἄκρον, καὶ φυλάττειν, ἕως ἂν αὐτὸς ἔλθοι. Ἐπεὶ δὲ τῦτο ὑπερβαλὼν 48 ἐν ταῖς Πλαταιαῖς ἐγένετο, πάλιν προσεποιήσατο, εἰς τὰς Θεσπιὰς ἰέναι πρῶτον, καὶ πέμπων ἀγοράν τε ἐκέλευε παρασκευάζειν, καὶ τὰς πρεσβείας ἐκεῖ περιμένειν. ὥστε οἱ Θηβαῖοι ἰσχυρῶς τὴν πρὸς Θεσπιὰς εἰσβολὴν ἐφύλαττον. Ὁ δὲ Ἀγησίλαος ἅμα τῇ ἡμέρᾳ θυσάμενος, ἐπο- 49 ρεύετο τὴν ἐπ᾽ Ἐρυθρᾶς· καὶ ὡς στρατεύματι δυοῖν ἡμεραιν ὁδὸν ἐν μιᾷ κατανύσας, ἔφθασεν ὑπερβὰς τὸ κατὰ Σκῶλον σταύρωμα, πρὶν ἐλθεῖν τοὺς Θηβαίϋς ἀπὸ τῆς φυλακῆς, καθ᾽ ἣν τὸ πρόσθεν εἰσῆλθε. τῦτο δὲ ποιήσας, τὰ πρὸς ἕω τῆς τῶν Θηβαίων πόλεως ἐδῄϋ, μέχρι τῆς Ταναγραίων· (ἔτι γὰρ τότε καὶ τὴν Τάναγραν οἱ περὶ Ὑπατόδωρον, φίλοι ὄντες τῶν Λακεδαιμονίων, εἶχον) καὶ ἐκ τῦτϋ δὴ ἀπῄει, ἐν ἀριστερᾷ ἔχων τὸ τεῖχος. Οἱ δὲ Θη- 50 βαῖοι ἐπελθόντες, ἀντετάξαντο ἐπὶ Γραὸς στήθει, ὄπισθεν

§. 48. πρὸς Θεσπιὰς εἰσβολήν. Margo L. Θεσπιέων ἐμβολήν. De ipſa re ita Polyænus ii. 1. 11. Ἀγησίλαος πυθόμενος Θηβαίους τὴν κατὰ Σκῶλον φυλάττειν πάροδον, πάσας τὰς ἀπὸ τῶν Ἑλλήνων πρεσβείας ἐν Θεσπιαῖς ἀναμένειν συνέταξεν. Θηβαῖοι, ταῦτα πυθόμενοι, μετῆλθον ἐπὶ τὴν κατὰ Θεσπιὰς πάροδον καὶ ταύτῃ παρεφύλαττον. Ἀγησίλαος, δυοῖν ἡμερῶν ὁδὸν ἀνύσας ἡμέραις δύο (lege ἡμέρᾳ μιᾷ) τὴν κατὰ Σκῶλον πάροδον ἐρήμην εὑρὼν, ἄνευ μάχης διῆλθεν.

§. 49. ἅμα τῇ. In L. St. inſeritur ante hæc τῇ ὑστεραίᾳ, ſed ut ſuſpectum notatur.

σταύρωμα. A. J. Br. Caſtal. στράτευμα. In Ageſilao ii. 22. eſt τὰ κατὰ Σκῶλον σταυρώματα καὶ τάφρους. Scoli ſitum notavit Pauſanias ix. p. 718.

Ὑπατόδωρον. J. Bryl. Caſt. Ὑπαντόδωρον.

§. 50. ἐπελθόντες. Margo L. ὑπελθόντες. De hac pugna eſt locus Plutarchi in Pelop. c. 15. πολλὺς δὲ καὶ πρὸς Τανάγραν τρεψάμενος καὶ αὐτὸν Πανθοΐδην τὸν ἁρμοστὴν ἀνεῖλεν. Cæterum Dodwellus in Annalibus Xenophonteis ad an. 1. Olympiad. 101. refert hanc pugnam ad Tanagram, hoc uſus argumento, quod Tanagram habebant adhuc Lacedæmonii in ſecunda Ageſilai expeditione, quam Dodwellus refert ad Olymp. 100. 4. Ex quo apparet, virum doctum diverſam putaſſe hanc ad Tanagram pugnam a ſecunda Ageſilai expeditione. Male etiam ponit, Tanagram tunc captam fuiſſe a Thebanis; Plutarchus enim de capta urbe tacet.

Γραὸς στήθει. Weſſeling ad Antonini Itiner. p. 327. non longe, inquit, a Thebis abfuiſſe locum, quem Γραῖαν appellabant, et laudat Stephanum Byzantinum, qui ita ſub nomine Τανάγρα: τὴν δὲ Γραῖαν ἔνιοι λέγϋσι τὸ νῦν τῆς Θηβαϊκῆς καλϋμενον ἕδος. Deinde, comparato Polyæni loco ii. 1. ὁ δὲ κατέλαβον τὸν λόφον ὑπὲρ τῆς ὁδῦ δύσβατον, καλϋμενον Ῥέας ἕδος, emendat Xenophontem cum Polyæno, ita ut Γραίας ἕδει ſcribat. Recte! niſi quod ad Tanagram magis pertinuiſſe

ἔχοντες τήν [τε] τάφρον καὶ τὸ ϛαύρωμα, νομίζοντες, καλὸν εἶναι ἐνταῦθα διακινδυνεύειν· καὶ γὰρ ἦν ϛενὸν ταύτῃ ἐπιεικῶς καὶ δύσϐατον τὸ χωρίον. ὁ δ᾽ Ἀγησίλαος, ἰδὼν ταῦτα, πρὸς ἐκείνȣς μὲν οὐκ ἦγεν, ἐπισιμώσας δὲ πρὸς

51 τὴν πόλιν ᾔει. Οἱ δ᾽ αὖ Θηϐαῖοι, δείσαντες περὶ τῆς πόλεως, ὅτι ἐρήμη ἦν, ἀπολιπόντες ᾗ [ἐνταῦθα] παρατεταγμένοι ἦσαν, δρόμῳ ἔθεον πρὸς τὴν πόλιν τὴν ἐπὶ Ποτνιὰς ὁδόν· ἦν γὰρ αὕτη ἀσφαλεϛέρα. καὶ μέντοι ἐδόκει καλὸν γενέσθαι τὸ ἐνθύμημα τȣ̃ Ἀγησιλάȣ, ὅτι, πόῤῥω ἀπαγαγὼν ἀπὸ τῶν πολεμίων, ἀποχωρεῖν δρόμῳ αὐτοὺς ἐποίησεν· ὅμως μέντοι ἐπιπαραθέοντας αὐτȣ̀ς τῶν πολε-

hos colles, aut fines Tanagræi et Thebani agri conftituiffe puto. Tanagræi urbis originem ad Pœmandrum referebant, cujus uxorem ob fenectutem provectam Γραῖαν, et fenfim ipfam urbem Tanagram ejus nomine appellaffe dicuntur apud Paufaniam ix. pag. 748. Hujus igitur ftatua in colle, inter Thebas et Tanagram fito, fuiffe videtur, Γραίας ἕδος dicta.

τὴν τάφρον. Interfertum τε recte omittunt A. J. Bryl. Caft. quos fequor. Diodor. xv. 34. nec in hac expeditione valli foffæve meminit, fed ita rem narrat: οὐ πολλῷ δ᾽ ὕϛερον χρόνῳ πάντων Λακεδαιμονίων τῇ αὐτῇ δυνάμει ϛρατευσάντων ἐπὶ τὰς Θήϐας, οἱ μὲν Θηϐαῖοι δυσχωρίας τινὰς ἑτέρας καταλαμϐανόμενοι διεκώλυον μὲν τȣ̀ς πολεμίȣς λεηλατεῖν τὴν χώραν, κατὰ ϛόμα δὲ πρὸς ἅπασαν τὴν δύναμιν ἐν τοῖς πεδίοις οὐκ ἐτόλμων παρατάξασθαι. τοῦ δ᾽ Ἀγησιλάȣ προμαχομένȣ, συγκατέϐησαν ἐκ τȣ̃ (deeft λόφȣ) κατ᾽ ὀλίγον πρὸς τὸν ἀγῶνα. γενομένης δὲ μάχης ἐπὶ πολὺν χρόνον ἰσχυρᾶς, τὸ μὲν πρῶτον οἱ περὶ τὸν Ἀγησίλαον ἐπροτέρȣν, μετὰ δὲ ταῦτα τῶν ἐκ τῆς πόλεως Θηϐαίων ἐκχυθέντων πανδημεὶ θεωρῶν τὸ πλῆθος τῶν ἐπιῤῥεόντων ὁ Ἀγησίλαος, ἀνεκαλέσατο τῇ σάλπιγγι τȣ̀ς ϛρατιώτας ἀπὸ τῆς μάχης· οἱ δὲ Θηϐαῖοι τρόπαιόν τε ἔϛησαν καὶ etc.

§. 51. ᾗ ἐνταῦθα. Pofterius delendum cenfuit Morus. In L. et St. pro utroque eft fimpliciter ἔνθα. Paulo antea Leoncl. legere jubet ἀποσιμώσας, ufus exemplo Thucydidis iv. 24. ubi Schol. explicat ὑπαναχωρῆσαι; et Hefychii loco, ubi ἀποσιμȣ̃ν explicatur per ἀποϛρέφειν. Eft flexo itinere abducere exercitum, agmen. Polyænus ii. 1. 12. hæc ita expreffit: προσποιεῖται δὴ λοξώσας τὴν ϛρατιὰν ἄγειν ἐπὶ τὸ ἄϛυ τῶν Θηϐῶν. καὶ γὰρ ἦν ἔρημον ἐξεϛρατευκότων ἁπάντων. Θηϐαῖοι περὶ τῇ πόλει δείσαντες τὸν λόφον καταλιπόντες ἠπείγοντο ἐς τὸ ἄϛυ. Ἀγησίλαος τὸν λόφον ἀκωλύτως διῆλθεν. Vides, nec Polyænum valli foffæve meminiffe, fed colles a natura collocatos propugnaculorum inftar nominat. Cæterum velitatio et pugna intra hos colles feu vallos accidit; et fenfum totius loci fatis bene collegit Polyænus. Idem deinde fect. 15. iterum hanc expeditionem narrans, magis cum Xenophonte in eo confentit, quod vallum foffamque memorat: Θηϐαῖοι τὸ πεδίον διετάφρευσαν καὶ ἀπεχαράκωσαν· τȣ̃ χαρακώματος ἑκατέρωθεν δύο πάροδοι ϛεναί· βȣλόμενος Ἀγησίλαος παρελθεῖν, πλινθίον τάξας κοῖλον προῆγεν ἐπὶ τὴν πάροδον τὴν κατὰ τὸ εὐώνυμον (verfus Thefpias) Θηϐαίων ἐνταῦθα (Scolum intelligi patet) πάντων ἀντιταξαμένων· ὁ δὲ μεταϐαλλόμενος ἀπ᾽ ȣ̓ρᾶς ἐπὶ τὴν ἑτέραν πάροδον et cet.

ἐπὶ Ποτνιάς. Br. Caftal. ἀπό. Potniarum rudera a Thebis egreffus ftadiorum decem intervallo ultra Afopum fitarum reperit Paufan. ix. p. 726. Fuerunt igitur Potniæ in latere orientali Thebarum fitæ.

τȣ̃ Ἀγησιλάου. Articulum inferui ex A. J. Br. Caftal.

μάρχων τινὲς ἐπέδραμον σὺν ταῖς μόραις. Οἱ μέντοι 52 Θηβαῖοι ἀπὸ τῶν λόφων τὰ δόρατα ἐξηκόντιζον, ὥστε καὶ ἀπέθανεν Ἀλύπητος, εἷς τῶν πολεμάρχων, ἀκοντισθεὶς δόρατι· ὅμως δὲ καὶ ἀπὸ τούτου τοῦ λόφου ἐτράπησαν οἱ Θηβαῖοι· ὥστε ἀναβάντες οἱ Σκιρῖται, καὶ τῶν ἱππέων τινὲς, ἔπαιον τοὺς τῶν Θηβαίων τελευταίους, παρελαύνοντας εἰς τὴν πόλιν. Ὡς μέντοι ἐγγὺς τοῦ τείχους ἐγένοντο, 53 ὑποστρέφουσιν οἱ Θηβαῖοι· οἱ δὲ Σκιρῖται ἰδόντες αὐτοὺς, θᾶττον ἢ βάδην ἀπῆλθον. καὶ ἀπέθανε μὲν οὐδεὶς αὐτῶν· ὅμως δὲ οἱ Θηβαῖοι τρόπαιόν [τε] ἐστήσαντο, ὅτι ἀπεχώρησαν οἱ ἀναβάντες. Ὁ μέντοι Ἀγησίλαος, ἐπεὶ ὥρα 54 ἦν, ἀπελθὼν ἐστρατοπεδεύσατο, ἔνθαπερ τοὺς πολεμίους εἶδε παρατεταγμένους· τῇ δὲ ὑστεραίᾳ ἀπήγαγε τὴν ἐπὶ Θεσπιάς. θρασέως δὲ παρακολουθούντων τῶν πελταστῶν, οἳ ἦσαν μισθοφόροι τοῖς Θηβαίοις, καὶ τὸν Χαβρίαν ἀνακαλούντων, ὅτι οὐκ ἠκολούθει, ὑποστραφέντες οἱ τῶν Ὀλυνθίων ἱππεῖς, (ἤδη γὰρ κατὰ τοὺς ὅρκους συνεστρατεύοντο) ἐδίωξάν τε αὐτοὺς πρὸς ὄρθιον, καθάπερ ἠκολούθουν, καὶ ἀπέκτειναν αὐτῶν μάλα πολλούς· ταχὺ γὰρ πρὸς ἄναντες εὐήλατον ἁλίσκονται πεζοὶ ὑπὸ ἱππέων. Ἐπεὶ δ᾽ ἐγένετο 55 ὁ Ἀγησίλαος ἐν ταῖς Θεσπιαῖς, εὑρὼν στασιάζοντας τοὺς πολίτας, καὶ βουλομένων τῶν φασκόντων λακωνίζειν ἀποκτεῖναι τοὺς ἐναντίους, (ὧν καὶ Μένων ἦν) τοῦτο μὲν οὐκ ἐπέτρεψε· διαλλάξας δὲ αὐτοὺς, καὶ ὅρκους ὀμόσαι ἀλλήλοις ἀναγκάσας, οὕτως ἀπῆλθε πάλιν διὰ τοῦ Κιθαιρῶνος τὴν ἐπὶ Μέγαρα. καὶ ἐκεῖθεν τοὺς μὲν συμμάχους ἀφῆκε, τὸ δὲ πολιτικὸν στράτευμα οἴκαδε ἀπήγαγε.

§. 52. τὰ δόρατα. Articulum omittunt A. J. Bryl. Caſtal.
εἰς τὴν πόλιν. Præpoſitio abeſt A. J. Br. Caſtal. Inſeruit Steph.
§. 53. τρόπαιόν τε. Delere jubet τε Morus, niſi cum St. et Leoncl. excidiſſe aliquid, aut legendum eſſe τι, ſuſpiceris. Stephani γε improbat Leoncl.

56 Μάλα δὲ πιεζόμενοι οἱ Θηβαῖοι σπάνει σίτου, διὰ τὸ δυοῖν ἐτοῖν μὴ εἰληφέναι καρπὸν ἐκ τῆς γῆς, πέμπουσιν ἐπὶ δυοῖν τριήροιν ἄνδρας εἰς Παγασὰς ἐπὶ σῖτον, δέκα τάλαντα δόντες. Ἀλκέτας δὲ ὁ Λακεδαιμόνιος, φυλάττων Ὠρεὸν, ἐν ᾧ ἐκεῖνοι συνεωνοῦντο τὸν σῖτον, ἐπληρώσατο τρεῖς τριήρεις, ἐπιμεληθεὶς, ὅπως μὴ ἐξαγγελθείη. ἐπεὶ δὲ ἀπήγετο ὁ σῖτος, λαμβάνει ὁ Ἀλκέτας τόν τε σῖτον, καὶ τὰς τριήρεις, καὶ τοὺς ἄνδρας ἐζώγρησεν, οὐκ ἐλάττους ὄντας ἢ τριακοσίους. τούτους δὲ εἷρξεν ἐν τῇ ἀκροπόλει, οὗπερ αὐτὸς ἐσκήνου. 57 Ἀκολουθοῦντος δέ τινος τῶν Ὠρεϊτῶν παιδὸς, ὡς ἔφασαν, μάλα καλοῦ τε κἀγαθοῦ, καταβαίνων ἐκ τῆς ἀκροπόλεως περὶ τοῦτον ἦν. καταγνόντες δὲ οἱ αἰχμάλωτοι τὴν ἀμέλειαν, καταλαμβάνουσι τὴν ἀκρόπολιν, καὶ ἡ πόλις ἀφίσταται· ὥστ' εὐπόρως ἤδη οἱ Θηβαῖοι σῖτον παρεκομίζοντο.

58 Ὑποφαίνοντος δὲ πάλιν τοῦ ἦρος, ὁ μὲν Ἀγησίλαος κλινοπετὴς ἦν. ὅτε γὰρ ἀπῆγε τὸ στράτευμα ἐκ τῶν Θηβῶν, ἐν τοῖς Μεγάροις, ἀναβαίνοντος αὐτοῦ ἐκ τοῦ Ἀφροδισίου εἰς τὸ ἀρχεῖον, ῥήγνυται ὁποιαδὴ φλὲψ, καὶ ἐρρύη ἐκ

Olymp. 101. $\frac{4}{1}$.

§. 56. Παγασάς. Theſſaliæ locus maritimus, a quo ſinus Pagaſæus dictus fuit.

Ὠρεόν. Junt. Caſtal. Ὠρεών. Urbs Eubœæ binominis Hiſtiæa, deinde Oreus dicta, a Pericle fuit deſolata. Hinc odium ejus in Athenienſes perpetuum. Cf. Weſſeling ad Diodor. xv. 30. Quartam Eubœæ partem tenuiſſe Oreitas, auctor eſt Demoſthenes contra Ariſtocr. pag. 691. Stratagema ipſum narrat copioſius Polyænus ii. 7. Ἀλκέτας ἀπὸ τῆς Ἱστιαίας ὁρμώμενος, βουλόμενος λαθεῖν, πεπληρωκὼς ναῦς πολλὰς, καθελκύσας τριήρη μίαν καὶ ἐς ταύτην ἀνὰ μέρος ἐμβιβάζων τοὺς στρατιώτας, ἵνα δοκοίη τοῖς πολεμίοις ἓν σκάφος ἔχειν· ἦν δὲ τῶν τριῶν ἁπασῶν τὰ κληρώματα. Ita locus ille corrigendus eſt. Reliqua ſupplenda ſunt ex Frontino iv. 7. ſic: Quodam deinde tempore omnes naves in Thebanos tranſnavigantes immiſit, et commeatibus eorum potitus eſt. De Oreo ſuſpicio mihi incidit non levis, diverſo eam urbem loco poſitam fuiſſe, poſtquam Heſtiææ incolæ a Pericle fuerunt expulſi. Suſpicionem hanc movit mihi primum locus Diodori antea laudatus, mendoſus tamen, deinde confirmavit eam locus Plutarchi in Amatorio p. 97. ed. Reiſkii, ubi Lacedæmonii harmoſtæ, Ariſtodemi, amor et ſcelus in puerum Oreitam narratur: Ibi enim pater pueri dicitur fuiſſe: ἐξ Ὠρεοῦ πόλεως τῆς Ἑστιαιάτιδος. Aliter ratio reddi nulla poteſt probabilis, quare Xenophon ſupra ii. 2. Hiſtiæos, nunc Oreitas appellet.

§. 58. ἀρχεῖον. Plutarchus Ageſ. c. 27. πρὸς τὸ ἀρχεῖον εἰς τὴν ἀκρόπολιν. Nihil ille de vena rupta, ſed ita morbi initium tradit: σπάσμα καὶ πόνος

τοῦ σώματος αἷμα εἰς τὸ ὑγιὲς σκέλος. γενομένης δὲ τῆς κνήμης ὑπερόγκȣ, καὶ ὀδυνῶν ἀφορήτων, Συρακȣ́σιός τις ἰατρὸς σχάζει τὴν παρὰ τῷ σφυρῷ φλέβα αὐτȣ̃. ὡς δὲ ἅπαξ ἤρξατο, ἔῤῥει αὐτῷ νύκτα τε καὶ ἡμέραν τὸ αἷμα, καὶ πάντα ποιȣ̃ντες ȣ̓κ ἐδύναντο σχεῖν τὸ αἷμα, πρὶν ἐλειποψύχησε. τότε μέντοι γε ἐπαύσατο. καὶ ȣ̔́τως ἐκεῖνος μὲν ἀποκομισθεὶς εἰς Λακεδαίμονα, ἠῤῥώστει τό τε λοιπὸν θέρος, καὶ διὰ χειμῶνος.

Οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ ἔαρ ὑπέφαινε, πάλιν φρȣράν τε ἔφαινον τοῖς Θηβαίοις, καὶ Κλεόμβροτον ἡγεῖσθαι ἐκέλευον. ἐπεὶ δ᾽ ἔχων τὸ στράτευμα πρὸς τῷ Κιθαιρῶνι ἐγένετο, προῄεσαν αὐτῷ οἱ πελτασταὶ, ὡς προκαταληψόμενοι τὰ ὑπὲρ τῆς ὁδȣ̃. Θηβαίων δὲ καὶ Ἀθηναίων προκατέχοντές τινες τὸ ἄκρον, τέως μὲν εἴων αὐτȣ̀ς ἀναβαίνειν· ἐπεὶ δ᾽ ἐπ᾽ αὐτοῖς ἦσαν, ἐξαναστάντες ἐδίωκον, καὶ ἀπέκτειναν περὶ τετταράκοντα. τȣ́τȣ δὲ γενομένȣ, ὁ Κλεόμ- 59

ἰσχυρὸς ἔλαβε τὸ ὑγιὲς σκέλος· ἐκ δὲ τȣ́τȣ διογκωθὲν μεστὸν αἵματος ἔδοξε γεγονέναι καὶ φλεγμονὴν ὑπερβάλλȣσαν παρεῖχεν.

παρὰ τῷ σφυρῷ. Plutarchus ὑπὸ τῷ σφ.

αἷμα. Stephan. et Leonclav. ῥεῦμα.

λοιπὸν θέρος. Æſtate igitur Megaris tranſlatus fuit Lacedæmonem, ibique decubuit uſque ad ver proximum, de quo agit Xenophon. Contra Dodwellus reditum ex Thebanorum ditione et Megaris aſſignat exeunti hiemi, veri proximæ. Sed is male copulavit verba Xenophontis, ex quibus ſenſum illum elicit: Ita enim ille ſub Olymp. 100. 4. Inde lecto, inquit, adfixus eſt: ὑποφαίνοντος πάλιν τȣ̃ ἦρος, inquit Xenophon; additque paucis interpoſitis ἠῤῥώστει τότε λοιπὸν θέρος καὶ διὰ χειμῶνος. At Xenophon cum novi anni initium deſignaſſet: ὑποφαίνοντος πάλιν τοῦ ἦρος, obiter mentionem injicit morbi Ageſilai, ut cauſam daret, cur tunc non ipſe, ſed Cleombrotus fuerit miſſus contra Thebanos. Decubuerat ſcilicet Ageſilaus a reditu a Megaris: τότε λοιπὸν θέρος καὶ διὰ χειμῶνος uſque ad ver; de quo ipſo Xenophon ait: ὑποφαίνοντος δὲ πάλιν τȣ̃ ἦρος.

§. 59. τοῖς Θηβαίοις. Dictum pro ἐπὶ τȣ̀ς Θηβαίους, monente Moro.

προῄεσαν. Ita cum Moro ex margine L. et Steph. ſcripſi pro προσῄεσαν.

τετταράκοντα. De hac expeditione loqui puto Plutarchum in Pelopida c. 25. τῆς δὲ πρὸς Πλαταιὰς ἱππομαχίας, ἣν πρὸ τῶν Λευκτρικῶν ἐνίκησαν ἡγουμένȣ Χάρωνος, hujus ſcilicet pugnæ picturam, ab Androcyde Cyziceno factam, dedicare volebant Thebani. De eadem ib. pag. 375. ed. Reiſke: ἐν ᾗ Γεράνδαν τινὰ τῶν ἀσήμων Σπαρτιατῶν καὶ τεσσαράκοντα μετ᾽ αὐτȣ̃ πεσεῖν, ἄλλο δ᾽ ȣ̓δὲν μέγα πραχθῆναι λέγȣσι. De pugna enim, ad Tegyras duce Pelopida commiſſa, non loquitur Plutarchus. Locus etiam ſatis congruit, vicinia Platæarum, ubi aſcendentes Lacedæmonios adorti Thebani in fugam converterant. Androcydes pictor idem videtur, de quo Plutarchus Sympoſ. Quæſt. iv. 2. p. 642.

βροτος ἀδύνατον νομίσας τὸ ὑπερβῆναι εἰς τὴν τῶν Θηβαίων, ἀπῆγέ τε, καὶ διῆκε τὸ στράτευμα.

60 Συλλεγέντων δὲ τῶν συμμάχων εἰς Λακεδαίμονα, λόγοι ἐγίγνοντο ἀπὸ τῶν συμμάχων, ὅτι διὰ μαλακίαν κατατριβήσοιντο ὑπὸ τοῦ πολέμου. ἐξεῖναι γὰρ σφίσι, ναῦς πληρώσαντας πολὺ πλείονας τῶν Ἀθηναίων, ἑλεῖν λιμῷ τὴν πόλιν αὐτῶν· ἐξεῖναι δὲ ἐν ταύταις ταῖς ναυσὶ καὶ εἰς Θήβας στράτευμα διαβιβάζειν, εἰ μὲν βούλοιντο, ἐπὶ 61 Φωκέων· εἰ δὲ βούλοιντο, ἐπὶ Κρεύσιος. Ταῦτα δὲ λογισάμενοι, ἑξήκοντα μὲν τριήρεις ἐπλήρωσαν, Πόλλις δ᾽ αὐτῶν ναύαρχος ἐγένετο. καὶ μέντοι οὐκ ἐψεύσθησαν οἱ ταῦτα γνόντες, ἀλλ᾽ οἱ Ἀθηναῖοι ἐπολιορκοῦντο· τὰ γὰρ σιταγωγὰ αὐτοῖς πλοῖα ἐπὶ μὲν τὸν Γεραιστὸν ἀφίκετο, ἐκεῖθεν δ᾽ οὐκέτι ἤθελε παραπλεῖν, τοῦ ναυτικοῦ ὄντος τῶν Λακεδαιμονίων περί τε Αἴγιναν, καὶ Κέω, καὶ Ἄνδρον. γνόντες δὲ οἱ Ἀθηναῖοι τὴν ἀνάγκην, ἐνέβησαν αὐτοὶ εἰς τὰς ναῦς, καὶ ναυμαχήσαντες πρὸς τὸν Πόλλιν, Χαβρίου

Plinius sine patriæ nota eum memoravit; Athenæus viii. p. 341. Cyzicenum appellat.

§. 60. [ἀπὸ τῶν συμμάχων. Corr. ὑπὸ τ. συμμάχων. Nusquam probis et vetustis scriptoribus excidisse puto ἀπὸ pro ὑπὸ, licet exempla passim afferantur speciosa. Speciosa dico; nam plura eorum in alia classe censeri volunt. Scribas in his litterulis sæpe labi oportebat. *F. A. Wolfius.*]

Κρεύσιος. Edd. veteres Κράσιος.

§. 61. Πόλλις. Supra iv. 8. 11. in Junt. et Cast. erat Πόλις. Eadem varietas est in Codicibus Diodori xv. 34. Polyæni iii. 11. 17. Præfert tamen Πόλλις ex Suida et Aristide iii. p. 383. Wesseling. In Anabasi vi. 2. 5. est Πῶλος ὁ ναύαρχος, qui Anaxibio successit in Hellesponto, idem sine dubio. Forma dorica est etiam in Plutarchi Nicia c. 24. ubi Syracusanus Πόλλιχος.

Γεραιστόν. Vide supra ad iii. 4. 4. Promontorium Eubœæ, Atheniensibus amicæ.

ἐκεῖθεν. In Castal. est ἐκεῖ. Deinde A. J. Br. Cast. ἤθελε οὐκέτι παραπλεῖν. Verbum ἤθελε significat h. l. ἐδύνατο. Cf. Kœn ad Gregor. p. 56.

[τὰ σιταγωγὰ πλοῖα—οὐκέτι ἤθελε παραπλεῖν, *navigare non audebant, quippe hostibus undique imminentibus.* Antiquis Grammaticis, qui tenuia vocum discrimina sæpe negligebant, remittamus canonem istum de voc. ἐθέλειν pro δύνασθαι. Esset aliquid, si contiguæ potestatis hæc verba esse dixissent. Kœnii annotatio mihi etiam ob alias caussas displicet. *F. A. Wolfius.*]

ὄντος τῶν. Margo Leonclav. ὄντος τοῦ.

ἐνέβησαν αὐτοί. Cum ad extremam necessitatem redacti fuerunt Athenienses, ipsi, nec sociæ subjectæve imperio illorum civitates ingredi dicuntur naves. Ita Plato in Menexeno p. 292. de Conone Mitylenæ incluso: βοηθήσαντες ἑξήκοντα ναυσὶν αὐτοὶ ἐμβάντες εἰς τὰς ναῦς.

ἡγουμένου, νικῶσι τῇ ναυμαχίᾳ. καὶ ὁ μὲν σῖτος τοῖς Ἀθηναίοις οὕτω παρεκομίσθη. Παρασκευαζομένων δὲ τῶν 62 Λακεδαιμονίων στράτευμα διαβιβάζειν ἐπὶ Βοιωτοὺς, ἐδεήθησαν οἱ Θηβαῖοι τῶν Ἀθηναίων, περὶ Πελοπόννησον στράτευμα πέμψαι, νομίσαντες, ὅτι, εἰ τοῦτο γένοιτο, οὐ δυνατὸν ἔσοιτο τοῖς Λακεδαιμονίοις, ἅμα μὲν τὴν ἑαυτῶν χώραν φυλάττειν, ἅμα δὲ τὰς περὶ ἐκεῖνα τὰ χωρία συμμαχίδας πόλεις, ἅμα δὲ στράτευμα διαβιβάζειν ἱκανὸν πρὸς ἑαυτούς. Καὶ οἱ Ἀθηναῖοι μέντοι, ὀργιζόμενοι 63 τοῖς Λακεδαιμονίοις διὰ τὸ Σφοδρία ἔργον, προθύμως ἐξέπεμψαν περὶ τὴν Πελοπόννησον, ναῦς ἑξήκοντα πληρώσαντες, καὶ στρατηγὸν αὐτῶν Τιμόθεον ἑλόμενοι. ἅτε δὲ εἰς τὰς Θήβας οὐκ ἐμβεβληκότων τῶν πολεμίων, οὔτ' ἐν ᾧ Κλεόμβροτος ἦγε τὴν στρατιὰν ἔτι, οὔτ' ἐν ᾧ Τιμόθεος περιέπλευσε, θρασέως δὴ ἐστρατεύοντο οἱ Θηβαῖοι ἐπὶ τὰς περιοικίδας πόλεις, καὶ πάλιν αὐτὰς ἐλάμβανον. Ὁ 64 μέντοι Τιμόθεος περιπλεύσας Κέρκυραν μὲν εὐθὺς ὑφ' ἑαυτῷ ἐποιήσατο· οὐ μέντοι ἠνδραποδίσατο, οὐδὲ ἄνδρας ἐφυγάδευσεν, οὐδὲ νόμους μετέστησεν. ἐξ ὧν τὰς περὶ ἐκεῖνα

Olymp. 101. ½.

σῖτος τοῖς. Articulum omittunt A. J. Br. Caſt. Cæterum pugnam navalem accuratiſſime enarrat Diodorus xv. 34. 35. a quo tamen in numero navium captarum diverſus abit Demoſthenes contra Leptinem p. 479. De eadem pugna refert Polyænus iii. 11. 11. Accidit inter Parum et Naxum die 16 menſis Boedromionis, ut Plutarchus in Phocione, Camillo et de Gloria Athenienſ. p. 379. refert. Dodwellus refert hanc victoriam Athenienſium ad Olymp. 101. annum 1.

§. 62. ἐπὶ Βοιωτούς. ἐπὶ τοὺς B. St. et Leoncl.

ὅτι, εἰ. In ſola Bryl. eſt ὅτι, in reliquis deeſt veteribus Edd.

§. 63. ναῦς ἑξήκοντα. L. St. interſerunt τε.

ἐλάμβανον. In margine Leonclav. ἀνελάμβανον. Cæterum ad hoc tempus pertinet pugna ad Tegyras facta, qua Thebani, Orchomeno expugnato, duplo majores Lacedæmoniorum copias vicerunt, de qua Diodorus xv. 37. et Plutarchus in Pelopida c. 16. et 17. Pugnam hanc memorabilem, ex qua Thebani præcipue animum majorem ceperunt, ſtudioſus gloriæ Lacedæmoniorum ſilentio prætermiſit Xenophon.

§. 64. τὰς περὶ ἐκεῖνα πόλεις. Cornelius Nepos in Timotheo cap. 2. "Corcyram ſub imperium Athenienſium redegit, ſocioſque idem adjunxit Epirotas, Athamanas, Chaonas omneſque eas gentes, quæ mare illud adjacent." Diodor. xv. 36. πλεύσας ἐπὶ τὴν Κεφαλληνίαν τῆς τε νήσου τὰς πόλεις προσηγάγετο καὶ τὰς κατὰ τὴν Ἀκαρνανίαν ὁμοίως ἔπεισεν ἀπεκλῖναι πρὸς Ἀθηναίους. Ἀλκέταν δὲ τὸν Μολοττῶν βασιλέα φίλον κατασκευάσας καὶ

65 πόλεις ἁπάσας εὐμενεστέρας ἔχειν. Ἀντεπλήρωσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ναυτικὸν, καὶ Νικόλοχον ναύαρχον, μάλα θρασὺν ἄνδρα, ἐξέπεμψαν· ὃς ἐπειδὴ εἶδε τὰς μετὰ Τιμοθέου ναῦς, οὐκ ἠμέλλησε, καίπερ ἓξ νεῶν ἀπουσῶν αὐτῷ τῶν Ἀμβρακιωτίδων· ἀλλὰ, πέντε καὶ πεντήκοντα ἔχων ναῦς, ἑξήκοντα οὔσαις ταῖς μετὰ Τιμοθέου ἐναυμάχησε. καὶ τότε μὲν ἡττήθη, καὶ τρόπαιον ὁ Τιμό-66 θεος ἔστησεν ἐν Ἀλυζίᾳ. Ὁ δὲ, ἀνειλκυσμένων τῶν Τιμοθέου νεῶν, καὶ ἐπισκευαζομένων, ἐπεὶ παρεγένοντο αὐτῷ αἱ Ἀμβρακιώτιδες ἓξ τριήρεις, ἐπὶ τὴν Ἀλυζίαν ἔπλευσεν, ἔνθα ἦν ὁ Τιμόθεος. ὡς δὲ οὐκ ἀντανῆγε, τρόπαιον αὖ κἀκεῖνος ἐστήσατο ἐν ταῖς ἐγγυτάτω νήσοις. ὁ δ' Τιμόθεος, ἐπεὶ, ἅς τε εἶχεν, ἐπεσκεύασε, καὶ ἐκ Κερκύρας ἄλλας προσεπληρώσατο, γενομένων αὐτῷ τῶν πασῶν πλέον ἢ ἑβδομήκοντα, πολὺ δὴ ὑπερεῖχε ναυτικῷ· χρήματα

καθόλου τὰς χώρας τὰς τῶν περὶ τοὺς τόπους ἐκείνους πόλεων ἐξιδιοποιησάμενος, ἐνίκησε ναυμαχίᾳ τοὺς Λακεδαιμονίους περὶ Λευκάδα.

§. 65. Νικόλοχον. Nicomachum appellat Polyænus iii. 10. 3. qui menſe Scirophorione pugnam factam ait die XII, quo ludi Scira agebantur. Ibi legendum eſt ναυαρχοῦντος pro ναυμαχοῦντος Λακεδαιμονίων. Cæterum Dodwellus recte hanc pugnam in Olympiad. 101. 2. anni partem priorem confert; ignoravit tamen locum Polyæni, unde accuratius tempus licet definire. Nicolochum recte nominat Polyænus iii. 10. 12. ubi ſtratagema accurate enarrat, quo uſus Timotheus vicit hoſtes. Iterum, ſed minus accurate, eandem pugnam refert iii. 10. 6. atque ex eo Frontinus, cujus locum attulit Caſaubonus, ii. 5. 47. Ad hæc eadem tempora pertinet narratio Polyæni iii. 10. 2. ut ex Frontino i. 12. 11. cognoſcitur.

Ἀλυζίᾳ. Leoncl. ita emendavit vulgatum Αἰλυζίᾳ, malebat tamen Ἀλυζείᾳ. In Diodoro xviii. 10. ſunt Ἀλυζαῖοι, ubi Palmerius malebat Ἀλυζιαῖοι, ex Thucydide vii. 31. et Strabone x. p. 691.

§. 66. ἀνειλκυσμένων. Veteres Edd. ἀνειλκομένων.

ἓξ τριήρεις. Polyænus iii. 10. 16. περιῆσαν δέκα νῆες ἀναυμάχητοι ἃς ἐδεδοίκει. Τιμόθεος ἐπανιὼν ἐπὶ τὸν ναύσταθμον, καὶ δὴ τὸ ναυτικὸν ἔταξεν ἐν μηνοειδεῖ σχήματι πρὸς τοὺς πολεμίους, ἐντὸς τοῦ κυρτοῦ (ſic legendum) τὰ ναυάγια συναγαγών· τὸν δὲ ἀπόπλουν ἐποιεῖτο πρὸς τὴν γῆν κελεύσας ἐλαύνειν ἐπὶ πρύμναν, ὅπως ἀντίπρωροι τὰς πολεμίας δέκα ναῦς ῥᾳδίως ἀμύνοιντο· τοῦτο τὸ σχῆμα τῆς τάξεως οἱ ἀπὸ τῶν δέκα νεῶν φοβηθέντες οὐκ ἐπέθεντο.

ἀντανῆγε. Recte ita L. et St. pro vulgato ἀντανῆγον.

νήσοις. Scylax unam tantum inſulam Carnon ponit juxta Alyziam, monente Palmerio Græciæ Antiquæ p. 416.

αὐτῷ τῶν. In A. J. Br. Caſtal. pro his legitur αὐτῷ.

χρήματα—μετεπέμπετο. De hac re audi Ariſtotelem in Œconomicis ii. p. 596. περὶ Κέρκυραν δὲ πολεμῶν καὶ ἀπόρως διακείμενος καὶ τῶν στρατιωτῶν αἰτούντων τοὺς μισθοὺς καὶ ἀπειθέντων αὐτῷ καὶ πρὸς τοὺς ἐναντίους φασκόντων ἀποπορεύεσθαι, ἐκκλησίαν συναγαγὼν ἔφησεν οὐ δύνασθαι διὰ τοὺς χειμῶνας

μέντοι μετεπέμπετο Ἀθήνηθεν· πολλῶν γὰρ ἐδεῖτο, ἅτε πολλὰς ναῦς ἔχων.

παραγενέσθαι αὐτῷ ἀργύριον· ἐπεὶ τοσαύτην εἶναι περὶ αὐτὸν εὐπορίαν, ὥστε τὴν προδεδομένην τρίμηνον σιταρχίαν δωρεὰν αὐτοῖς διδόναι· οἱ δὲ ὑπολαβόντες οὐκ ἄν ποτε προέσθαι τοσαῦτα χρήματα τὸν Τιμόθεον αὐτοῖς, εἰ μὴ τῇ ἀληθείᾳ προσδόκιμα ἦν τὰ χρήματα πρὸς αὐτὸν, ἡσυχίαν εἶχον ὑπέρ τε μισθῶν, ἕως ἐκεῖνος διῳκήσατο ἃ ἐβούλετο. In iiſdem deinde anguſtiis verſatum fuiſſe Timotheum, eamque ob rem ab imperio revocatum, quod militibus ſtipendium non perſolverat, cognoſcimus ex oratione Demoſthenis contra Timotheum.

# ΞΕΝΟΦΩΝΤΟΣ

## ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

### ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

### ΚΕΦ. Α.

ΟΙ ΜΕΝ οὖν Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι περὶ ταῦτα ἦσαν. οἱ δὲ Θηβαῖοι, ἐπεὶ κατεστρέψαντο τὰς ἐν τῇ Βοιωτίᾳ πόλεις, ἐστράτευον καὶ εἰς τὴν Φωκίδα. ὡς δ᾽ αὖ καὶ οἱ Φωκεῖς ἐπρέσβευον εἰς τὴν Λακεδαίμονα, καὶ ἔλεγον, ὡς, εἰ μὴ βοηθήσαιεν, οὐ δυνήσοιντο μὴ πείθεσθαι τοῖς Θηβαίοις, ἐκ τούτου οἱ Λακεδαιμόνιοι διαβιβάζουσι κατὰ θάλατταν εἰς Φωκέας Κλεόμβροτόν τε, τὸν βασιλέα, καὶ μετ᾽ αὐτοῦ τέτταρας μόρας, καὶ τῶν συμμάχων τὸ μέρος.

2 Σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον καὶ ἐκ Θετταλίας ἀφικνεῖται πρὸς τὸ κοινὸν τῶν Λακεδαιμονίων Πολυδάμας Φαρσάλιος. Οὗτος δὲ καὶ ἐν τῇ ἄλλῃ Θετταλίᾳ εὐδοκίμει, καὶ ἐν αὐτῇ δὲ τῇ πόλει οὕτως ἐδόκει καλός τε κἀγαθὸς εἶναι, ὥστε καὶ στασιάσαντες οἱ Φαρσάλιοι παρακατέθεντο αὐτῷ τὴν ἀκρόπολιν, καὶ τὰς προσόδους ἐπέτρεψαν λαμβάνοντα, ὅσα ἐγέγραπτο ἐν τοῖς νόμοις, εἴς τε τὰ ἱερὰ

[§. 1. Corr. f. τῶν συμμάχων τὶ μέρος. *F. A. Wolfius.*]

§. 2. εὐδοκίμει. In Steph. et Leoncl. ante hoc verbum inſertum, ſed incluſum, veluti ſuſpectum, legitur μάλα.

αὐτῷ τήν. A. J. Bryl. Caſtal. αὐτῷ μέν.

λαμβάνοντα. Margo Steph. et Leoncl. λαμβάνοντι.

3 ἀναλίσκειν καὶ εἰς τὴν ἄλλην διοίκησιν. Κἀκεῖνος μέντοι ἀπὸ τούτων τῶν χρημάτων τήν τε ἄκραν φυλάττων διέσωζεν αὐτοῖς, καὶ τἄλλα διοικῶν ἀπελογίζετο κατ' ἐνιαυτόν. καὶ ὁπότε μὲν ἐνδεὴς εἴη, παρ' ἑαυτοῦ προσετίθει· ὁπότε δὲ περιγένοιτο, ἀπελάμβανεν. ἦν δὲ καὶ ἄλλως φιλόξενός τε καὶ μεγαλοπρεπὴς τὸν Θετταλικὸν τρόπον. Οὗτος οὖν ἐπεὶ ἀφίκετο εἰς τὴν Λακεδαίμονα, εἶπε τάδε.

4 Ἐγὼ μὲν, ὦ ἄνδρες Λακεδαιμόνιοι, πρόξενος ὑμῶν ὢν καὶ εὐεργέτης ἐκ πάντων ὧν μεμνήμεθα προγόνων, ἀξιῶ, ἐάν τέ τι ἀπορῶ, πρὸς ὑμᾶς ἰέναι· ἐάν τέ τι χαλεπὸν ὑμῖν ἐν τῇ Θεσσαλίᾳ ξυνιστῆται, σημαίνειν. ἀκούετε μὲν οὖν, εὖ οἶδ' ὅτι, καὶ ὑμεῖς Ἰάσονος ὄνομα· (ὁ γὰρ ἀνὴρ καὶ δύναμιν ἔχει μεγάλην, καὶ ὀνομαστός ἐστιν) οὗτος δὲ σπονδὰς ποιησάμενος συνεγένετό μοι, καὶ εἶπε τοιάδε· Ὅτι μὲν, ὦ Πολυδάμα, καὶ ἄκουσαν τὴν ὑμετέραν πόλιν, Φάρσαλον, δυναίμην ἂν παραστήσασθαι, ἔξεστί σοι ἐκ τῶνδε λογίζεσθαι. ἐγὼ γὰρ, ἔφη, ἔχω μὲν Θεσσαλίας τὰς πλείστας καὶ μεγίστας πόλεις συμμάχους· κατεστρεψάμην δ' αὐτὰς, ὑμῶν σὺν αὐταῖς τὰ ἐναντία ἐμοὶ στρατευομένων. καὶ μὴν οἶσθά γε, ὅτι μισθοφόρους ἔχω ξένους εἰς ἑξακισχιλίους, οἷς, ὡς ἐγὼ οἶμαι, οὐδεμία πόλις δύναιτ' ἂν ῥᾳδίως μάχεσθαι. ἀριθμὸς μὲν γὰρ, ἔφη, καὶ ἄλλοθεν οὐκ ἂν ἐλάσσων ἐξέλθοι· ἀλλὰ τὰ μὲν ἐκ τῶν πόλεων στρατεύματα τοὺς μὲν προεληλυθότας ἤδη ταῖς ἡλικίαις ἔχει,

§. 3. ἐνδεὴς εἴη. Cum ærarium ei creditum egeret, de ſuo ſupplebat.

περιγένοιτο. In Steph. et Leonclav. additur τῆς προσόδου. Equidem ὁπότε δέ τι περιγένοιτο mallem legere.

τρόπον. Ut Theſſalus; Theſſali enim tunc luxuria erant infames.

§. 4. εὐεργέτης. Titulus eſt honoris, quem Athenienſes peregrinis, bene de ſe meritis, tribuere ſolebant, cum ex plebiſcito alicui προξενίαν, εὐεργεσίαν et ſimilia darent.

ἔχω ξένους. A. J. Bryl. Caſtal. ἔχων. Morus vocabulum ξένους vult deleri, cum, qui ſtipendium acceperunt, exteri fuerint. Sed contra monuit et exemplis docuit allatis, Kœppen: ξένοις μισθοφόροις opponi ſæpe Ἕλληνας μισθοφόρους.

ἄλλοθεν. Aliæ quidem civitates exercitum parem numero educere in bellum poſſunt.

τοὺς δ᾽ οὔπω ἀκμάζοντας· σωμασκοῦσι γε μὴν μάλα ὀλίγοι τινὲς ἐν ἑκάστῃ πόλει· παρ᾽ ἐμοὶ δὲ οὐδεὶς μισθοφορεῖ, ὅστις μὴ ἱκανός ἐστιν ἴσα πονεῖν ἐμοί. Αὐτὸς δ᾽ ἐστὶ (λέγειν γὰρ πρὸς ὑμᾶς χρὴ τἀληθῆ) καὶ τὸ σῶμα μάλα εὔρωστος, καὶ ἄλλως φιλόπονος, καὶ τοίνυν τῶν παρ᾽ αὐτῷ πεῖραν λαμβάνει καθ᾽ ἑκάστην ἡμέραν. ἡγεῖται γὰρ σὺν τοῖς ὅπλοις, καὶ ἐν τοῖς γυμνασίοις, καὶ ὅταν πη στρατεύηται. καὶ οὓς μὲν ἂν μαλακοὺς τῶν ξένων αἰσθάνηται, ἐκβάλλει· οὓς δ᾽ ἂν ὁρᾷ φιλοπόνως καὶ φιλοκινδύνως ἔχοντας πρὸς τοὺς πολέμους, τιμᾷ τοὺς μὲν διμοιρίαις, τοὺς δὲ τριμοιρίαις, τοὺς δὲ καὶ τετραμοιρίαις, καὶ ἄλλοις δώροις, καὶ νόσων γε θεραπείαις, καὶ περὶ ταφὰς κόσμῳ. ὥστε πάντες ἴσασιν οἱ παρ᾽ ἐκείνῳ ξένοι, ὅτι ἡ πολεμικὴ αὐτοῖς ἀρετὴ ἐντιμότατόν τε βίον καὶ ἀφθονώτατον παρέχεται. Ἐπεδείκνυε δέ μοι εἰδότι, ὅτι καὶ ὑπήκοοι ἤδη αὐτῷ εἶεν Μαρακοὶ, καὶ Δόλοπες, καὶ Ἀλκέτας, ὁ ἐν τῇ Ἠπείρῳ ὕπαρχος· ὥστε, ἔφη, τί ἂν ἐγὼ φοβούμενος οὐ ῥᾳδίως ἂν ὑμᾶς οἰοίμην καταστρέψασθαι; Τάχα οὖν ὑπολάβοι ἄν τις, ἐμοῦ ἄπειρος· τί οὖν μέλλεις, καὶ οὐκ ἤδη στρατεύεις ἐπὶ τοὺς Φαρσαλίους; ὅτι νὴ Δία τῷ παντὶ κρεῖττόν μοι δοκεῖ [εἶναι], ἑκόντας ὑμᾶς μᾶλλον, ἢ ἄκοντας προσαγαγέσθαι. βια-

ἡγεῖται γὰρ σὺν τοῖς ὅπλοις. Equidem hæc verba poſt illa: καὶ ὅταν πη στρατεύηται, collocanda puto, ut ſenſum commodum efficiant. Ineptum enim eſt, dici Jaſonem cum armis in gymnaſium præire ſuis, ibique eorum virtutem experiri.

Μαρακοί. Palmerius Exercit p. 73. nomen ſibi ſuſpectum eſſe ait; nec quidquam de iis reperiſſe fatetur Morus. Igitur Kœppen ſtatim corruptum nomen conclamavit. Verum recte jam olim Fr. Portus, cujus annotationes aut ſecuti ſunt omnes Editores, aut compilarunt taciti, aut denique ignorarunt, admonuit, eſſe intelligendos Maraces, quos Plinius iv. ſect. 3. cum Dolopibus, Ætoliæ populis, memorat.

Ἀλκέτας. Non eſſe eum, de quo ſupra v. 4. 56. non erat, quod Morus lectorem admoneret. Ille enim ibi Lacedæmonius appellatur. Eſt ergo hic Alcetas Moloſſorum rex, qui cum Jaſone Athenas venit, ut Timotheo, cauſam capitis dicenti, ſuccurreret, et de quo plura infra ad vi. 2. 7. Agi de hoc in Demoſthenis loco adverſus Timoth. pag. 1157, recte annotavit Morus.

καταστρέψασθαι. Hoc ex A. J. Br. Caſt. p. 1. vulgato καταστρέψεσθαι revocavi propter additum ἄν.

δοκεῖ [εἶναι.] Omittunt A. J. Br. Caſt. εἶναι.

σθέντες μὲν γὰρ ὑμεῖς τ' ἂν βουλεύοισθε, ὅ τι δύναισθε κακὸν ἐμοὶ, ἐγώ τ' ἂν ὑμᾶς ὡς ἀσθενεστάτους βουλοίμην εἶναι· εἰ δὲ πεισθέντες μετ' ἐμοῦ γένοισθε, δῆλον, ὅτι αὔξοιμεν ἂν, ὅ τι δυναίμεθα, ἀλλήλους. Γιγνώσκω μὲν οὖν, ὦ Πολυδάμα, ὅτι ἡ σὴ πατρὶς εἰς σὲ ἀποβλέπει· ἐὰν δέ μοι φιλικῶς αὐτὴν ἔχειν παρασκευάσῃς, ὑπισχνοῦμαί σοι, ἔφη, ἐγὼ, μέγιστόν σε τῶν ἐν τῇ Ἑλλάδι μετ' ἐμὲ καταστήσειν. οἵων δὲ πραγμάτων ἐγὼ τὰ δεύτερά σοι δίδωμι, ἄκουσον, καὶ μηδὲν πίστευέ μοι, ὅ τι ἂν μὴ λογιζομένῳ σοι ἀληθὲς φαίνηται. Οὐκοῦν τοῦτο μὲν εὔδηλον ἡμῖν, ὅτι, Φαρσάλου προσγενομένης καὶ τῶν ἐξ ὑμῶν ἠρτημένων πόλεων, εὐπετῶς ἂν ἐγὼ ταγὸς Θετταλῶν ἁπάντων κατασταίην· ὡς γεμὴν, ὅταν ταγεύηται Θετταλία, εἰς ἑξακισχιλίους μὲν οἱ ἱππεύοντες γίγνονται, ὁπλῖται δὲ πλείους ἢ μύριοι καθίστανται. ὧν ἐγὼ καὶ τὰ σώματα καὶ τὴν μεγαλοψυχίαν ὁρῶν, οἶμαι ἂν, αὐτῶν εἰ καλῶς τις ἐπιμελοῖτο, οὐκ εἶναι ἔθνος, ὁποίῳ ἂν ἀξιώσαιεν ὑπήκοοι εἶναι Θετταλοί. πλατυτάτης γεμὴν οὔσης Θετταλίας, πάντα τὰ κύκλῳ ἔθνη ὑπήκοα μέν ἐστιν, ὅταν ταγὸς ἐνθάδε καταστῇ· σχεδὸν δὲ πάντες οἱ ταύτῃ ἀκοντισταί εἰσιν· ὥστε καὶ πελταστικῷ εἰκὸς ὑπερέχειν τὴν ἡμετέραν δύναμιν. Καὶ μὴν Βοιωτοί γε, καὶ οἱ ἄλλοι πάντες, ὅσοι Λακεδαιμονίοις πολεμοῦσιν, ὑπάρχουσί μοι σύμμαχοι· καὶ ἀκολουθεῖν τοίνυν ἀξιοῦσιν ἐμοὶ, ἂν μόνον ἀπὸ Λακεδαιμονίων ἐλευθερῶ αὐ-

ὑμεῖς τ' ἄν. A. J. Br. Castal. omittunt τε.

βουλεύοισθε. Ita Margo Leonclav. vulgo βουλεύησθε.

δύναισθε. Ita recte Cast. vulgo δύνασθε. Morus emendabat δύνησθε.

ἀσθενεστάτους. A. J. Br. Cast. ἀληθεστάτους.

ἄκουσον. Margo L. ἄκουε.

εὔδηλον ἡμῖν. Junt. Br. Cast. ὑμῖν.

ὡς γεμήν. Cum Leoncl. Morus legi vult οὕτως γε μήν. Forte exciderunt verba aliquot.

καὶ τὰ σώματα. Junt. Br. Castal. omittunt τά.

Θετταλίας. Stephan. edidit γῆς Θετταλίας, quod Æm. Portus cum Leoncl. mutabat in τῆς. Omisit Morus.

ἡμετέραν δύναμιν. Ita recte Br. Cast. pro vulgato ὑμετέραν, quod etiam correxit Morus.

πολεμοῦσι. Margo Leonclav. πολεμοῦντες.

τοὺς. καὶ Ἀθηναῖοι δὲ, εὖ οἶδ', ὅτι, πάντα ποιήσαιεν ἂν, ὥστε σύμμαχοι ἡμῖν γενέσθαι· ἀλλ' ἐγὼ οὐκ ἄν μοι δοκῶ πρὸς αὐτοὺς φιλίαν ποιήσασθαι. νομίζω γὰρ, ἔτι ῥᾷον τὴν κατὰ θάλατταν, ἢ τὴν κατὰ γῆν ἀρχὴν, παραλαβεῖν ἄν. Εἰ δὲ εἰκότα λογίζομαι, σκόπει, ἔφη, καὶ ταῦτα. ἔχοντες μέν γε Μακεδονίαν, ἔνθεν καὶ Ἀθηναῖοι τὰ ξύλα ἄγονται, πολὺ δήπου πλέονας ἐκείνων ἱκανοὶ ἐσόμεθα ναῦς ποιήσασθαι. ἀνδρῶν γε μὴν ταύτας πληροῦν, πότερον Ἀθηναίους, ἢ ἡμᾶς εἰκὸς μᾶλλον δύνασθαι, τοσούτους ἔχοντας πενέστας; τοὺς γε μὴν ναύτας τρέφειν πότερον ἡμᾶς ἱκανωτέρους εἰκός ἐστι, τοὺς δι' ἀφθονίαν καὶ ἄλλοσε σῖτον ἐκπέμποντας, ἢ Ἀθηναίους, τοὺς μηδὲ αὑτοῖς ἱκανὸν ἔχοντας, ἂν μὴ πρίωνται; καὶ χρήμασί γε δήπου εἰκὸς ἡμᾶς ἀφθονωτέροις χρῆσθαι, μὴ εἰς νησύδρια ἀποβλέποντας, ἀλλ' ἠπειρωτικὰ ἔθνη καρπουμένους. πάντα γὰρ δήπου τὰ κύκλῳ φόρον φέρει, ὅταν ταγεύηται τὰ κατὰ Θετταλίαν. Οἶσθα δὲ δήπου, ὅτι καὶ βασιλεὺς ὁ Περσῶν οὐ νήσους, ἀλλ' ἤπειρον καρπούμενος, πλουσιώτατος ἀνθρώπων ἐστίν· ὃν ἐγὼ ὑπήκοον ποιήσασθαι, ἔτι εὐκατεργαστότερον ἡγοῦμαι εἶναι, ἢ τὴν Ἑλλάδα. οἶδα γὰρ, πάντας τοὺς ἐκεῖ ἀνθρώπους, πλὴν ἑνὸς, μᾶλλον δουλείαν, ἢ ἀλκὴν, μεμελετηκότας. οἶδα δὲ, ὑφ' οἵας δυνάμεως, καὶ τῆς μετὰ Κύρου ἀναβά-

Ἀθηναῖοι τὰ ξύλα. Exemplum habet Demosthenis oratio contra Timotheum, ubi p. 1194. ligna Timotheo ab Amynta Macedoniæ rege donata memorat.

τοσούτους. In Steph. et Leonclav. additur καὶ τοιούτους.

νησύδρια. Ex tributariarum insularum reditibus sumtuum publicorum maximam partem desumtam fuisse, patet etiam ex Xenophontis libro de Reditibus Athenienfium. Vide Valckenair ad Herodot. p. 259.

ἀποβλέποντας. Verbum graphicum, desiderium et vultum famelici, alienam mensam circumspicientis et adfectantis significat, qui describitur Anabas. vii. 3. 33. sic: εἰς τὴν ἐκείνου τράπεζαν ἀποβλέπων, ὥσπερ κύων.

ὃν ἐγὼ ὑπήκοον. Recte Morus annotavit etiam locum Isocratis ad Philippum p. 155. ubi de magnitudine animi in Jasone hæc ponit: ὁ Ἰάσων ἐποιεῖτο τοὺς λόγους, ὡς εἰς τὴν ἤπειρον διαβησόμενος καὶ βασιλεῖ πολεμήσων.

ἀναβάσης. Male ἀναβάσεως Junt. Br. Cast.

σης, καὶ τῆς μετ' Ἀγησιλάου, εἰς πᾶν ἀφίκετο βασιλεύς. Ἐπεὶ δὲ, ταῦτ' εἰπόντος αὐτοῦ, ἐγὼ ἀπεκρινάμην, ὅτι τὰ μὲν ἄλλα ἀξιόσκεπτα λέγει, τὸ δὲ, Λακεδαιμονίοις ὄντας φίλους ἀποστῆναι πρὸς τοὺς ἐναντίους, μηδὲν ἔχοντας ἐγκαλεῖν, τοῦτ', ἔφην, ἄπορόν μοι δοκεῖ εἶναι· ὁ δ' ἐπαινέσας με, καὶ εἰπὼν, ὅτι μᾶλλον ἑατέον μοι εἴη, ὅτι τοιοῦτος εἴην, ἀφῆκέ μοι, ἐλθόντα πρὸς ὑμᾶς λέγειν τἀληθῆ, ὅτι διανοοῖτο στρατεύειν ἐπὶ Φαρσαλίους, εἰ μὴ πεισοίμεθα. αἰτεῖν οὖν ἐκέλευε βοήθειαν παρ' ὑμῶν. καὶ ἐὰν μέν σοι, ἔφη, διδῶσιν, ὥστε πείθειν, ἱκανὴν πέμπειν συμμαχίαν, ὡς ἐμοὶ πολεμεῖν, ἄγ', ἔφη, καὶ τούτῳ χρώμεθα, ὅ τι ἂν ἀποβαίνοι ἐκ τοῦ πολέμου· ἐὰν δέ σοι μὴ δοκῶσιν ἱκανῶς βοηθεῖν, οὐκ ἤδη ἀνέγκλητος ἂν δικαίως εἴης ἐν τῇ πατρίδι, ἥ σε τιμᾷ, καὶ σὺ πράττεις τὰ κράτιστα. Περὶ τούτων δὴ ἐγὼ ἥκω πρὸς ὑμᾶς, καὶ λέγω πάντα, ὅσα ἐκεῖ αὐτός τε ὁρῶ, καὶ ἐκείνου ἀκήκοα. καὶ νομίζω οὕτως ἔχειν, ὦ ἄνδρες Λακεδαιμόνιοι, ὡς, εἰ μὲν πέμψοιτε ἐκεῖσε δύναμιν, μὴ ἐμοὶ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις Θετταλοῖς ἱκανὴν δοκοῦσαν εἶναι πρὸς Ἰάσονα πολεμεῖν, ἀποστήσονται αὐτοῦ αἱ πόλεις· (πᾶσαι γὰρ φοβοῦνται, ὅποι ποτὲ προβήσεται ἡ τοῦ ἀνδρὸς δύναμις·) εἰ δὲ νεοδαμώδεις καὶ ἄνδρα ἰδιώτην οἴεσθε

*εἰς πᾶν.* In ſummum periculum, quod alibi ita: *ἐν παντὶ εἶναι.*

*ἑατέον μοι.* Margo Steph. et Leonclav. *ἐκτέον μου* me amplectendum, tenendum eſſe; quam lectionem probavit ipſe Morus.

*ἐλθόντα.* Margo Leonclavii *ἐλθόντι.*

*ὥστε πείθειν.* In Stephan. et Leoncl. *ὥστε σε πείθειν.* Vulgatam lectionem ſic interpretatur Morus; *ſi abs te ſibi perſuaderi patiantur.* Mihi orationis hæc pars mendoſa videtur eſſe.

*ἱκανῶς βοηθεῖν.* Addendum: etſi tamen in fide erga eos et ſocietate permanes, nec mecum te conjungis: ut recte monuit Morus.

*κράτιστα.* Steph. legebat *καὶ ἐν ᾗ σύ.* Contra Brodæus *κράτιστα* mutabat in *κάκιστα* et interpretabatur: *et tu reddis civitatem miſeram.* Tota hæc ſectio hiulca mihi videtur eſſe et vitioſa.

*νομίζω.* A. J. Br. Caſt. *νομίζων.*

*ὡς εἰ μέν.* Margo Leonclav. recte continuat *Λακεδαιμόνιοι εἰ μὲν,* ſed omiſſo *ὡς.* Vulgo poſt *Λακεδαιμόνιοι* punctum ponitur.

*πέμψοιτε.* Hoc ex A. J. Br. Caſtal. reſtituit Morus pro reliquarum editionum *πέμψετε.*

*δοκοῦσαν.* Ita Steph. et Leonclav. emendarunt vulgatum *δοκεῖν.* Fr. Portus malebat: *οἵαν μὴ ἐμοὶ μόνον—δοκεῖν.*

*ἰδιώτην.* Ducem unum de multis.

ἀρκέσειν, συμβουλεύω ἡσυχίαν ἔχειν. Εὖ γὰρ ἴσε, ὅτι πρός τε μεγάλην ἔσαι ῥώμην ὁ πόλεμος, καὶ πρὸς ἄνδρα, ὃς Φρόνιμος μὲν οὕτω σρατηγός ἐσιν, ὡς, ὅσα τε λανθάνειν, καὶ ὅσα φθάνειν, καὶ ὅσα βιάζεσθαι ἐπιχειρεῖ, οὐ μάλα ἀφαμαρτάνειν. ἱκανὸς γάρ ἐσι καὶ νυκτὶ, ἅπερ ἡμέρᾳ, χρῆσθαι, καὶ ὅταν σπεύδῃ, ἄρισον καὶ δεῖπνον ποιησάμενος ἅμα πονεῖσθαι. οἴεται δὲ καὶ ἀναπαύεσθαι χρῆναι, ὅταν ἀφίκηται, ἔνθ᾽ ἂν ὁρμώμενος ᾖ, καὶ διαπράξηται, ἃ δεῖ. καὶ τοὺς μετ᾽ αὐτοῦ δὲ ταὐτὰ εἴθικεν. ἐπίσαται δὲ καὶ, ὅταν ἐπιπονήσαντες ἀγαθόν τι πράξωσιν οἱ σρατιῶται, ἐκπλῆσαι τὰς γνώμας αὐτῶν· ὥσε καὶ τοῦτο μεμαθήκασι πάντες οἱ μετ᾽ αὐτοῦ, ὅτι ἐκ τῶν πόνων καὶ τὰ μαλακὰ γίγνεται. καὶ μὴν ἐγκρατέσατός γε ἐσὶν, ὧν ἐγὼ οἶδα, τῶν περὶ τὸ σῶμα ἡδονῶν· ὥσε οὐδὲ διὰ ταῦτα ἀσχολίαν ἔχει εἰς τὸ μὴ πράττειν ἀεὶ τὸ δέον. ὑμεῖς οὖν σκεψάμενοι εἴπατε πρὸς ἐμὲ, ὥσπερ ὑμῖν προσήκει, ὁποῖα δυνήσεσθέ τε καὶ μέλλετε ποιήσειν.

5 Ὁ μὲν ταῦτ᾽ εἶπεν. οἱ δὲ Λακεδαιμόνιοι τότε μὲν ἀνεβάλλοντο τὴν ἀπόκρισιν· τῇ δὲ ὑσεραίᾳ καὶ τῇ τρίτῃ, λογισάμενοι τάς τε ἔξω μόρας, ὅσαι αὐτοῖς εἶεν, καὶ τὰς περὶ Λακεδαίμονα, πρὸς τὰς ἔξω τῶν Ἀθηναίων τριήρεις,

ἀφαμαρτάνειν. Margo Leonclav. ἀφαμαρτάνει.

νυκτί. Ita recte emendavit Steph. vulgatum νυκτός.

ὁρμώμενος. Margo Leonclav. ὁρμημένος, quod equidem prætulerim.

[ὁρμώμενος. Mutationem non agnoſco. Omnino videntur mihi multæ lectiones marginis Leonclav. nihil aliud eſſe, quam luſus pennæ, quales interdum effundimus primo calore, quum legimus: aliæ ex ſimilibus locis ipſius Xenophontis petitæ ſunt, ubi eadem fere aliis verbis dicuntur; pauciſſimæ, puto, ductæ ſunt ex MSS. Ignoſcas, ſi chartæ illuſi, quæ Tibi, principes editt. tractanti, multo exploratiora ſunt, fortaſſe etiam in procemio explicata. *F. A. Wolfius.*]

ἐπιπονήσαντες. Noſter de Republ. Lacedæm. ii. 5. νομίζων τοὺς οὕτω παιδευομένους μᾶλλον μὲν ἂν δύνασθαι, εἰ δεήσειεν, ἀσιτήσαντες ἐπιπονῆσαι· ubi vide Zeunii notam.

ἐκπλῆσαι. Brodæus emendabat ἐμπλῆσαι. Sic in Anabaſi i. 7. 7. ὁ δὲ ἐμπιμπλὰς ἁπάντων τὴν γνώμην ἀπέπεμπε. Demoſth. contra Midiam p. 543. καὶ τὴν ἀναιδῆ γνώμην ἐνέπλησεν αὐτοῦ.

τὰ μαλακά. In dicto Epicharmi Memorab. ii. 1. 20. μὴ τὰ μαλακὰ μώεο, μὴ τὰ σκλῆρ᾽ ἔχῃς.

§. 5. καὶ τῇ τρίτῃ. Junt. Br. Caſt. καὶ τρίτῃ.

καὶ τὸν πρὸς τοὺς ὁμόρους πόλεμον, ἀπεκρίναντο, ὅτι ἐν τῷ παρόντι οὐκ ἂν δύναιντο ἱκανὴν αὐτῷ ἐκπέμψαι ἐπικουρίαν, ἀλλ᾽ ἀπιόντα συντίθεσθαι αὐτὸν ἐκέλευον, ὅπῃ δύναιτο 6 ἄριστα, τά τε ἑαυτοῦ καὶ τὰ τῆς πόλεως. Κἀκεῖνος μέντοι, ἐπαινέσας τὴν ἁπλότητα τῆς πόλεως, ἀπῆλθε. καὶ τὴν μὲν ἀκρόπολιν τῶν Φαρσαλίων ἐδέετο τοῦ Ἰάσονος μὴ ἀναγκάσαι αὐτὸν παραδοῦναι, ὅπως τοῖς παρακαταθεμένοις διασώζῃ· τοὺς δὲ ἑαυτοῦ παῖδας ἔδωκεν ὁμήρους, ὑποσχόμενος αὐτῷ, τήν τε πόλιν πείσας ἑκοῦσαν σύμμαχον ποιήσειν, καὶ ταγὸν συγκαταστήσειν αὐτόν. ὡς δὲ τὰ πιστὰ ἔδοσαν ἀλλήλοις, εὐθὺς μὲν οἱ Φαρσάλιοι εἰρήνην ἦγον, ταχὺ δὲ ὁ Ἰάσων ὁμολογουμένως ταγὸς τῶν Θεσσαλῶν 7 καθειστήκει. Ἐπεὶ γεμὴν ἐτάγευσε, διέταξεν ἱππικόν τε, ὅσον ἑκάστη πόλις δυνατὴ ἦν παρέχειν, καὶ ὁπλιτικόν. καὶ ἐγένοντο αὐτῷ ἱππεῖς μὲν σὺν τοῖς συμμάχοις πλείους, ἢ ὀκτακισχίλιοι, ὁπλῖται δὲ ἐλογίσθησαν οὐκ ἐλάττους δισμυρίων, πελταστικὸν γεμὴν ἱκανὸν πρὸς πάντας ἀνθρώπους ἀντιταχθῆναι. ἔργον γὰρ, ἐκείνων γε καὶ τὰς πόλεις ἀριθμῆσαι. προεῖπε δὲ καὶ τοῖς περιοίκοις πᾶσι τὸν φόρον, ὥσπερ ἐπὶ Σκόπα τεταγμένος ἦν, φέρειν. καὶ ταῦτα μὲν οὕτως ἐπεραίνετο· ἐγὼ δὲ πάλιν ἐπάνειμι, ὅθεν εἰς τὰς περὶ Ἰάσονος πράξεις ἐξέβην.

## ΚΕΦ. Β.

ΟΙ μὲν γὰρ Λακεδαιμόνιοι καὶ οἱ σύμμαχοι συνελέγοντο

§. 6. *πείσας ἑκοῦσαν.* Morus *ἑκοῦσαν* delendum esse censet, ut superfluum. Contra recte defendit Kœppen, allato loco Nostri in Anabasi v. 1. 14. *τὰς δὲ πόλεις ἑκούσας ἔπεισε ποιεῖν τὰς ὁδούς.* Memorab. ii. 1. 13. de vi adhibet; *ἕως ἂν πείσωσιν ἑλέσθαι δουλεύειν ἀντὶ τοῦ πολεμεῖν τοῖς κρείττοσιν.*

§. 7. *ὥσπερ ἐπί.* Margo Leonclav. *ὅσπερ ἐπί.*

*Σκόπα.* Scopam Thessalum, a Simonide victorem laudatum, norunt omnes. Nec Jason fuit a literis alienus. Habuit enim secum Gorgiam Leontinum, Pausania teste vi. p. 495. Ibi senem Gorgiam juvenis Isocrates audiisse dicitur a Cicerone in Oratore c. 52. Ad Jasonis liberos exstat epistola Isocratis invitati, ut illuc veniret eosque erudiret.

εἰς τοὺς Φωκέας, οἱ δὲ Θηβαῖοι, ἀναχωρήσαντες εἰς τὴν αὑτῶν, ἐφύλασσον τὰς εἰσβολάς. οἱ δ' Ἀθηναῖοι, αὐξανομένους μὲν ὁρῶντες διὰ σφᾶς τοὺς Θηβαίους, χρήματά τε οὐ συμβαλλομένους εἰς τὸ ναυτικὸν, αὐτοὶ δὲ ἀποκναιόμενοι καὶ χρημάτων εἰσφοραῖς, καὶ λῃστείαις ἐξ Αἰγίνης, καὶ φυλακαῖς τῆς χώρας, ἐπεθύμησαν παύσασθαι τοῦ πολέμου, καὶ πέμψαντες πρέσβεις εἰς Λακεδαίμονα, εἰρήνην ἐποιήσαντο. (Olymp. 101. $\frac{2}{3}$.)

2 Εὐθὺς δὲ ἐκεῖθεν δύο τῶν πρέσβεων πλεύσαντες, κατὰ δόγμα τῆς πόλεως, εἶπον τῷ Τιμοθέῳ ἀποπλεῖν οἴκαδε, ὡς εἰρήνης οὔσης· ὁ δὲ ἅμ' ἀποπλέων, τοὺς τῶν Ζακυνθίων φυγάδας ἀπεβίβασεν εἰς τὴν χώραν αὐτῶν. 3 Ἐπεὶ δὲ οἱ ἐκ τῆς χώρας Ζακύνθιοι πέμψαντες πρὸς τοὺς Λακεδαιμονίους ἔλεγον, οἷα πεπονθότες εἶεν ὑπὸ τοῦ Τιμοθέου, εὐθὺς οἱ Λακεδαιμόνιοι ἀδικεῖν τε ἡγοῦντο τοὺς Ἀθηναίους, καὶ ναυτικὸν πάλιν παρεσκεύαζον, καὶ συνετάττοντο εἰς ἑξήκοντα ναῦς, ἀπ' αὐτῆς τε τῆς Λακεδαίμονος, καὶ Κορίνθου, καὶ Λευκάδος, καὶ Ἀμβρακίας, καὶ Ἤλιδος, καὶ Ζακύνθου, (Olymp. 101. $\frac{3}{4}$.)

§. 1. *Φωκέας.* Continuat narrationem inceptam vi. 1. 1.

*χρήματά τε οὐ συμβαλλομένους.* Quid ſit, intelliges ex iis, quæ ſupra ad v. 4. 34. diſputavi. Huc reſpexit Ariſtides Orat. Leuctrica i. p. 96. *πόσα χρήματα καταβαλόντες ὑμῖν (Ἀθηναίοις) Θηβαῖοι τὴν συμμαχίαν εὗροντο· εὐφήμει, φαίητ' ἄν, ἡμῖν Θηβαῖοι; πόθεν; ἢ τί; τίνες δ' ἕτεροι;*

*λῃστείαις ἐξ Αἰγίνης.* Vide ſupra v. 1. 1.

§. 2. *Ζακυνθίων φυγάδας.* Exſules intelligit, qui a civibus, faventibus rebus Lacedæmoniorum et ſumma rerum potitis, ejecti erant, ſed recepti a Timotheo et expoſiti in inſula, loco munito juxta mare occupato, excurſionibus inde vexant incolas urbis. Cives cum auxilium a Lacedæmoniis peterent, exſules vero etiam hi legatos Athenas mitterent, Lacedæmonii, ubi Athenienſes exſulum partibus faventes viderunt, naves 25. duce Ariſtocrate auxilio miſerunt Zacynthiis. Ita rem hanc ſiſtit Diodorus xv. 45. Idem ibidem narrat, Lacedæmonios, cum a parte civium Corcyræorum, ipſis favente, in ſubſidium vocati eſſent, miſiſſe auxilio naves 22. præfecto Alcida, ſimulante, naves ſe iſtas in Siciliam ducere; Athenienſes contra Zacynthiis ducem dediſſe Cteſiclem, Corcyræis vero illis, qui ab ipſorum partibus ſtabant, ſubſidia navalia comparaſſe interim. cap. 46. Deinde cap. 47. tradit, Lacedæmonios Mnaſippum ducem (*στρατηγὸν*) miſiſſe in inſulam Corcyram cum triremibus 65. et militibus 1500. qui exſules navibus receptos in patrium ſolum reſtituit. Hinc apparet, priora ſubſidia Lacedæmoniorum, duce Ariſtocrate et Alcida miſſa Zacynthiis et Corcyræis, omiſiſſe Xenophontem brevitatis cauſſa.

§. 3. *χώρας.* Margo L. *πόλεως.* Ibidem eſt deinde *κατεσκεύαζον.*

καὶ Ἀχαΐας, καὶ Ἐπιδαύρου, καὶ Τροιζῆνος, καὶ Ἑρμιόνης, 4 καὶ Ἁλιέων. Ἐπιστήσαντες δὲ ναύαρχον Μνάσιππον, ἐκέλευον, τῶν τε ἄλλων ἐπιμελεῖσθαι τῶν κατ' ἐκείνην τὴν θάλασσαν, καὶ στρατεύειν ἐπὶ Κέρκυραν. ἔπεμψαν δὲ καὶ πρὸς Διονύσιον, διδάσκοντες, ὡς καὶ ἐκείνῳ χρήσιμον 5 εἴη, τὴν Κέρκυραν μὴ ὑπ' Ἀθηναίοις εἶναι. καὶ ὁ μὲν δὴ Μνάσιππος, ἐπεὶ συνελέγη αὐτῷ τὸ στράτευμα τὸ ναυτικὸν, ἔπλευσεν εἰς τὴν Κέρκυραν· εἶχε δὲ καὶ μισθοφόρους, σὺν τοῖς ἐκ Λακεδαίμονος μετ' αὐτοῦ στρατευομένοις, οὐκ 6 ἐλάσσους χιλίων καὶ πεντακοσίων. Ἐπεὶ δ' ἀπέβη, ἐκράτει τε τῆς γῆς, καὶ ἐδῄου ἐξειργασμένην μὲν παγκάλως καὶ πεφυτευμένην τὴν χώραν, μεγαλοπρεπεῖς δὲ οἰκήσεις καὶ οἰνῶνας κατεσκευασμένους ἐχούσας ἐπὶ τῶν ἀγρῶν· ὥστ' ἔφασαν τοὺς στρατιώτας εἰς τοῦτο τρυφῆς ἐλθεῖν, ὥστ' οὐκ ἐθέλειν πίνειν, εἰ μὴ ἀνθοσμίας εἴη. καὶ ἀνδράποδα δὲ καὶ βοσκήματα πάμπολλα ἡλίσκετο ἐκ τῶν ἀγρῶν. 7 Ἔπειτα δὲ [καὶ] κατεστρατοπεδεύσατο τῷ μὲν πεζῷ ἐπὶ λόφῳ, ἀπέχοντι τῆς πόλεως ὡς πέντε στάδια, πρὸ τῆς χώρας ὄντι, ὅπως ἀποτέμνοιτο ἐντεῦθεν, εἴ τις [ἐπὶ] τὴν

Ἑρμιόνης. Margo L. Ἑρμιόνος. Quod equidem probarem, quoniam forma antiquior nominis esse videtur. Cf. Kuhn ad Pausaniam ii. p. 193.

Ἁλιέων. Thucydides etiam ii. 56. vicinas nominat terras, Trœzeniam, Hermioniam καὶ τὴν Ἁλιάδα. Maritimum esse oppidulum Laconicæ, ex Strabone viii. p. 373. Stephano Byzant. et Diodoro xi. 78. et nomen a piscatorum, ibi habitantium, numero accepisse, docet Morus.

§. 5. τὸ στράτευμα τὸ ναυτικόν. Voces τὸ στράτευμα in marginem rejecerunt L. et St. Omnes scilicet copiæ, navibus impositæ, hic simul nominantur; deinde §. 7. pedestres copiæ, τὸ πεζὸν, et nauticæ, τὸ ναυτικὸν, distinguuntur. Si quid igitur redundat, equidem vocem ναυτικὸν ejicere mallem.

στρατευομένοις. A. J. στρατευομένους sensu eodem. In numero militum plane consentit Diodorus.

§. 6. οἰνῶνας. Cellas vinarias interpretatur ex h. l. Pollux vi. 15. ix. 49. monente Moro. Huc pertinere videntur ἀμφορεῖς Κερκυραϊκοὶ, quos in emporio Liburnico Mentorum venditos fuisse narrat Auctor Mirabil. Narrat. cap. iii. p. 225. ed. Beckm. Inde Hesychius Κερκυραῖοι· ἀμφορεῖς, τὰ Ἀδριανὰ κεράμια.

§. 7. ἔπειτα δὲ καί. Edd. A. J. Br. Cast. omittunt καὶ, recte. Igitur inclusi.

τῷ μὲν πεζῷ. Ita cum L. St. scripsit etiam W. Vulgo μὲν deest, quod tamen sequens τὸ δὲ ναυτικὸν requirit.

λόφῳ. Diodorus ait: ἐνίκησε δὲ καὶ πεζῇ τοὺς ἐν τῇ γῇ λόφον τινὰ κατειλημμένους.

εἴ τις [ἐπί]. Præpositionem ἐπὶ veluti redundantem inclusit Morus;

χώραν τῶν Κερκυραίων ἐσίοι· τὸ δὲ ναυτικὸν εἰς τἀπὶ θάτερα τῆς πόλεως κατεστρατοπέδευσεν, ἔνθεν ᾤετ' ἂν τὰ προσπλέοντα καὶ προαισθάνεσθαι καὶ διακωλύειν. πρὸς δὲ τούτοις, καὶ ἐπὶ τῷ λιμένι, ὁπότε μὴ χειμὼν κωλύοι, ἐφώρμει. ἐπολιόρκει μὲν δὴ οὕτω τὴν πόλιν. 8 Ἐπεὶ δὲ οἱ Κερκυραῖοι ἐκ μὲν τῆς γῆς οὐδὲν ἐλάμβανον, διὰ τὸ κρατεῖσθαι κατὰ γῆν, κατὰ θάλασσαν δὲ οὐδὲν εἰσήγετο αὐτοῖς, διὰ τὸ ναυκρατεῖσθαι, ἐν πολλῇ ἀπορίᾳ ἦσαν· 9 καὶ πέμποντες πρὸς τοὺς Ἀθηναίους, βοηθεῖν ἐδέοντο, καὶ ἐδίδασκον, ὡς μέγα μὲν ἀγαθὸν ἀποβάλοιεν, εἰ Κερκύρας στερηθεῖεν, τοῖς δὲ πολεμίοις μεγάλην ἂν ἰσχὺν προσβάλλοιεν· ἐξ οὐδεμιᾶς γὰρ πόλεως, πλήν γε Ἀθηναίων, οὔτε ναῦς, οὔτε χρήματα πλείονα ἂν γενέσθαι. ἔτι δὲ κεῖσθαι τὴν Κέρκυραν ἐν καλῷ μὲν τοῦ Κορινθιακοῦ κόλπου, καὶ τῶν πόλεων, αἳ ἐπὶ τοῦτον καθήκουσιν, ἐν καλῷ δὲ τοῦ τὴν Λακωνικὴν χώραν βλάπτειν, ἐν καλλίστῳ δὲ τῆς τε ἀντιπέραν Ἠπείρου, καὶ τοῦ εἰς Πελοπόννησον ἀπὸ Σικελίας παράπλου. 10 Ἀκούσαντες δὲ ταῦτα οἱ Ἀθηναῖοι, ἐνόμισαν ἰσχυρῶς ἐπιμελητέον εἶναι, καὶ ταγὸν πέμπουσι Στησικλέα εἰς ἑξακοσίους

quod equidem facere non sum ausus. Margo Leoncl. habet ἐξίοι.

ἐπὶ τῷ λιμένι. Male A. J. C. ἔτι. In portu Corcyræorum naves quatuor ceperat, tres fuga elapsas Corcyræi ipsi combusserunt, auctore Diodoro capite 47.

§. 8. ναυκρατεῖσθαι. Quod inferiores erant navalibus copiis et mari etiam obsidebantur.

§. 9. βοηθεῖν. L. et Steph. addunt τι. Eædem ἂν addunt post ἀποβάλοιεν. Quæ quidem emendatio mihi magis necessaria videtur. Sed deinceps etiam legendum est: προσβάλοιεν.

μέγα—ἀγαθόν. Eadem argumenta exposuit Thucydides i. 36. monente Moro.

§. 10. καὶ ταγόν. In margine L. et St. est τάγην.

Στησικλέα. Diodorus Stesiclem ducem Zacynthiis exsulibus missum narrat auxilio §. 46. deinde post narratam Mnasippi expeditionem, Timothei cunctationem et Atheniensium apparatum navalem §. 47. addit: κατὰ δὲ τὸ παρὸν στρατηγὸν ἑλόμενοι Κτησικλέα μετὰ στρατιωτῶν πεντακοσίων ἐξέπεμψαν βοηθήσοντα τοῖς Κερκυραίοις. hunc deinde clam noctu urbem Corcyram ingressum, seditione composita civium, rebusque ad bellum omnibus bene paratis, subito eruptionem fecisse in oppugnantes Lacedæmonios, eorumque ducentos occidisse; prælio vero commisso, Mnasippum cum multis interemisse oppugnantibus, antea in angustias conclusis; bello demum fere confecto, advenisse cum classe Iphicratem et Timotheum. Stesiclis igitur ductu gesta omnia fuerunt, quæ deinceps §. 17. 18. et seqq. narrat Xenophon. Ne vero quis

ἔχοντα πελταστὰς, Ἀλκέτου δὲ ἐδεήθησαν συνδιαβιβάσαι
11 τούτους. καὶ οὗτοι μὲν νυκτὸς διακομισθέντες που τῆς χώρας, εἰσῆλθον εἰς τὴν πόλιν. ἐψηφίσαντο δὲ καὶ ἑξήκοντα ναῦς πληροῦν, Τιμόθεον δ᾽ αὐτῶν στρατηγὸν ἐχειροτόνησαν.
12 ὁ δ᾽, οὐ δυνάμενος αὐτόθεν τὰς ναῦς πληρῶσαι, ἐπὶ νήσων πλεύσας, ἐκεῖθεν ἐπειρᾶτο συμπληροῦν, οὐ φαῦλον ἡγούμενος εἶναι, ἐπὶ συγκεκροτημένας ναῦς εἰκῇ περιπλεῦσαι.
13 Οἱ δ᾽ Ἀθηναῖοι, νομίζοντες αὐτὸν ἀναλοῦν τὸν τῆς ὥρας εἰς περίπλουν χρόνον, συγγνώμην οὐκ ἔσχον αὐτῷ, ἀλλὰ παύσαντες αὐτὸν τῆς στρατηγίας, Ἰφικράτην ἀνθαιροῦνται.

dissensum Diodori suspicetur aliquem, cum Wesselingio tenendum est, Zacynthios primos precibus adiisse Athenienses pro auxilio; deinde vero, cum accessissent Corcyræi, Athenienses decrevisse primum Zacynthiis auxilio mittere Stesiclem; deinde eundem, rebus Zacynthiorum compositis, ad Corcyræos pergere jussisse. Ne quis igitur eum interim rediisse Athenas et denuo Corcyram missum putet, quod Wesselingio in mentem venit.

Ἀλκέτου συνδιαβιβάσαι. Fuit ille Alcetas Epiri, e cujus regione est Corcyra, ὕπαρχος, de quo supra cap. 1. Qui cum Athenas venisset, ut Timotheum deprecatione sua absolveret, Athenienses eum precati esse videntur, ut ipse et Jason, qui simul aderat, copias pedestres eas secum transveherent, quas Corcyræis submittere volebant. Hinc est quod Xenophon dicit συνδιαβιβάσαι τούτους. Alias enim dixisset διαβιβάσαι. De Alceta paulo post videbimus, ut et de Jasone ad §. 13. Adfuerunt illi Athenis archonte Asteio.

§. 12. ἐπὶ νήσων. Thraciam adiisse, et, adjunctis sibi civitatibus multis, triginta etiam triremes addidisse prioribus sexaginta, quas secum eduxerat, narrat Diodorus c. 47.

εἰκῇ. Morus legebat μὴ εἰκῇ et interpretabatur: haud parvi ad victoriam momenti ratus, si adversus classem bene paratam et instructam non temere, sed bene paratus proficisceretur. Contra bene monuit Kœppen, vulgatam lectionem non tentandam esse, sed interpretandam: non leve esse, sed magnæ imprudentiæ. Attulit propterea locum Anabas. vi. 6. 12. ἐνίοις δ᾽ οὐ φαῦλον δοκεῖ εἶναι τὸ πρᾶγμα, εἰ ἡμῖν οὕτως ἔχων τὴν γνώμην Κλέανδρος ἄπεισιν.

περιπλεῦσαι. Reiske Animadverss. ad Auctores Gr. vol. iv. pag. 52. malebat παραπλεῦσαι. Ita etiam supra erat §. 9. παράπλους εἰς Πελοπόννησον, sed mox §. 13. et 27. dicitur περίπλους; et commode utrumque vocabulum eadem de re potest poni.

§. 13. ἀναλοῦν. Male Edd. A. J. Bryl. Cast. ἀναλοῦντα.

ἀνθαιροῦνται. Demosthenes in oratione contra hunc ipsum Timotheum pag. 1186. seqq. ed. Reiske plane facit cum Xenophonte. Exierat portu Timotheus mense Munychione, archonte Socratide, hoc est, Olymp. 101. $\frac{2}{3}$. revocatus fuit et abdicatus διὰ τὸ μὴ περιπλεῦσαι Πελοπόννησον, accusante Callistrato et Iphicrate; judicium capitis anno sequente, archonte Asteio, vix deprecantibus Alceta et Jasone præsentibus, effugit, imperium tamen non recepit. Deprecaturi populum advenerant Alcetas et Jason mense Maimacterione et a populo impetrasse videntur, et liceret Timotheo ad regem Persarum, in Ægypto bellum gesturum, abire. Abiit mense Thargelione, atque annum unum et fere alterum abfuit. Locupletior interim factus rediit, et, intento Iphicrati peregrinitatis crimine, tandem filiam suam Iphicratis filio in connubium dedit. Ex hac Demosthenis narratione apparet, male Diodorum contrarium ejus, quod in

ὁ δ᾽ ἐπεὶ κατέστη στρατηγὸς, μάλα ὀξέως τὰς ναῦς ἐπληροῦτο, καὶ τοὺς τριηράρχας ἠνάγκαζε. προσέλαβε δὲ παρὰ τῶν Ἀθηναίων καὶ εἴ πού τις ναῦς περὶ τὴν Ἀττικὴν ἔπλει, καὶ τὴν Πάραλον καὶ τὴν Σαλαμινίαν, λέγων, ὡς, ἐὰν τἀκεῖ καλῶς γένηται, πολλὰς αὐτοῖς ναῦς ἀποπέμψοι. καὶ ἐγένοντο αὐτῷ αἱ ἅπασαι περὶ ἑβδομήκοντα. 14

15 Ἐν δὲ τούτῳ τῷ χρόνῳ οἱ Κερκυραῖοι οὕτω σφόδρα ἐπείνων, ὥστε διὰ τὸ πλῆθος τῶν αὐτομολούντων ἐκήρυξεν ὁ Μνάσιππος, πεπρᾶσθαι, ὅστις αὐτομολοίη. ἐπεὶ δὲ οὐδὲν ἧττον ηὐτομόλουν, τελευτῶν καὶ μαστιγῶν ἀπέπεμπεν. οἱ μέντοι ἔνδοθεν τούς γε δούλους οὐκ ἐδέχοντο πάλιν εἰς τὸ τεῖχος, ἀλλὰ πολλοὶ ἔξω ἀπέθνησκον.

16 ὁ δ᾽ αὖ Μνάσιππος, ὁρῶν ταῦτα, ἐνόμιζέ τε ὅσον οὐκ ἤδη ἔχειν τὴν πόλιν, καὶ περὶ τοὺς μισθοφόρους ἐκαινούργει, καὶ τοὺς μέν τινας αὐτῶν ἀπομίσθους ἐπεποιήκει, τοῖς δ᾽ οὖσι καὶ δυοῖν ἤδη μηνοῖν ὤφειλε τὸν μισθὸν, οὐκ ἀπορῶν, ὡς ἐλέγετο, χρημάτων· καὶ γὰρ τῶν πόλεων αἱ πολλαὶ ἀργύριον ἀντὶ τῶν ἀνδρῶν αὐτῷ ἔπεμπον, ἅτε καὶ διαποντίου τῆς στρατείας οὔσης.

17 Κατιδόντες δὲ ἀπὸ τῶν πύργων οἱ ἐκ τῆς πόλεως τάς τε φυλακὰς χεῖρον, ἢ πρόσθεν, φυλαττομένας, ἐσπαρμένους τε κατὰ τὴν χώραν τοὺς ἀνθρώπους, ἐπεκδραμόντες τοὺς μέν τινας αὐ-

Xenophontis loco eſt, tradere §. 47. Narrat enim ille, Athenienſes quidem iratos Timotheo ab initio ob cunctationem imperium ademiſſe, paulo tamen poſt reſtituiſſe, cum Timotheus, Athenas reverſus, legatos multarum civitatum, in ſocietatem adjunctarum, cum navibus aliis 30. adduxiſſet, claſſemque ſuam rebus omnibus bene inſtructam monſtraſſet: ſummam vero navium, quas, reſtituto imperio, duxerit, fuiſſe 130. Quæ a veritate plane eſſe aliena, monuit et demonſtravit jam olim Weſſelingius. Cæterum ex hac narratione Demoſthenis intelliges etiam, quam ob rem infra Xenophon §. 27. laudet Iphicratem, qui ſocios imperii ſibi fieri voluerat Calliſtratum et Chabriam.

§. 14. ἐπληροῦτο. Budæus in Comment. Gr. L. p. 941. emendabat ἐπλήρουτε, quia reliquis in locis omnibus ſemper activa forma uſus ſit Xenophon. Deinde Margo Leoncl. τριηράρχους et deinde §. 18. ταξιάρχους.

ἀποπέμψοι. Ita ex Edd. A. J. Br. Caſtal. ſcripſi. Vulgo ἀποπέμψει.

§. 15. τούτῳ τῷ χρόνῳ. Male Edd. A. J. Br. Caſt. τῷ τοιούτῳ χρόνῳ.

τούς γε δούλους. Male Edd. A. J. Br. Caſt. τούς τε δούλους.

§. 16. καὶ γὰρ τῶν. Male Caſtal. omiſit γάρ.

§. 17. φυλακάς. Male A. J. Bryl. Caſt. φάλαγγας.

18 τῶν ἔλαβον, τοὺς δὲ κατέκοψαν. αἰσθόμενος δὲ ὁ Μνάσιππος, αὐτός τε ἐξωπλίζετο, καὶ, ὅσους εἶχεν ὁπλίτας, ἅπασιν ἐβοήθει, καὶ τοὺς λοχαγοὺς καὶ τοὺς ταξιάρχας
19 ἐξάγειν ἐκέλευε τοὺς μισθοφόρους. ἀποκριναμένων δέ τινων λοχαγῶν, ὅτι οὐ ῥᾴδιον εἴη, μὴ διδόντα τὰ ἐπιτήδεια πειθομένους παρέχειν, τὸν μέν τινα βακτηρίᾳ, τὸν δὲ τῷ στύρακι ἐπάταξεν. οὕτω μὲν δὴ ἀθύμως ἔχοντες, καὶ μισοῦντες αὐτὸν, συνεξῆλθον ἅπαντες· ὅπερ ἥκιστα εἰς μάχην συμ-
20 φέρει. Ὁ δ᾽ ἐπεὶ παρετάξατο, αὐτὸς μὲν τοὺς κατὰ τὰς πύλας τῶν πολεμίων τρεψάμενος ἐπεδίωκεν· οἱ δ᾽ ἐπεὶ ἐγγὺς τοῦ τείχους ἐγένοντο, ἀνεστρέφοντό τε, καὶ ἀπὸ τῶν μνημάτων ἔβαλλον καὶ ἠκόντιζον· ἄλλοι δ᾽, ἐκδραμόντες
21 καθ᾽ ἑτέρας πύλας, ἐπιτίθενται ἀθρόοι τοῖς ἐσχάτοις· οἱ δ᾽, ἐπ᾽ ὀκτὼ τεταγμένοι, ἀσθενὲς νομίσαντες τὸ ἄκρον τῆς φάλαγγος ἔχειν, ἀναστρέφειν ἐπειρῶντο. ὡς δ᾽ ἤρξαντο ἐπαναχωρεῖν, οἱ μὲν πολέμιοι ὡς φεύγουσιν ἐπέθεντο,

§. 18. *αὐτός τε ἐξωπλίζετο.* Edd. A. J. Br. Cast. *αὐτός τε μέν.* In Ald. et Cast. est *ὡπλίζετο.*

§. 19. *διδόντα.* Margo Leonclav. *διδόντας.*

§. 20. *ἐπεδίωκεν.* Recte margo L. et Steph. ita habet, quod vulgato *ἀπεδίωκεν* substitui.

§. 21. *ἀναστρέφειν.* Cornu phalangis nimis *ἀραιὸν*, nec satis densum, *βαθὺ*, animadvertunt Lacedæmonii, in ea parte, ubi hucusque pugnabatur, octoni (*ἐπ᾽ ὀκτὼ*) stantes ipsi; igitur conantur phalangem explicare (*ἀναπτύσσειν* Cyrop. vii. 5. 3.) et ex phalangis parte nimis profunda in latus partem militum traducere per *παραγωγὴν*, quæ dicitur. Dum igitur milites hi locum, ubi constiterant antea in phalange, relinquunt, ad latus se conversuri, hostes velut in fugientem adversam phalangem irruunt majore vi, eamque perrumpunt, multo minus profundam quam antea, ita, ut media pars militum in fugam conversa retrocedat per ipsos illos milites, qui se ad utrumque phalangis cornu convertere cœperant. Est igitur idem hoc in loco *ἀναστρέφειν* et *ἐπαναστρέφειν.* In Leuctrica pugna idem accidisse, narrat Plutarchus in Pelopida c. 23. ubi Lacedæmonii cornu dextrum phalangis longius extendere conantur, at vero, ita interim irruente Pelopida, turbantur et vincuntur. *ἤρξαντο μετακινεῖν τῇ τάξει σφᾶς αὐτοὺς καὶ τὸ δεξιὸν ἀνέπτυσσον καὶ περιῆγον, ὡς κυκλωσόμενοι—ὁ δὲ Πελοπίδας ἐν τούτῳ προεξέδραμε—φθάνει πρὶν ἀνατεῖναι τὸν Κλεόμβροτον τὸ κέρας ἢ συνάγειν πάλιν εἰς τὸ αὐτὸ καὶ συγκλεῖσαι τὴν τάξιν.* Hinc intelligi puto ordinem militum interruptum et turbatum, quem Xenophon h. l. commemorat. In Anabasi *ἀναστρέφειν* in conversione agminis Gallicus Interpres de la Luzerne vertit *faire demi-tour.* Vide infra ad c. 5. 18. Sed idem monet, ab Æliano Tactico capite 24. *ἀναστροφὴν* dici etiam *un quart de conversion qui se faisoit par le pas en arriere pour se remettre.* Videant rei militaris peritiores, quæ notio h. l. conveniat.

οἱ δ' οὐκέτι ἐπανέστρεψαν· καὶ οἱ ἐχόμενοι δ' αὐτῶν εἰς φυγὴν ὥρμων. Ὁ δὲ Μνάσιππος [τοῖς μὲν πιεζομένοις] 22 οὐκ ἐδύνατο βοηθεῖν, διὰ τοὺς ἐκ τοῦ κατ' ἀντικρὺ προσκειμένους· ἀεὶ δ' ἐλείπετο σὺν ἐλάττοσι. τέλος δὲ οἱ πολέμιοι, ἀθρόοι γενόμενοι, πάντες ἐπετίθεντο τοῖς περὶ τὸν Μνάσιππον, ἤδη μάλα ὀλίγοις οὖσι. καὶ οἱ ὁπλῖται ὁρῶντες τὸ γιγνόμενον, ἐπεξῄεσαν. ἐπεὶ δ' ἐκεῖνον ἀπέκτειναν, 23 ἐδίωκον ἤδη ἅπαντες. ἐκινδύνευσαν δ' ἂν καὶ τὸ στρατόπεδον ἑλεῖν σὺν τῷ χαρακώματι, εἰ μὴ οἱ διώκοντες, τὸν ἀγοραῖόν τε ὄχλον ἰδόντες καὶ τὸν τῶν θεραπόντων καὶ τὸν τῶν ἀνδραπόδων, οἰηθέντες ὄφελός τι αὐτῶν εἶναι, ἀπεστρέφοντο. Καὶ τότε μὲν τρόπαιόν τε ἔστησαν οἱ Κερκυραῖοι, 24 καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπεδίδοσαν. ἐκ δὲ τούτου οἱ μὲν ἐν τῇ πόλει ἐρρωμενέστεροι ἐγεγένηντο· οἱ δ' ἔξω ἐν πάσῃ δὴ ἀθυμίᾳ ἦσαν. καὶ γὰρ ἐλέγετο, ὅτι Ἰφικράτης τε ὅσον οὐκ ἤδη παρείη, καὶ οἱ Κερκυραῖοι δὲ τῷ ὄντι ναῦς ἐπλήρουν. Ὑπερμένης δέ, ὃς ἐτύγχανεν ἐπιστολιαφόρος τῷ 25 Μνασίππῳ ὤν, τό τε ναυτικὸν πᾶν, ὅσον ἦν ἐκεῖ, συνεπλήρωσε, καὶ περιπλεύσας πρὸς τὸ χαράκωμα, τὰ πλοῖα πάντα γεμίσας τῶν τε ἀνδραπόδων καὶ τῶν χρημάτων, ἀπέστειλεν· αὐτὸς δὲ σύν τε τοῖς ἐπιβάταις καὶ τοῖς περισωθεῖσι τῶν στρατιωτῶν διεφύλαττε τὸ χαράκωμα· τέλος 26 δὲ καὶ οὗτοι μάλα δὴ τεταραγμένοι ἀναβάντες ἐπὶ τὰς τριήρεις ἀπέπλεον, πολὺν μὲν σῖτον, πολὺν δὲ οἶνον, πολλὰ

§. 22. τοῖς μὲν πιεζομένοις. Hæc verba omittunt Edd. A. J. Br. Caft.

§. 23. καὶ τὸ στρατόπεδον. Articulum ex A. J. reftitui.

οἱ διώκοντες. Articulum omittit Aldina.

θεραπόντων. Valckenair ad Ammonium pag. 11. emendabat παρεπόντων. Poftea eum, credo, pœnituit iftius opinionis. Cyrop. viii. 5. 6. οἱ περὶ τὰ ἐπιτήδεια θεράποντες diftinguuntur a militibus. Poffunt igitur æque bene hoc in loco cum turba forenfi, commeatum advehente et vendente, commeatibus præfecti et fervi conjungi, ut a numero militantium diftinguantur.

§. 24. ἐν πάσῃ δή. Leonclav. πάσῃ τῇ. Operarum errore, quem recepit Wels.

§. 25. τῶν τε ἀνδραπόδων. Caftal. omifit τε.

§. 26. πολὺν μέν. Edd. A. J. Br. Caftal. πολὺν μέντοι. Non inepte.

δὲ ἀνδράποδα καὶ ἀσθενοῦντας στρατιώτας καταλιπόντες· δεινῶς γὰρ ἐπεφόβηντο, μὴ καταληφθεῖεν ὑπὸ τῶν Ἀθηναίων ἐν τῇ νήσῳ. καὶ ἐκεῖνοι μὲν εἰς Λευκάδα ἀπεσώθησαν.

27 Ὁ δὲ Ἰφικράτης ἐπεὶ ἤρξατο τοῦ περίπλου, ἅμα μὲν ἔπλεεν, ἅμα δὲ πάντα, ὅσα εἰς ναυμαχίαν, παρεσκευάζετο· εὐθὺς μὲν γὰρ τὰ μεγάλα ἱστία αὐτοῦ κατέλιπεν, ὡς ἐπὶ ναυμαχίαν πλέων· καὶ τοῖς ἀκατίοις δὲ, καὶ εἰ εὔφο-

§. 27. *ἀκατίοις—εὔφορον.* Ita Steph. in libris ſe reperiſſe ait. Vulgo *ἔφορον.* *Ἀκάτια* diſtinguuntur a velis magnis. Morus nihil aliud attulit niſi gloſſam Heſychii: *ἀκάτια· τὰ μεγάλα ἄρμενα,* quæ ab h. l. aliena eſt. Plerumque eſt navigii minoris genus. Sed in loco Plutarchi de Legendis poetis pag. 6. *ἀναγκάζωμεν αὐτοὺς τὸ Ἐπικούρειον ἀκάτιον ἀραμένους ποιητικὴν φεύγειν καὶ παρεξελαύνειν,* manifeſto non navigium aliquod intelligitur, ut Morus interpretatur, ſed hoc ipſum velum, de quo Xenophon loquitur. Docet hoc verbum *ἄρασθαι.* Similiter Plutarchus in libello an ſuaviter vivere liceat ſecundum Epicurum pag. 1094. ed. Xyl. Epicurum, ait, diſcipulis ſuadere, ut ſcientias fugiant: *ἀλλὰ τοὺς τὰ ἀκάτια ἐπαραμένους φεύγειν ἀπ' αὐτῶν.* Quam ſententiam ita expreſſit Quinctilianus xii. 2. qui fugere omnem diſciplinam navigatione velociſſima jubet. In navigiis igitur minoribus, nec bellicis, videntur velocitatem maximam curſus præſtitiſſe ſublata hæc vela, *ἀκάτια* dicta.

§. 12. *εἰς τρεῖς.* Ita recte emendavit Stephanus. Reliquæ Edd. *τρὶς* abſque *εἰς*. Scilicet mora habuit quatuor *λόχους*; ſinguli *λόχοι* componuntur *πεντηκοστύσι* octo; hæ vero *ἐνωμοτίαις* ſedecim; ita, ut lochorum quiſque quatuor enomotiis conſtet; quod ſi per lochos ordinatur acies, et enomotiæ collocantur, ita, ut profunditas earum ternos milites contineat, efficitur, ut profunditas ſingulorum lochorum fiat in duodenos milites. Cf. Xenoph. de Laced. xi. Neſcio an ita voluerit h. l. interpretari Morus. Ita vero ille ad h. l. Enomotiæ ſingulæ ita incedunt inſtructæ, ut in quolibet ordine tres ſint milites (drey und drey neben einander in einem Gliede); itaque ad ſummum duodecim ordines ejuſmodi deinceps incedunt. Laudat etiam ſimillimum Thucydidis locum v. 66. 67. 68. Verbum *συμβαίνειν* de collectione numerorum in ſummam dicitur. Locum Xenophontis apponam: *ἐκ δὲ τούτων τῶν μορῶν διὰ παρεγγυήσεως καθίστανται, τοτὲ μὲν εἰς ἐνωμοτίας, τοτὲ δὲ εἰς τρεῖς, τοτὲ δὲ εἰς ἕξ.* Quæ ſenſum plane non habent rei aptum. Sed præclare vertit Eques *de la Luzerne: Ces diviſions ſe mettent en bataille ſuivant l'ordre qu'elles reçoivent. Quelquefois chaque énomotie ne fait qu'une file, quelquefois elle eſt ſur trois files, quelquefois ſur ſix.* Senſum ſcilicet is ſequitur, quem verba græca nullo modo admittunt, quæ ita ex h. l. ordinanda ſunt: *καθίστανται εἰς ἐνωμοτίας, τοτὲ μὲν εἰς τρεῖς, τοτὲ δὲ εἰς ἕξ.* Cæterum annotavit Gallus, prudentiſſimus rei militaris, Thucydidem v. 68. contra aſſerere, enomotiam unamquamque in quaternos milites fuiſſe collocatam in acie. (*Formée ſur quatre files; ou ayant quatre hommes de front au premier rang.*)

*συνεστραμμένοι.* Morus *συνεστραμμένων* legendum eſſe putabat, dubius tamen; et pro modeſtia ſua vir æqualis doctrinæ veretur, ut locum intelligat. Equidem nihil muto. Ut *ἐνωμοτία* ſignificat Lacedæmoniorum peditatum, ita *ἀσπίδες* Thebanorum peditatum notat. Illius profunditas duodenos, hujus vero quinquagenos milites continebat. De illo *βάθος* poſuit; quod cum non ſatis eſſet denſum ad Thebanorum peditatum, de hoc *συνεστραμμένοι* dixit, ut denſitatem ſignificaret. Contrarium infra vi. 5. 19. dicit: *ἐκτείνειν τὸ στράτευμα ἐπ' ἐννέα ἢ δέκα ἀσπίδων.* Sermo ibidem eſt de *ὁπλιτικῷ*. Diodorus etiam in exercitus parte ea, quam Epaminondas ducebat, *τὴν πυκνότητα τῆς τάξεως* momentum feciſſe ad victoriam affirmat c. 55. Cæterum aciem ipſam neuter ſatis dilucide expoſuit, accuratius tamen Diodorus. In dextro cornu fuiſſe Cleombrotum, manifeſto

σειαν τὸ περὶ τὸν βασιλέα, τὸ ἄλλο πᾶν εὐχείρωτον ἔσοι-
13 το. Ἐπεὶ δὲ ἤρξατο ἄγειν ὁ Κλεόμβροτος πρὸς τοὺς πο-
λεμίους, πρῶτον μὲν, πρὶν καὶ αἰσθέσθαι τὸ μετ' αὐτοῦ
στράτευμα, ὅτι ἡγοῖτο, καὶ δὴ οἱ ἱππεῖς συνεβεβλήκεσαν,
καὶ ταχὺ ἥττηντο οἱ τῶν Λακεδαιμονίων· φεύγοντες δὲ ἐνε-
πεπτώκεσαν τοῖς ἑαυτῶν ὁπλίταις, ἔτι δὲ ἐνέβαλλον οἱ τῶν
Θηβαίων λόχοι. ὅμως δὲ, ὡς οἱ μὲν περὶ τὸν Κλεόμβρο-
τον τὸ πρῶτον ἐκράτουν τῇ μάχῃ, σαφεῖ τούτῳ τεκμηρίῳ
γνοίη τις ἄν· οὐ γὰρ ἂν ἠδύναντο αὐτὸν ἀνελέσθαι, καὶ
ζῶντα ἀπενεγκεῖν, εἰ μὴ οἱ πρὸ αὐτοῦ μαχόμενοι ἐπεκρά-

arguitur ex Nostri loco §. 14. Igitur Epaminondas fuit in sinistro exercitus Thebani; in cornu enim fuisse eum, Diodorus narrat. Sinistri igitur cornu aciem densissimam fecerat Epaminondas, eoque vicerat primus. Ita plane Plutarchus Quæst. Rom. p. 139. ed. Reiske *Θηβαῖοι τῷ εὐωνύμῳ κέρατι τρεψάμενοι καὶ κρατήσαντες ἐν Λεύκτροις διετέλεσαν ἐν πάσαις ταῖς μάχαις τῷ ἀριστερῷ τὴν ἡγεμονίαν ἀποδιδόντες.* Sed accuratius ordinem aciei describit in Pelopida c. 23. ubi dextrum Lacedæmoniorum cornu turbatum et primum victum fuisse annotat. Cum victoria diu dubia esset, Epaminondas a suis petiit *ἓν βῆμα χαρίσασθέ μοι*; atque ita uno gressu provecti vicerunt Thebani, narrante Polyæno ii. 2. 4. Idem addit, Lacedæmonios in ea pugna tibicines non adhibuisse contra morem. Vide eum i. 10.—Cæterum videant rei militaris peritiores, an verbum *συστρέφειν* habeat etiam hoc in loco eam notionem, quam in Anabasi docuit prudentissimus interpres Gallicus, Eques *de la Luzerne*. In istis enim libris, ubi milites dicuntur in acie *συστραφέντες* pugnare, significatur, quod Gallus dixit ex artis regulis, *faire un mouvement de demi-converſion*, etiam *faire un mouvement de files ſemblable à notre contre-marche*. Vide notas ejus p. 163. et 587. Idem docuit alter Anabaseos interpres, *Larcher* tom. i. p. 98. qui præterea annotavit, simplex *στρέφειν* eadem notione a Xenophonte adhiberi ut Homericum *ἐλελίχθησαν* Didymo interprete.

§. 13. *καὶ δὴ οἱ ἱππεῖς.* Morus emendat *ἤδη οἱ ἱππεῖς.*

*ἐνεπεπτώκεσαν.* In margine St. et Leonclav. *ἀνεπεπτ.* i. e. redierunt ad suos, ut ibi securi essent. Mihi quidem non probatur ea lectio.

*ἔτι δέ.* In St. L. W. *ἔτι καί.* H. Stephanus malebat *ἔτι δὲ καί.*

*ζῶντα ἀπενεγκεῖν.* Diodorus: *τοῦ μὲν σώματος ἐγκρατεῖς ἐγένοντο.* Cæterum solum Cleombrotum occisum fuisse, etiam Diodorus tradit; quid igitur factum Archidamo, quem in altero cornu collocaverat? Ita enim ille: *τοῦ δὲ παραγγέλλοντος ἡγεμόνος τετελευτηκότος, ἐγένετο παντελὴς τροπή.* Hoc argumento etiam usus Wesselingius Diodorum erroris convincere conatur, qui Archidamum Agesilai filium cum altero exercitu adduxit ad prælium, de quo tacet Xenophon. Sed argumento illi equidem non adeo confido. Alter dux superesse poterat, sed is neque imperium habuit tum, nec potuit rem restituere.

*πρὸ αὐτοῦ μαχόμενοι.* Victoriam ancipitem fuisse, dum Cleombrotus esset in vita et multi eum propugnarent, consentit Diodorus xv. 55. Thebanos, in palæstra quippe magis exercitatos, vicisse maxime *ἀθισμοῖς καὶ περιτροπαῖς*, Plutarchus auctor est Sympos. Quæst. ii. 5. Idem antea Lysander, victus a Thebano Charone, affirmavit, auctore Plutarcho Apophthegm. Laconic. p. 870. Cæterum in h. l. Edd. A. J. Cast. articulum ante *πρὸ* omittunt.

τουν ἐν ἐκείνῳ τῷ χρόνῳ. Ἐπεὶ μέντοι ἀπέθανε Δείνων τε 14 ὁ πολέμαρχος καὶ Σφοδρίας τῶν περὶ δημοσίαν, καὶ Κλεώνυμος ὁ υἱὸς αὐτοῦ, καὶ οἱ μὲν ἵπποι, καὶ οἱ συμφορεῖς τοῦ πολεμάρχου καλούμενοι, οἵ τε ἄλλοι, ὑπὸ τοῦ ὄχλου ὠθούμενοι, ἀνεχώρουν, οἱ δὲ τοῦ εὐωνύμου ὄντες τῶν Λακεδαιμονίων, ὡς ἑώρων τὸ δεξιὸν ὠθούμενον, ἐνέκλιναν· ὅμως δέ, πολλῶν τεθνεώτων, καὶ ἡσσημένοι, ἐπεὶ διέβησαν τὴν τάφρον, ἣ πρὸ τοῦ στρατοπέδου ἔτυχεν οὖσα αὐτοῖς, ἔθεντο τὰ ὅπλα κατὰ χώραν, ἔνθεν ὥρμηντο. ἦν μέντοι οὐ πάνυ ἐν ἐπιπέδῳ, ἀλλὰ πρὸς ὀρθίῳ μᾶλλόν τι τὸ στρατόπεδον Ἐκ δὲ τούτου ἦσαν μέν τινες τῶν Λακεδαιμονίων, οἳ, ἀφόρητον τὴν συμφορὰν ἡγούμενοι, τό τε τρόπαιον ἔφασαν χρῆναι κωλύειν ἱστάναι τοὺς πολεμίους, τούς τε νεκροὺς μὴ ὑποσπόνδους, ἀλλὰ διὰ μάχης πειρᾶσθαι ἀναιρεῖσθαι· οἱ δὲ 15 πολέμαρχοι, ὁρῶντες μὲν τῶν συμπάντων Λακεδαιμονίων τεθνεῶτας ἐγγὺς χιλίους, ὁρῶντες δ᾽ αὐτῶν Σπαρτιατῶν,

§. 14. Σφοδρίας. De patre hoc Cleonymi et filio supra v. 4. 25. ubi caufa, amoris Cleonymi in Archidamum exponitur. Verba τῶν περὶ δημοσίαν Plutarchus, qui locum Xenophontis v. 4. 25. exfcripfit in Agefilao cap. 25. ita expreffit: ἦν γὰρ ὁ Σφοδρίας ἐκ τῶν διαφόρων τοῦ Ἀγησιλάου, ubi peffime interpres: *ex adverfariis Agefilai*. Qui fint οἱ περὶ δημοσίαν, poft Leonclavium ad h. l. bene expofuit Morus fupra ad iv. 5. 8.

Κλεώνυμος. Plutarchus Agefil. c. 28. Κλεώνυμον τὸν Σφοδρίου τὸν καλόν, τρὶς πεσόντα πρὸ τοῦ βασιλέως, καὶ τοσαυτάκις ἐξαναστάντα.

οἱ μὲν ἵπποι. Leoncl. et St. emendant ἱππεῖς. Sed Morus ita explicandam, non corrigendam effe cenfet lectionem vulgatam. Mihi gravius aliquid ulcus latere videtur in verbis μὲν ἵπποι. Oratio etiam, ipfa hiulca et afpera, vitium prodit. Ignoratur enim initium apodofeos, quod fine dubio exorditur a verbis οἵτε ἄλλοι, et fic deinceps legendum erit οἵ τε τοῦ εὐωνύμου ὄντες.

συμφορεῖς. Cragius de Rep. Laced. 4. 4. cenfet, legatum Polemarcho additum dici συμφορέα. Auctoritatem ignoro; nec interpretatio illa colligitur ex h. l.

§. 15. Σπαρτιατῶν. Spartanos cives, Spartanos, Lacedæmonios contra Helotes et alios, qui Laconicam habitant et Spartanos fequuntur, et in militia a Spartanis differunt, ut pars a parte, intelligi, videtur Moro ad h. l. et ad Ifocratis Panegyric. p. 74. edit. fecund. Contra Valckenair egregie docuit ad Herodot. p. 696 Lacedæmonios et Laconicos effe, qui alias περίοικοι dicuntur, nec iis nominibus comprehendi Helotes. Sunt igitur Lacedæmonii h. l. cives urbium περιοικίδων, quæ imperio metropoleos Spartæ parent. Obfervationem Valckenarii neglexiffe videtur Morus, etfi eam laudavit in Indice. Numerum Lacedæmoniorum occiforum Diodorus pofuit 4000. Bœotiorum 300. Contra Paufanias ix. 3. Lacedæmonios numerat plus quam 1000. Thebanos 47. Plutarchus Agef. c. 28. numerat 1000. Lacedæmonios, Spartiatarum numerum non dat. Is ibi

ὄντων τῶν ἐκεῖ ὡς ἑπτακοσίων, [τεθνηκότας] περὶ τετρακοσίους, αἰσθόμενοι δὲ τοὺς συμμάχους πάντας μὲν ἀθύμως ἔχοντας πρὸς τὸ μάχεσθαι, ἔστι δὲ οὓς αὐτῶν οὐδὲ ἀχθομένους τῷ γεγενημένῳ, συλλέξαντες τοὺς ἐπικαιριωτάτους ἐβουλεύοντο, τί χρὴ ποιεῖν. ἐπεὶ δὲ πᾶσιν ἐδόκει, ὑποσπόνδους τοὺς νεκροὺς ἀναιρεῖσθαι, οὕτω δὴ ἔπεμψαν κήρυκα περὶ σπονδῶν, οἱ μέντοι Θηβαῖοι μετὰ ταῦτα καὶ τρόπαιον ἐστήσαντο, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν.

16 Γενομένων δὲ τούτων, ὁ μὲν εἰς τὴν Λακεδαίμονα ἀγγελῶν τὸ πάθος ἀφικνεῖται, γυμνοπαιδιῶν τε οὐσῶν τῆς τελευταίας, καὶ τοῦ ἀνδρικοῦ χοροῦ ἔνδον ὄντος· οἱ δὲ ἔφοροι

Xenophontem ſecutus fuiſſe videtur. Iterum in Apophthegm. p. 730. dicitur Epaminondas mortuorum receptionem non ſimul univerſis ſed ſingulatim urbibus permiſiſſe; atque ita numerum Lacedæmoniorum majorem 1000. deprehenſum fuiſſe patet. Dionyſ. Halic. Archæol. ii. 17. Spartanos cæſos fuiſſe tradit 1700. Sed is hunc Xenophontis locum obiter inſpexiſſe, atque inde numerum falſum dediſſe videtur: uti ſuſpicatus eſt etiam Zeune ad Xenophontis Ageſil. p. 302. Diodori rationem veriorem eſſe, cum Meurſio de Regno Lacedæmon. c. 18. inde arguit Weſſeling ad Diodorum p. 47. quod Xenophon in Ageſilao cap. 2. §. 24. habet: καὶ αὐτῶν Σπαρτιατῶν οὐ μειόνων ἀπολολότων ἐν τῇ ἐν Λεύκτροις μάχῃ ἢ λειπομένων. Numerum autem Spartanorum fuiſſe ad 8000. ferme, dicit Demaratus apud Herodotum vii. 234. Verum ex hac ratione conficitur numerus Spartiatarum occiſorum 4000; quibus addere deinde oportebit numerum periœcorum occiſorum, qui multo major eſſe debebat. Ita denique, ſive Diodorum velis Lacedæmoniorum nomine Spartanos et Lacedæmonios ſimul comprehendiſſe, quæ quidem mihi maxime probabilis eſſe videtur opinio, ſive Spartanos ſolos deſignaſſe, multo major inde numeri differentia conſequitur, quam putabat Weſſelingius. Deinde dubitari etiam poteſt, num verba Xenophontis in Ageſilao ἢ λειπομένων ſint intelligenda de numero univerſo Spartiatarum, an de illis tantum, qui e pugna Leuctrica ſuperfuerunt. Denique vix fieri poteſt, ut Diodorus in concordiam redigatur cum Xenophonte, cum Diodorus multo majorem Lacedæmoniorum exercitum ad pugnam illam adductam exhibuerit quam Xenophon, Archidamum ſcil. cum exercitu altero a Lacedæmoniis ſubmiſſum Cleombroto affirmans. Aliam rationem ingreſſus eſt Zeunius ad Ageſilaum p. 302. ſed is multo minus verum attigiſſe videtur. Cæterum inter pugnam Leuctricam et pacem, Lacedæmone firmatam, interceſſere tantum dies 20. Die enim 14. menſis Scirophorionis fœdus fuit pactum; et die quinta Hecatombæonis pugna Leuctrica accidit, annotante Plutarcho Ageſ. c. 28.

§. 16. οὐσῶν τῆς τελευταίας. Cum Geſnero ad Lucianum de Saltat. c. 12. Morus emendabat οὔσης. Diem ultimum ludorum non expreſſit, ut reliqua omnia hujus loci, Plutarchus Ageſil. c. 29. Tempeſtate calidiſſima fuiſſe hos ludos actos, conſtat ex Platone de Legibus i. p. 22. ed. Dup. Menſem Hecatombæonem colligimus ex loco Plutarchi ſupra allato; qui primus anni Attici menſis incidit fere in ſolſtitium æſtivum.

ἔνδον. In theatro; ideo deinceps ἐξήγαγον. Theatrum nominat Plutarch. Contra Pauſanias iii. pag. 233. locum illum fori, ubi ephebi in libris γυμνοπαιδιαῖς chorus Apollini agunt, χορὸν dictum fuiſſe refert.

ἐπεὶ ἤκουσαν τὸ πάθος, ἐλυποῦντο μέν, ὥσπερ οἶμαι, ἀνάγκη· τὸν μέντοι χορὸν οὐκ ἐξήγαγον, ἀλλὰ διαγωνίσασθαι εἴων. καὶ τὰ μὲν ὀνόματα πρὸς τοὺς οἰκείους ἑκάστου τῶν τεθνεώτων ἀπέδοσαν· προεῖπον δὲ ταῖς γυναιξί, μὴ ποιεῖν κραυγήν, ἀλλὰ σιγῇ τὸ πάθος φέρειν. τῇ δὲ ὑστεραίᾳ ἦν ὁρᾶν, ὧν μὲν ἐτεθνάσαν οἱ προσήκοντες, λιπαροὺς καὶ φαιδροὺς ἐν τῷ φανερῷ ἀναστρεφομένους· ὧν δὲ ζῶντες ἠγγελμένοι ἦσαν, ὀλίγους ἂν εἶδες, τούτους δὲ σκυθρωποὺς καὶ ταπεινοὺς περιϊόντας.

17 Ἐκ δὲ τούτου φρουρὰν μὲν ἔφαινον οἱ ἔφοροι ταῖν ὑπολοίποιν μόραιν, μέχρι τῶν τετταράκοντα ἀφ' ἥβης· ἐξέπεμπον δὲ καὶ ἀπὸ τῶν ἔξω μορῶν μέχρι τῆς αὐτῆς ἡλικίας· (τὸ γὰρ πρόσθεν εἰς τοὺς Φωκέας μέχρι τῶν πέντε καὶ τριάκοντα ἀφ' ἥβης ἐστρατεύοντο) καὶ τοὺς ἐπ' ἀρχαῖς δὲ τότε καταλειφθέντας ἀκολουθεῖν ἐκέλευον. 18 Ὁ μὲν οὖν Ἀγησίλαος ἐκ τῆς ἀσθενείας οὔπω ἴσχυεν· ἡ δὲ πόλις Ἀρχίδαμον τὸν υἱὸν αὐτοῦ ἐκέλευεν ἡγεῖσθαι· προθύμως δ'

πρὸς τοὺς οἰκείους. Plutarchus l. c. ἀλλὰ κατ' οἰκίαν τῶν τεθνεώτων τοῖς προσήκουσι τὰ ὀνόματα πέμψαντας. Unde ſuſpicari aliquis poſſit, Plutarchum πρὸς τὰς οἰκίας olim in h. l. legiſſe ſcriptum. Quam lectionem firmare videtur, quod ſequitur de mandatis datis ad mulieres domi ſedentes. Quodſi vero quis exiſtimet, verbum προσήκουσι in Plutarcho exprimere Xenophonteum οἰκείους, is fallitur; ipſe enim Xenophon paulo poſt οἱ προσήκοντες poſuit, ubi male Caſt. προσιόντες edidit. Factum hoc putem præcipue propter ſacri ludi religionem et hoſpites multos, quos adfuiſſe addit Plutarchus; hoſpites vero multos ſolitos fuiſſe ſpectare ludos iſtos, cognoſces ex Memorab. i. 2. 61.

ὑστεραίᾳ. Plutarchus ἅμα δ' ἡμέρᾳ. Inde ſuſpicio oritur, uſque in noctem ludos hos actos fuiſſe. Cæterum ex h. l. error grammaticorum veterum conſpicitur, qui falſa gymnopædiarum etymologia inducti, crediderunt, choros tantum puerorum nudorum ductos fuiſſe Apollini. Loca eorum poſuit Ruhnken ad Timæum p. 73.

λιπαροὺς καὶ φαιδρούς. Plutarchus: λιπαροὶ τὰ πρόσωπα, φρονήματος μεστοὶ καὶ γήθους.

§. 17. ἀπὸ τῶν ἔξω μορῶν. Caſt. male omiſit ἀπό. Valeſius ad Harpocrat. p. 124. ſuſpicabatur, h. l. ἐξ μορῶν legendum eſſe; ſex enim moras militum Spartanorum fuiſſe. Contra recte admonuit Morus, opponi τὰς ἔξω illis duabus, quæ domi relictæ erant præſidio urbis. (ταῖν ὑπολοίποιν μόραιν.) Quid? quod ſi numerus morarum fuit omnino ſenus, non poſſunt ex duabus reliquis et ſex aliis confici niſi octo moræ; qui numerus opinioni Valeſii ipſius repugnat.

§. 18. Ἀρχίδαμον. Hunc cum exercitu ipſi Leuctricæ pugnæ adfuiſſe, tradit Diodorus, ut ſupra vidimus. Subſidia a Lacedæmoniis poſt Leuctricam pugnam ſubmiſſa memorat etiam, ſed obiter, Pauſan. ix. p. 738.

αὐτῷ συνεστρατεύοντο Τεγεᾶται. ἔτι γὰρ ἔζων οἱ περὶ Στάσιππον, λακωνίζοντες, καὶ οὐκ ἐλάχιστον δυνάμενοι ἐν τῇ πόλει. ἐῤῥωμένως δὲ καὶ οἱ Μαντινεῖς ἐκ τῶν κωμῶν συνεστρατεύοντο· ἀριστοκρατούμενοι γὰρ ἐτύγχανον. καὶ Κορίνθιοι δὲ, καὶ Σικυώνιοι, καὶ Φλιάσιοι, καὶ Ἀχαιοὶ μάλα προθύμως ἠκολούθουν, καὶ ἄλλαι δὲ πόλεις ἐξέπεμπον στρατιώτας. ἐπλήρουν δὲ καὶ τριήρεις αὐτοί τε οἱ Λακεδαιμόνιοι, καὶ οἱ Κορίνθιοι, καὶ ἐδέοντο καὶ τῶν Σικυωνίων συμπληροῦν, 19 ἐφ᾽ ὧν διενοοῦντο τὸ στράτευμα διαβιβάζειν. Καὶ ὁ μὲν [δὴ] Ἀρχίδαμος ἐθύετο ἐπὶ τῇ διαβάσει.

Οἱ δὲ Θηβαῖοι εὐθὺς μετὰ τὴν μάχην ἔπεμψαν εἰς Ἀθήνας ἄγγελον ἐστεφανωμένον, καὶ ἅμα μὲν τῆς νίκης τὸ μέγεθος ἔφραζον, ἅμα δὲ βοηθεῖν ἐκέλευον, λέγοντες, ὡς νῦν ἐξείη, Λακεδαιμονίους πάντων, ὧν ἐπεποιήκεσαν αὐ- 20 τοὺς, τιμωρήσασθαι. Τῶν δὲ Ἀθηναίων ἡ βουλὴ ἐτύγχανεν ἐν ἀκροπόλει καθημένη. ἐπεὶ δ᾽ ἤκουσαν τὸ γεγενημένον, ὅτι μὲν σφόδρα ἠνιάθησαν, πᾶσι δῆλον ἐγένετο· οὔτε γὰρ ἐπὶ ξενίᾳ τὸν κήρυκα ἐδέξαντο, περί τε τῆς βοηθείας οὐδὲν ἀπεκρίναντο. καὶ Ἀθήνηθεν μὲν οὕτως ἀπῆλθεν ὁ κῆρυξ. πρὸς μέντοι Ἰάσονα, σύμμαχον ὄντα, ἔπεμπον σπουδῇ οἱ Θηβαῖοι, κελεύοντες βοηθεῖν, διαλογιζόμενοι, πῇ 21 τὸ μέλλον ἀποβήσοιτο. Ὁ δ᾽ εὐθὺς τριήρεις μὲν ἐπλήρου, ὡς βοηθήσων κατὰ θάλατταν, συλλαβὼν δὲ τό τε ξενικὸν

ἀριστοκρατούμενοι. Vide ſupra v. 2. 7.

καὶ ἐδέοντο. Margo Steph. L. Κορίνθιοι ἐδέοντο καὶ omiſſo altero καί.

τὸ στράτευμα. Articulum omiſit Caſt.

ὁ μὲν δή. A. J. Bryl. Caſtal. omittunt δὴ, et deinceps ἐν τῇ διαβάσει habent.

αὐτούς. A. J. Br. Caſtal. αὑτούς. Cæterum τιμωρεῖσθαί τινα τινὸς ſimiliter eſt in Anabaſ. vii. 1. 25.

§. 20. ξενία—ἐδέξαντο. Margo L. et St. ἐκάλεσαν. Male. Ita Anabaſ. vi. 1. 3. ἐπὶ ξενίᾳ δὲ ἐδέχοντο αὐτοὺς, ubi jam olim Hutchinſon monuit, in hoc Xenophontis loco vulgatum ἐπὶ ξένια eſſe vitioſam ſcripturam. Quare rectam reſtitui. De ipſa re cum Xenophonte ſentit Ariſtides in Panathen. pag. 303. ſed accuratius idem in Leuctrica prima pag. 88. tom. ii. ὁ κῆρυξ ἦλθε—ἐστεφανωμένον—οὕτω πόῤῥω τοῦ συνησθῆναι γενομένοις, ὥστε μήτε ἐς τὸ Πρυτανεῖον καλέσαι μήτε ἄλλο μηδὲν φιλάνθρωπον ἐνδείξασθαι.

καὶ τοὺς περὶ αὐτὸν ἱππεῖς, καίπερ ἀκηρύκτῳ πολέμῳ τῶν Φωκέων χρωμένων, πεζῇ διεπορεύθη εἰς τὴν Βοιωτίαν, ἐν πολλαῖς τῶν πόλεων πρότερον ὀφθεὶς, ἢ ἀγγελθεὶς, ὅπη πορεύοιτο. πρὶν δὲ συλλέγεσθαί τι πανταχόθεν, ἔφθανε πόῤῥω γιγνόμενος, δῆλον ποιῶν, ὅτι πολλαχοῦ τὸ τάχος μᾶλλον τῆς βίας διαπράττεται τὰ δέοντα. 22 Ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν Βοιωτίαν, λεγόντων τῶν Θηβαίων, ὡς καιρὸς εἴη ἐπιτίθεσθαι τοῖς Λακεδαιμονίοις, ἄνωθεν μὲν ἐκεῖνον σὺν τῷ ξενικῷ, σφᾶς δὲ ἀντιπροσώπους, ἀπέτρεπεν αὐτοὺς ὁ Ἰάσων, διδάσκων, ὡς, καλοῦ ἔργου γεγενημένου, οὐκ ἄξιον αὐτοῖς εἴη διακινδυνεῦσαι, ὥστε ἢ ἔτι μείζω καταπρᾶξαι, ἢ στερηθῆναι καὶ τῆς γεγενημένης νίκης. 23 Οὐχ ὁρᾶτε, ἔφη, ὅτι καὶ ὑμεῖς, ἐπεὶ ἐν ἀνάγκῃ ἐγένεσθε, ἐκρατήσατε; οἴεσθαι οὖν χρὴ, καὶ Λακεδαιμονίους ἂν, εἰ ἀναγκάζοιντο ἐκγενέσθαι τοῦ ζῆν, ἀπονοηθέντας διαμάχεσθαι. καὶ ὁ θεὸς δὲ, ὡς ἔοικε, πολλάκις χαίρει, τοὺς μὲν μικροὺς μεγάλους ποιῶν, τοὺς δὲ μεγάλους μικρούς. 24 Τοὺς μὲν οὖν Θηβαίους, τοιαῦτα λέγων, ἀπέτρεπε τοῦ διακινδυνεύειν· τοὺς δ᾽ αὖ Λακεδαιμονίους ἐδίδασκεν, οἷον μὲν εἴη ἡσσημένον στράτευμα, οἷον δὲ νενικηκός. εἰ δ᾽ ἐπιλαθέσθαι, ἔφη, βούλεσθε τὸ γεγενημένον πάθος, συμβουλεύω, ἀναπαυσαμένους καὶ μείζους γεγενημένους τοῖς ἀηττήτοις οὕτως εἰς μάχην ἰέναι. νῦν δὲ, ἔφη, εὖ ἴστε, ὅτι καὶ τῶν συμμάχων ὑμῖν εἰσὶν, οἳ διαλέγονται περὶ φιλίας τοῖς πολεμίοις· ἀλλὰ ἐκ παντὸς τρόπου σπονδὰς πειρᾶσθε λαβεῖν. ταῦτα δ᾽, ἔφη, ἐγὼ προθυμοῦμαι, σῶσαι ὑμᾶς βουλόμενος, διά τε

§. 21. ὅπη πορεύοιτο. Margo St. Leonclav. ὅτι πορεύοιτο.

συλλέγεσθαί τι. Morus fufpicatur, δὴ legendum effe. Mihi nec hoc, nec illud placet. Paulo ante Margo St. Leoncl. πρὶν ἤν. ex conjectura Fr. Porti.

§. 22. ἄνωθεν. Poft tergum.

§. 24. [εἰ δ᾽ ἐπιλαθέσθαι—οὐ βούλεσθε. Sic Pirkheim. videtur legiffe, aut potius correxiffe. Nonne hoc melius eft? *F. A. Wolfius.*]

ἀναπαυσαμένους. Margo St. Leoncl. addit: ἀναπνεύσαντας καὶ ἀναπαυσαμένους. Forte lectio vulgata in locum elegantioris furrepfit.

τὴν τȣ̃ πατρὸς φιλίαν πρὸς ὑμᾶς, καὶ διὰ τὸ προξενεῖν
25 ὑμῶν. Ἔλεγε μὲν οὖν τοιαῦτα, ἔπραττε δ᾽ ἴσως, ὅπως
διάφοροι καὶ ȣ̃τοι ἀλλήλοις ὄντες, ἀμφότεροι ἐκείνȣ δέοιντο.
Οἱ μέντοι Λακεδαιμόνιοι, ἀκȣ́σαντες αὐτȣ̃, πράττειν περὶ
τῶν σπονδῶν ἐκέλευον· ἐπεὶ δ᾽ ἀπηγγέλθη, ὅτι εἴησαν αἱ
σπονδαὶ, παρήγγειλαν οἱ πολέμαρχοι, δειπνήσαντας συν-
εσκευάσθαι πάντας, ὡς τῆς νυκτὸς πορευσομένȣς, ὅπως
ἅμα τῇ ἡμέρᾳ πρὸς τὸν Κιθαιρῶνα ἀναβαίνοιεν. ἐπεὶ δ᾽
ἐδείπνησαν, πρὶν καθεύδειν, παραγγείλαντες ἀκολȣθεῖν,
ἡγȣ̃ντο εὐθὺς ἀφ᾽ ἑσπέρας τὴν διὰ Κρεύσιος, τῷ λαθεῖν
26 πιστεύοντες μᾶλλον, ἢ ταῖς σπονδαῖς. Μάλα δὲ χαλε-
πῶς πορευόμενοι, (οἷα δὴ ἐν νυκτί τε καὶ ἐν φόβῳ ἀπιόντες,
καὶ χαλεπὴν ὁδὸν) εἰς Αἰγόσθενα τῆς Μεγαρικῆς ἀφικνȣ̃ν-
ται. ἐκεῖ δὲ περιτυγχάνȣσι τῷ μετὰ Ἀρχιδάμȣ στρατεύ-
ματι. ἔνθα δὴ ἀναμείνας, ἕως καὶ οἱ σύμμαχοι πάντες
παρεγένοντο, ἀπῆγε πᾶν ὁμȣ̃ τὸ στράτευμα μέχρι Κορίνθȣ·
ἐκεῖθεν δὲ τȣ̀ς μὲν συμμάχȣς ἀφῆκε, τȣ̀ς δὲ πολίτας
οἴκαδε ἀπήγαγεν.

27 Ὁ μέντοι Ἰάσων, ἀπιὼν διὰ τῆς Φωκίδος, Ὑαμπολι-
τῶν μὲν τό τε προάστειον εἷλε, καὶ τὴν χώραν ἐπόρθησε, καὶ
ἀπέκτεινε πολλȣ́ς· τὴν δ᾽ ἄλλην Φωκίδα διῆλθεν ἀ-
πραγμόνως. ἀφικόμενος δὲ εἰς Ἡράκλειαν, κατέβαλε τὸ

§. 25. ἔλεγε μὲν ȣ̃ν. Eadem narrat, ſed fœdus ante ipſam pugnam Leuctricam ictum fuiſſe, ſuaſore Jaſone, auctor eſt Diodorus xv. 54. de qua re ſupra vidimus.

συνεσκευάσθαι. *Paratos eſſe*, non *parare ſe*, quod eſſet συσκευάζεσθαι.

λαθεῖν. Iniquum in Thebanos animum mihi vide!

§. 26. Αἰγόσθενα. In montuoſa agri Megarici parte oppidum hoc ſitum eſſe, tradit Pauſanias i. p. 107. Diverſitatem ſcripturæ in aliis auctoribus nunc non curo.

§. 27. προαστεῖον Cleonas. Vide Valckenair ad Herodotum p. 632.

κατέβαλε. Margo St. Leonclav. κατέλαβε. Sed vulgatam lectionem defendit locus Diodori xv. 17. Ἰάσων ὁ Φερῶν τύραννος—ἐστράτευσεν εἰς τὴν Λοκρίδα, καὶ τὴν μὲν Ἡράκλειαν τὴν ἐν Τραχινίᾳ διὰ προδοσίας ἑλὼν ἀνάστατον ἐποίησε, καὶ τὴν χώραν Οἰταίοις καὶ Μηλιεῦσιν ἐδωρήσατο. μετὰ δὲ ταῦτα ἐπὶ τὴν Περραιβίαν ἐπιζεύξας τῶν πόλεων τὰς μὲν λόγοις φιλανθρώποις προσηγάγετο, τὰς δὲ διὰ βίας ἐχειρώσατο. Addit, opes et vires ejus paulatim auctas, ſuſpectas tandem viſas fuiſſe Theſſalis. Deinde c. 60. Jaſonem imperium Græciæ animo conceptum agitaſſe tradit, auctoritatemque ſummam belli gerendi

Ἡρακλειωτῶν τεῖχος, δηλονότι οὐ τοῦτο φοβούμενος, μή τινες ἀναπεπταμένης ταύτης τῆς παρόδου πορεύσοιντο ἐπὶ τὴν ἐκείνου δύναμιν, ἀλλὰ μᾶλλον ἐνθυμούμενος, μή τινες τὴν Ἡράκλειαν, ἐπὶ στενῷ οὖσαν, καταλαβόντες, εἴργοιεν αὐτὸν, εἴ ποι βούλοιτο τῆς Ἑλλάδος πορεύεσθαι. Ἐπεὶ 28 δ᾽ ἀπῆλθε πάλιν ἐς τὴν Θετταλίαν, μέγας μὲν ἦν, καὶ διὰ τὸ τῷ νόμῳ Θετταλῶν ταγὸς καθεστάναι, καὶ διὰ τὸ μισθοφόρους πολλοὺς τρέφειν περὶ αὐτὸν, καὶ πεζοὺς καὶ ἱππέας, καὶ τούτους ἐκπεπονημένους, ὡς ἂν κράτιστοι εἶεν· ἔτι δὲ μείζων καὶ διὰ τὸ συμμάχους πολλοὺς τοὺς μὲν ἤδη εἶναι αὐτῷ, τοὺς δὲ καὶ ἔτι βούλεσθαι γίγνεσθαι. μέγιστος δ᾽ ἦν τῶν καθ᾽ αὐτὸν, τῷ μηδ᾽ ὑφ᾽ ἑνὸς εὐκαταφρόνητος εἶναι. Ἐπιόντων δὲ Πυθίων, παρήγγειλε μὲν ταῖς πόλεσι, βοῦς 29 καὶ ὄϊς τρέφειν, καὶ αἶγας καὶ ὗς, καὶ παρασκευάζεσθαι Olymp. 102. $\frac{2}{3}$. ὡς εἰς τὴν θυσίαν. καὶ ἔφασαν, πάνυ μετρίως ἑκάστῃ πόλει ἐπαγγελλομένῳ γενέσθαι βοῦς μὲν οὐκ ἐλάσσους χιλίων, τὰ δὲ ἄλλα βοσκήματα πλείω ἢ μύρια. ἐκήρυξε δὲ καὶ νικητήριον χρυσοῦν στέφανον ἔσεσθαι, εἴ τις τῶν πόλεων βοῦν ἡγεμόνα κάλλιστον τῷ θεῷ θρέψειε. Παρήγγειλε δὲ 30 καὶ, ὡς στρατευσομένοις εἰς τὸν περὶ τὰ Πύθια χρόνον, Θετταλοῖς παρασκευάζεσθαι· διενοεῖτο γὰρ, ὡς ἔφασαν, καὶ τὴν πανήγυριν τῷ θεῷ καὶ τοὺς ἀγῶνας αὐτὸς διατιθέναι. περὶ μέντοι τῶν ἱερῶν χρημάτων ὅπως μὲν διενοεῖτο, ἔτι καὶ νῦν ἄδηλον· λέγεται γὰρ, ἐπερομένων τῶν Δελφῶν, τί χρὴ ποιεῖν, ἐὰν λαμβάνῃ τῶν τοῦ θεοῦ χρημάτων, ἀποκρίνασθαι τὸν θεὸν, ὅτι αὐτῷ μελήσει. Ὁ δ᾽ οὖν ἀνὴρ, τη- 31

accepisse a Thessalis; tandem dolose occisum fuisse. Ephorus septem juvenes in hujus cædis gloriam conjurasse tradidit; alii a Polydoro fratre occisum voluerunt. Hucusque Diodorus.

§. 29. ὄϊς τρέφειν. Margo St. Leoncl. ὄϊς καὶ αἶγας καὶ ὗς παρασκευάζεσθαι. Omisso τρέφειν et uno καί.

[ἐπαγγελλομένῳ. Mihi legendum videri ἐπαγγελλομένων, monui jam in Indice. *Ex Addendis.*]

§. 30. αὐτὸς διατιθέναι. Male A. J. Bryl. Cast. αὐτῷ. Deinde Margo Steph. Leoncl. λέγεται δέ.

αὐτῷ μελήσει. Historiam lege apud

λικοῦτος ὤν, καὶ τοσαῦτα καὶ τοιαῦτα διανοούμενος, ἐξέτασιν πεποιηκὼς καὶ δοκιμασίαν τοῦ Φεραίων ἱππικοῦ, καὶ ἤδη καθήμενος, καὶ ἀποκρινόμενος, εἴ τις δεόμενός του προσίοι, ὑπὸ νεανίσκων ἑπτὰ προσελθόντων, ὡς διαφερομένων τι ἀλλήλοις, ἀποσφάττεται καὶ κατακόπτεται. 32 Βοηθησάντων δὲ ἐρρωμένως τῶν παραγενομένων δορυφόρων, εἷς μὲν, ἔτι τύπτων τὸν Ἰάσονα, λόγχῃ πληγεὶς ἀποθνήσκει· ἕτερος δὲ, ἀναβαίνων, ἐφ᾽ ἵππου ἐγκαταλειφθεὶς, καὶ πολλὰ τραύματα λαβὼν, ἀπέθανεν· οἱ δ᾽ ἄλλοι, ἀναπηδήσαντες ἐπὶ τοὺς παρεσκευασμένους ἵππους, ἀπέφυγον· ὅποι δὲ ἀφίκοντο τῶν Ἑλληνίδων πόλεων, ἐν ταῖς πλείσταις ἐτιμῶντο. ᾧ καὶ δῆλον ἐγένετο, ὅτι ἰσχυρῶς ἔδεισαν οἱ Ἕλληνες αὐτὸν, μὴ τύραννος γένοιτο.

33 Ἀποθανόντος μέντοι ἐκείνου, Πολύδωρος ἀδελφὸς αὐτοῦ, καὶ Πολύφρων, ταγοὶ κατέστησαν. καὶ ὁ μὲν Πολύδωρος, πορευομένων ἀμφοτέρων εἰς τὴν Λάρισσαν, νύκτωρ καθεύδων ἀποθνήσκει ὑπὸ Πολύφρονος τοῦ ἀδελφοῦ, ὡς ἐδόκει· ὁ γὰρ θάνατος αὐτοῦ ἐξαπιναῖός τε, καὶ οὐκ ἔχων φανερὰν 34 πρόφασιν, ἐγένετο· ὁ δ᾽ αὖ Πολύφρων ἦρξε μὲν ἕνα ἐνιαυτὸν, κατεσκευάσατο δὲ τὴν ταγείαν τυραννίδι ὁμοίαν. ἔν τε γὰρ Φαρσάλῳ τὸν Πολυδάμαντα καὶ ἄλλους τῶν πολιτῶν ὀκτὼ τοὺς κρατίστους ἀπέκτεινεν, ἔκ τε Λαρίσσης πολλοὺς φυγάδας ἐποίησε. ταῦτα δὲ ποιῶν καὶ οὗτος ἀποθνήσκει ὑπ᾽ Ἀλεξάνδρου, ὡς τιμωροῦντος τῷ Πολυ-

Suidam sub vocibus ἐμοὶ μελήσει. Paulo diversa legitur in Codice Bibl. Coislinianæ p. 609.

§. 32. ἀναβαίνων ἐφ᾽ ἵππῳ. Margo L. et St. ἵππου. Deinde mutavi vulgatum ἐγκαταληφθεὶς, quod sensum alienum ab h. l. habet.

ἀφίκοντο. Ita ex A. Junt. Br. Castal. scripsi pro vulgato ἀφίκοιντο.

§. 33. Πολύφρονος. Non a Polyphrone, sed ab Alexandro fratre, veneno indito vino, interemtum Polydorum tradit Diodor. xv. 61. Addit ille: Alexandrum violenter atque injuste imperium obtinuisse per annos undecim, et tandem a juvenibus Larissæis nobilibus, advocato Alexandro Macedoniæ rege, oppugnatum fuisse. Patruum Alexandri Polyphronem nominat adeoque cum Xenophonte facit Plutarchus in Pelopida cap. 29. Cf. Wesseling ad Diodorum p. 50.

§. 34. Πολυδάμαντα. Vide supra c. 1. 2.

δώρῳ, καὶ τὴν τυραννίδα καταλύοντος. Ἐπεὶ δ᾽ αὐτὸς 35 παρέλαβε τὴν ἀρχὴν, χαλεπὸς μὲν Θετταλοῖς ταγὸς ἐγένετο, χαλεπὸς δὲ Θηβαίοις καὶ Ἀθηναίοις πολέμιος, ἄδικος δὲ λῃστὴς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. τοιοῦτος δ᾽ ὢν, καὶ αὐτὸς ἀποθνήσκει, αὐτοχειρίᾳ μὲν ὑπὸ τῶν τῆς γυναικὸς ἀδελφῶν, βουλῇ δὲ ὑπ᾽ αὐτῆς ἐκείνης. Τοῖς τε γὰρ ἀδελφοῖς ἐξήγγειλεν, ὡς ὁ Ἀλέξανδρος ἐπι- 36 βουλεύει αὐτοῖς, καὶ ἔκρυψεν αὐτοὺς ἔνδον ὄντας ὅλην τὴν ἡμέραν· καὶ δεξαμένη μεθύοντα τὸν Ἀλέξανδρον, ἐπεὶ κατεκοίμισεν, ὁ μὲν λύχνος ἐκάετο, τὸ δὲ ξίφος αὐτοῦ ἐξήνεγκεν. ὡς δ᾽ ᾔσθετο ὀκνοῦντας εἰσιέναι ἐπὶ τὸν Ἀλέξανδρον τοὺς ἀδελφοὺς, εἶπεν, ὡς, εἰ μὴ ἤδη πράξαιεν, ἐξεγερεῖ αὐτόν. ὡς δ᾽ εἰσῆλθον, ἐπισπάσασα τὴν θύραν, εἴχετο τοῦ ῥοπάλου, ἕως ἀπέθανεν ὁ ἀνήρ. Ἡ δὲ ἔχθρα 37

§. 35. Θετταλοῖς—Θηβαίοις. De his vide, quæ narrat Plutarchus in Pelopida cap. 26. et feqq.

Ἀθηναίοις. Cum Pelopidam captivum teneret, ab Athenienfibus ducem petiit, magnoque in honore fuit apud eos, donec contumeliofe et nefarie etiam cum illis agere cœperit, tefte Demofthene contra Ariftocrat. p. 66c. ed. Reifke. Præterea Cycladas navibus fuis infeftavit et Athenienfes vicit prælio navali. Vide Diodorum xv. 95. Hinc deinceps λῃστὴς κατὰ θάλατταν dicitur.

καὶ αὐτός. L. Steph. αὐτὸς αὖ. Sed Steph. inclufit αὖ.

τῆς γυναικός. Articulum omittunt A. J. Br. Caftal. Uxor fuit Thebe, filia Jafonis, auctore Plutarcho in Pelopida c. 28. Cædes facta fuit Olympiadis 105. anno quarto.

§. 36. ἐξήγγειλεν. Hiftoriam eandem narrat, in paucis et parvi momenti rebus licet variet Plutarchus in Pelop. c. 35. Inftigata primum a Pelopida captivo et timens mariti crudelitatem et perfidiam cum fratribus Tifiphono Pytholao et Lycophrone confilia cædis faciundæ, communicat atque ordinat; infidias tamen fratribus ftructas fingentem non facit Plutarchus, qui aliunde accuratius rem narrat.

ὡς ὁ Ἀλέξ. Articulum omittunt A. J. Br. Caft.

ἔκρυψεν—ἔνδον. Plutarch. πλησίον ἐν οἴκῳ τινὶ κεκρυμμένους, ex quo profecti per fcalas afcendunt in domum Alexandri.

κατεκοίμισεν. A. J. Caft. ita recte; contra κατεκοίμησεν Br. L. St.

ξίφος αὐτοῦ. Plutarchus καὶ καθελοῦσα τὸ ξίφος ὑπὲρ τῆς κεφαλῆς κρεμάμενον, σημεῖον εἶναι τοῦ κατέχεσθαι τὸν ἄνδρα καὶ καθεύδειν ἔδειξεν. In reliquis nihil variat, nifi quod ῥόπτρου haud meminit.

ῥοπάλου. Moro ῥόπαλον h. l. videtur effe idem, quod ῥόπτρον, τὸ ἐπίσπαστρον τῆς θύρας apud Hefychium, et x. 22. τὸ ἐπικροῦον τὴν θύραν apud Pollucem. Præterea Hefychius et Harpocratio interpretantur: κρίκον τῆς θύρας. Hinc effici putat Morus, effe ῥόπτρον annulum ferreum, adfixum valvis, quo et fores attrahantur, cujufque ope etiam pulfentur. Cæterum Harpocratio ex fexto Xenophontis libro affert vocabulum ῥόπτρον; itaque olim fine dubio lectum h. l. fuit ita, uti cenfet etiam Valckenair ad Herodotum vi. 91. qui docuit, ῥόπτρον, quod Scholiaftes Eu-

λέγεται αὐτῇ πρὸς τὸν Ἀλέξανδρον γενέσθαι, ὑπὸ μέν τινων, ὡς, ἐπεὶ ἔδησε τὰ ἑαυτοῦ παιδικὰ ὁ Ἀλέξανδρος, νεανίσκον ὄντα καλὸν, δεηθείσης αὐτῆς λῦσαι, ἐξαγαγὼν αὐτὸν ἀπέσφαξεν· οἱ δέ τινες, ὡς, ἐπεὶ παῖδες αὐτῷ οὐκ ἐγίγνοντο ἐκ ταύτης, ὅτι πέμπων εἰς Θήβας, ἐμνήστευε τὴν Ἰάσονος γυναῖκα ἀναλαβεῖν. τὰ μὲν οὖν αἴτια τῆς ἐπιβουλῆς ὑπὸ τῆς γυναικὸς οὕτω λέγεται· τῶν δὲ ταῦτα πραξάντων, ἄχρις οὗ ὅδε ὁ λόγος ἐγράφετο, Τισίφονος, πρεσβύτατος ὢν τῶν ἀδελφῶν, τὴν ἀρχὴν εἶχε.

## ΚΕΦ. Ε.

ΚΑΙ τὰ μὲν Θετταλικὰ, ὅσα περὶ Ἰάσονα ἐπράχθη, καὶ μετὰ τὸν ἐκείνου θάνατον, μέχρι τῆς τοῦ Τισιφόνου ἀρχῆς, δεδήλωται· νῦν δ' ἐπάνειμι, ἔνθεν ἐπὶ ταῦτα ἐξέβην. Ἐπεὶ γὰρ Ἀρχίδαμος ἐκ τῆς ἐπὶ Λεῦκτρα βοηθείας ἀπήγαγε τὸ στράτευμα, ἐνθυμηθέντες οἱ Ἀθηναῖοι, ὅτι οἱ Πελοποννήσιοι ἔτι οἴονται, χρῆναι ἀκολουθεῖν, καὶ οὔπω δια-

ripidis ad Hippolyt. 1172. interpretatur ut reliqui *τὸ ἐπίσπειστρον*, eſſe marculum januæ.

§. 37. *πρὸς τὸν Ἀλέξανδρον.* Margo L. et St. *πρὸς τὸν ἄνδρα.* Recte, puto.

*παιδικά.* Plutarchus Pelopid. cap. 28. de Alexandro: *καὶ τὸν νεώτατον αὐτῆς* (Thebæ) *ἀδελφῶν παιδικὰ πεποιημένον.* Qui ſi fuit Pitholaus vel Pytholaus, ratio apparet, cur eum Diodorus inter interfectores Alexandri haud nominaverit. Plutarchus Amator. 7. 89. Pytholaum Alexandri amaſium et occiſorem vocat.

*οὐκ ἐγίγνοντο.* Negationem omittunt J. Caſt.

*ἐμνήστευε.* Cicero Offic. ii. 7. Ab ea eſt enim ipſe propter pellicatus ſuſpicionem interfectus. Ordinem cædis patratæ narrat etiam Ovidii Ibis verſ. 323. Cæterum particulas geminatas *ὡς* et *ὅτι* ſæpe ita poſitas reperiri in libris Xenophontis, admonuit ad h. l. Leonclav. Vide infra §. 13.

*Τισίφονος.* Ita recte ſcriptum legitur nomen in margine Leonclav. Vulgatum retinuit Morus *Τισίφωνος.* Theben dominationem retinuiſſe, adſcito nomine tenus fratre Tiſiphono, teſtatur Conon Narrat. 50. Diodorus xvi. 14. auctor eſt; fratres duos, Lycophronem et Tiſiphonum, ſolos nominat, eoſque tandem ope mercenariorum militum principatum vi obtinuiſſe. Cicero de Invent. ii. 49. de Thebe: Hæc filium ſuum, quem ex tyranno habebat, ſibi in præmii loco depoſcit. Sunt, qui ex lege puerum occidi dicant oportere. Atque Xenophon negat, ex Thebe liberos procreaſſe Alexandrum.

§. 1. *βοηθείας.* Ald. Junt. Caſt. *Βοιωτίας.* Redit ad ordinem rerum ſupra cap. 4. 26. exorſum.

*ἀκολουθεῖν.* Lacedæmonios ſequi; nolebant a Lacedæmoniis deſciſcere, ſuis quippe opibus et viribus diffidentes. Ita quidem Morus. Equidem tamen ſic potius ſimpliciter intelligo: Peloponneſios, nondum ſuis ipſorum viribus confidentes, ad imperium pa-

κέοιντο οἱ Λακεδαιμόνιοι, ὥσπερ τοὺς Ἀθηναίους διέθεσαν, μεταπέμπονται τὰς πόλεις, ὅσαι βούλοιντο τῆς εἰρήνης μετέχειν, ἣν βασιλεὺς κατέπεμψεν. Ἐπεὶ δὲ συνῆλθον, 2 δόγμα ἐποιήσαντο μετὰ τῶν κοινωνεῖν βουλομένων, ὀμόσαι τόνδε τὸν ὅρκον· Ἐμμενῶ ταῖς σπονδαῖς, ἃς βασιλεὺς κατέπεμψε, καὶ τοῖς ψηφίσμασι τῶν Ἀθηναίων καὶ τῶν συμμάχων. ἐὰν δέ τις στρατεύηται ἐπί τινα πόλιν τῶν ὀμοσασῶν τόνδε τὸν ὅρκον, βοηθήσω παντὶ σθένει. Οἱ μὲν οὖν ἄλλοι πάντες ἔχαιρον τῷ ὅρκῳ· Ἠλεῖοι δὲ ἀντέλεγον, ὡς οὐ δέοι αὐτονόμους ποιεῖν οὔτε Μαργανεῖς, οὔτε Σκιλλουντίους, οὔτε Τριφυλίους· σφετέρας γὰρ εἶναι ταύτας τὰς πόλεις. Οἱ δ᾽ Ἀθηναῖοι καὶ οἱ ἄλλοι, ψηφισάμενοι, 3 ὥσπερ βασιλεὺς ἔγραψεν, αὐτονόμους εἶναι ὁμοίως καὶ μικρὰς καὶ μεγάλας πόλεις, ἐξέπεμψαν τοὺς ὁρκωτὰς, καὶ ἐκέλευσαν τὰ μέγιστα τέλη ἐν ἑκάστῃ πόλει ὁρκῶσαι. καὶ ὤμοσαν πάντες, πλὴν Ἠλείων.

Ἐξ ὧν δὴ καὶ οἱ Μαντινεῖς, ὡς ἤδη αὐτόνομοι παντά-

ratos eſſe, ſi quis ſe illis ducem præbeat. Inde Athenienſium ſpes, facile ſe impetraturos eſſe ab iis, ut ſe ſuamque auctoritatem ſequantur. Quod factum etiam eſſe vides.

οὔπω. Ita ſcribere ex margine St. et Leonclav. juſſit Morus pro vulgato οὔτω. Dubito tamen adhuc equidem. Cauſam dubitationis lector ipſe ex præcedente annotatione perſpiciet.

βούλοιντο. Ita ex margine L. St. idem Morus ſcribendum eſſe vidit.

εἰρήνης. Pacis Antalcidæ. Vide v. 1. 28.

§. 2. Σκιλλουντίους. Hos Triphyliæ incolas nominat etiam Pauſanias vi. pag. 509. et cum Maciſtiis poſt Olympiadem 48. ab Eleis defeciſſe narrat. Deinde ſine dubio ſæpius recruduit odium et diffidium. Scilluntem a Lacedæmoniis reſtauratam ſedem ibi Xenophonti donatam, deinde ab Eleis receptam, et fugam Xenophontis cum filiis ad Eleos, Lepreatas et Corinthum memorat Diogenes ii. ſect. 53. Vide tamen Pauſaniam.

§. 3. ὁρκωτάς. Demoſthenes bis dixit ὁρκίζειν τινὰ jurejurando adigere aliquem; de Corona p. 235. et contra Ariſtocratem pag. 678. Semel ἐξορκίζειν eodem ſenſu dixit, contra Cononem p. 1265. ſæpius ἐξορκοῦν, quod uniee probabat Valeſius ad Harpocrat. p. 121. Æſchines ἐξορκίζειν dixit pag. 39. ed. Reiſke.

Μαντινεῖς. Hunc locum uſque ad §. 22. paulo accuratius explicandum puto, et rerum hic narratarum originem et cauſam paulo altius repetendam, quo melius lectores Xenophontis narrationem intelligant, quam poſtremus etiam interpres plane neglexit. Poſt victoriam Leuctricam, qua fractæ Lacedæmoniorum vires conciderant, ſubito cepit Arcades libertatis capeſſendæ tuendæque cupiditas: diverſique auctores fuerunt, qui perſuadere illis volebant, ut in ſocietatem unam omnes coirent conſiliumque aliquod commune legerent, cujus imperio res omnes belli paciſque regerentur, ut eo fortius conjunctis

πασιν ὄντες, συνῆλθόν τε πάντες, καὶ ἐψηφίσαντο μίαν
4 πόλιν τὴν Μαντίνειαν ποιεῖν, καὶ τειχίζειν τὴν πόλιν. Οἱ
δ᾽ αὖ Λακεδαιμόνιοι ἡγοῦντο, εἰ τοῦτο ἄνευ τῆς σφετέρας
γνώμης ἔσοιτο, χαλεπὸν ἔσεσθαι. πέμπουσι γοῦν Ἀγησί-
λαον πρεσβευτὴν πρὸς τοὺς Μαντινέας, ὅτι ἐδόκει πατρικὸς
φίλος αὐτοῖς εἶναι. ἐπεὶ δὲ ἀφίκετο πρὸς αὐτοὺς, τὸν μὲν
δῆμον τῶν Μαντινέων οἱ ἄρχοντες οὐκ ἤθελον συλλέξαι
αὐτῷ, πρὸς δὲ σφᾶς ἐκέλευον λέγειν, ὅτου δέοιτο. ὁ δὲ
ὑπισχνεῖτο αὐτοῖς, ἐὰν νῦν ἐπίσχωσι τῆς τειχίσεως, ποιήσειν,
ὥστε μετὰ τῆς Λακεδαίμονος γνώμης, καὶ μὴ δαπανηρῶς,
5 τειχισθῆναι τὸ τεῖχος. Ἐπεὶ δὲ ἀπεκρίναντο, ὅτι ἀδύνα-
τον εἴη ἐπισχεῖν, δόγματος γεγενημένου πάσῃ τῇ πόλει ἤδη
τειχίζειν, ἐκ τούτου ὁ μὲν Ἀγησίλαος ἀπῄει ὀργιζόμενος·

conſiliis et opibus libertatem tutarentur. Diſputatum ab initio fuit de honore et auctoritate urbium, quarum multæ imperium ad ſe trahere et conſilium commune ſecum habere volebant. Tegeatarum certamina et ſeditiones inde ortas, ut et Mantinenſium, paulo obſcurius tetigit Xenophon, qui de Tegeatis tamen ſatis aperte §. 6. hæc profert: συνῆγον ἐπὶ τὸ συνιέναι τε πᾶν τὸ Ἀρκαδικὸν, καὶ, ὅ τι νικῴη ἐν τῷ κοινῷ, τοῦτο κύριον εἶναι καὶ τῶν πόλεων. Tandem Mantinenſes eorumque princeps Lycomedes viciſſe videntur ea tenus, ut oppidum Megalopolin conderent Arcades, in eaque conſilium commune (τοὺς Μυρίους) conſtituerent. Nunc comparabo locum Diodori xv. 59. ad quem Weſſelingii diligentiam deſidero. Is igitur ad Olympiadis 102. annum 3. ita ſcribit: Sub idem tempus Lycomedes Tegeates perſuaſit Arcadibus, ut in unum reipublicæ corpus ſe conjungerent, communi inſtituto conſilio, numero 10,000. virorum, quod de bello et pace conſuleret reipublicæ. Facta autem magna Arcadum ſeditione, controverſia armis diſceptata fuit, multiſque occiſis, ultra 1400. partim ad Lacedæmonios, partim ad Palantinos confugerunt. Atque hi poſtremi a Palantinis traditi victoribus et occiſi fuerunt; illi contra Lacedæmonios permoverunt, ut, expeditione contra Arcades ſuſcepta, Ageſilaus cum exercitu et exſulibus in Tegeatarum, qui ſeditionis et exſilii auctores eſſe videbantur, ditionem irruptionem faceret. Ageſilaus Tegeatis, vaſtato eorum agro urbeque obſidione clauſa et oppugnata, magnum injecit terrorem. Weſſelingius dubitabat, num Lycomedes Tegeates idem ſit ille, quem Xenophon infra vii. 1. 12. Mantinenſem, magna inter Arcades auctoritate conſpicuum memorat, cum patriam diverſam nominet Diodorus: ſed idem Diodorus deinceps non ſolum c. 62. Lycomedem, Arcadum ducem, Mantinenſem, ſed etiam iterum capite 67. Arcadum ducem Lycomedem, nulla patriæ facta mentione, nominat. Eodem nomine venit apud Pauſaniam vii. p. 654. ubi legimus, Lycomedem Mantinenſem ducem datum coloniæ, ad Megalopolin condendam miſſæ. Equidem vix dubito, eundem ubique intelligi. Arcadum commune conſilium, τοὺς Μυρίους, in Megalopoli conſtitutum fuiſſe, præter Æſchinem de falſa Legat. pag. 38. et Demoſthenem p. 344. 403. tradit etiam Pauſanias viii. p. 666. Alterum Diodori locum afferam infra ad §. 13.

§. 4. πέμπουσι γοῦν. Leonclav. Steph. W. πέμπουσιν οὖν. Recte puto.

στρατεύειν γε μέντοι ἐπ' αὐτοὺς οὐ δυνατὸν ἐδόκει εἶναι, ἐπ' αὐτονομίᾳ τῆς εἰρήνης γεγενημένης. τοῖς δὲ Μαντινεῦσιν ἔπεμπον μὲν καὶ τῶν Ἀρκαδικῶν πόλεων τινὲς συντειχιοῦντας, οἱ δὲ Ἠλεῖοι καὶ ἀργυρίου τρία τάλαντα συνεβάλοντο αὐτοῖς εἰς τὴν περὶ τὸ τεῖχος δαπάνην. καὶ οἱ μὲν Μαντινεῖς περὶ ταῦτ' ἦσαν.

6 Τῶν δέ γε Τεγεατῶν οἱ μὲν περὶ τὸν Καλλίβιον καὶ Πρόξενον συνῆγον ἐπὶ τὸ συνιέναι τε πᾶν τὸ Ἀρκαδικόν, καὶ, ὅ τι νικῴη ἐν τῷ κοινῷ, τοῦτο κύριον εἶναι καὶ τῶν πόλεων· οἱ δὲ περὶ τὸν Στάσιππον ἔπραττον, ἐᾶν τε κατὰ χώραν τὴν πόλιν, καὶ τοῖς πατρίοις νόμοις χρῆσθαι. 7 Ἡττώμενοι δὲ οἱ περὶ τὸν Πρόξενον καὶ Καλλίβιον ἐν τοῖς θεάτροις, νομίσαντες, εἰ συνέλθοι ὁ δῆμος, πολὺ ἂν τῷ

§. 5. *συντειχιοῦντας.* Ita recte Cast. edidit; quod etiam Steph. volebat poni.

*τρία τάλαντα.* Margo Steph. *τριάκοντα.*

*καὶ οἱ μέν.* Cast. *μὲν* omisit.

§. 6. *συνῆγον.* Morus interpretatur: unanimi consilio rem eo trahebant, ut Arcadum concilium haberetur: et putat synonymum esse, quod deinceps sequitur, *ἔπραττον*, *id agebant.*

*νικῴη.* Quicquid consilium decreverit; quæcunque in consilio sententia vicerit.

*ἐᾶν τι.* Cast. omisit *τι.*

*κατὰ χώραν.* Morus h. l. interpretatur: nihil immutare formam civitatis. Male. Scilicet vir doctus non animadverterat, consilia jam tum inter Arcades de condenda Megalopoli fuisse agitata, quæ ægre tandem fuerunt perfecta. Inde pendet etiam sensus verborum *συνῆγον ἐπὶ τὸ συνιέναι τε πᾶν τὸ Ἀρκαδικόν.* Volebant scilicet Callibius et Proxenus cives abducere cum reliquis Arcadibus in Megalopolin. Vix autem verba illa Xenophontis sana et integra sunt. Timonem et Proxenum, Tegeatas, duces coloniæ, ad Megalopolin missæ, nominat Pausanias viii. p. 654. Quod vero Pausanias p. 655. statim post pugnam Leuctricam mensibus paucis, eodem tamen anno, Olymp. 102. 2. conditam dicat Megalopolin, Diodorus autem xv. 72. tribus annis seriorem faciat ejus urbis *συνοικισμόν*; ita enim ille: post pugnam, qua Arcades victi sunt a Lacedæmoniis, Olymp. 103. 1. Arcades Megalopolin condiderunt, collatis in eam 40. pagis Mænaliorum et Parrhasiorum; quod denique Marmor Parium urbis initia ad Olymp. 102. 3. referat: hæc temporis diversitas inde explicari debet cum Wesselingio ad Diodorum p. 59. quod Megalopolis condi quidem cœpta sit statim post victoriam Leuctricam, absoluta vero demum post Arcadum cladem. Hanc Wesselingii interpretationem plane confirmat hic Xenophontis locus, qui, nescio quo pacto, hucusque virorum doctorum diligentiam fugit. Eodem etiam respicit Plutarchus Pelopid. cap. 24. qui, primam Thebanorum irruptionem in Laconicam describens, ita pergit: *ἐν ἐκείνῃ τῇ στρατείᾳ πᾶσαν Ἀρκαδίαν εἰς μίαν δύναμιν συνέστησαν.*

§. 7. *θεάτροις.* Senatum ibi convenisse, statuit interpres Goldhagen. Quod nisi approbes, sequendus tibi erit Morus, verba *ἐν τοῖς θεάτροις* transponere jubens post illa: *εἰ συνέλθοι ὁ δῆμος.*

πλήθει κρατῆσαι, ἐκφέρονται τὰ ὅπλα. ἰδόντες δὲ τοῦτο οἱ περὶ τὸν Στάσιππον, καὶ αὐτοὶ ἀνθωπλίσαντο, καὶ ἀριθμῷ μὲν οὐκ ἐλάττους ἐγένοντο· ἐπεὶ μέντοι εἰς μάχην ὥρμησαν, τὸν μὲν Πρόξενον καὶ ἄλλους ὀλίγους μετ' αὐτοῦ ἀποκτείνουσι, τοὺς δ' ἄλλους τρεψάμενοι οὐκ ἐδίωκον· καὶ γὰρ τοιοῦτος ὁ Στάσιππος ἦν, οἷος μὴ βούλεσθαι πολλοὺς 8 ἀποκτιννύναι τῶν πολιτῶν. Οἱ δὲ περὶ τὸν Καλλίβιον, ἀνακεχωρηκότες ὑπὸ τὸ πρὸς Μαντίνειαν τεῖχος καὶ τὰς πύλας, ἐπεὶ οὐκέτι αὐτοῖς οἱ ἐναντίοι ἐπεχείρουν, ἡσυχίαν εἶχον ἠθροισμένοι. καὶ πάλαι μὲν ἐπεπόμφεσαν ἐπὶ τοὺς Μαντινέας, βοηθεῖν κελεύοντες· πρὸς δὲ τοὺς περὶ Στάσιππον διελέγοντο περὶ συναλλαγῶν. ἐπεὶ δὲ καταφανεῖς ἦσαν οἱ Μαντινεῖς προσιόντες, οἱ μὲν αὐτῶν, ἀναπηδῶντες ἐπὶ τὸ τεῖχος, ἐκέλευον βοηθεῖν τὴν ταχίστην, καὶ βοῶντες σπεύδειν διεκελεύοντο· ἄλλοι δὲ ἀνοίγουσι τὰς πύλας αὐ-9 τοῖς. Οἱ δὲ περὶ τὸν Στάσιππον ὡς ᾔσθοντο τὸ γιγνόμενον, ἐκπίπτουσι κατὰ τὰς ἐπὶ τὸ Παλάντιον φερούσας πύλας, καὶ φθάνουσι, πρὶν καταληφθῆναι ὑπὸ τῶν διωκόντων, εἰς τὸν τῆς Ἀρτέμιδος νεὼν καταφυγόντες, καὶ ἐγκλεισάμενοι ἡσυχίαν εἶχον. οἱ δὲ μεταδιώξαντες ἐχθροὶ αὐτῶν, ἀναβάντες ἐπὶ τὸν νεών, καὶ τὴν ὀροφὴν διελόντες, ἔπαιον ταῖς κεραμίσιν. οἱ δ' ἐπεὶ ἔγνωσαν τὴν ἀνάγκην, παύεσθαί τε ἐκέλευον, καὶ ἐξιέναι ἔφασαν. οἱ δ' ἐναντίοι, ὡς

περὶ τὸν Στάσιππον. Articulum omifit Junt. Caft.

§. 8. πρὸς Μαντίνειαν. Margo Steph. Μαντινείας.

§. 9. Παλάντιον φερούσας. Pro Arcadiæ urbe Palantium habet Stephan. Byz. Nominat etiam Diodorus xv. 59. Paufan. viii. 43. Dionyfius Halicarn. i. p. 24. Cum vero Diodorus dicat: εἰς τὴν Παλάντιον: obfervandum eft, ex porta Megalopoleos aliqua viam duxiffe ad Palantium et Tegeam ufque ad Choma; qui terminus terram Megalopolitanam a Tegeatide et Palantia diftinguebat. A Chomate via dextrorfum ad Palantiorum agrum ducebat. Ita Paufanias viii. 44.

Ἀρτέμιδος. Cum templum hoc extra mœnia fuerit, videtur Diana Limnatis effe, cujus templum in via, in Laconicam ducente, 9. ftadia ab urbe diffitum erat, aut Κνατεὰς, cujus templum diftabat ftadiis 19. tradente Paufan. viii. p. 708. Fefto die Tegeatas omnes ad celebrandum Minervæ facrum urbe egreffos memorat Frontinus Stratag. ii. 2. 8.

ὑποχειρίους ἔλαβον αὐτοὺς, δήσαντες καὶ ἀναλαβόντες ἐπὶ τὴν ἁρμάμαξαν, ἀπήγαγον εἰς Τέγεαν. ἐκεῖ δὲ μετὰ τῶν Μαντινέων καταγνόντες, ἀπέκτειναν.

10 Τούτων δὲ γιγνομένων, ἔφυγον εἰς Λακεδαίμονα τῶν περὶ Στάσιππον Τεγεατῶν περὶ ὀκτακοσίους. μετὰ δὲ ταῦτα τοῖς Λακεδαιμονίοις ἐδόκει, βοηθητέον εἶναι τὴν ταχίστην τοῖς τεθνεῶσι τῶν Τεγεατῶν, κατὰ τοὺς ὅρκους, καὶ ἐκπεπτωκόσι· καὶ οὕτω στρατεύουσιν ἐπὶ τοὺς Μαντινέας, ὡς παρὰ τοὺς ὅρκους σὺν ὅπλοις ἐληλυθότων αὐτῶν ἐπὶ τοὺς Τεγεάτας. καὶ φρουρὰν μὲν οἱ ἔφοροι ἔφαινον, Ἀγησίλαον δ' ἐκέλευεν ἡ πόλις ἡγεῖσθαι.

11 Οἱ μὲν οὖν ἄλλοι Ἀρκάδες εἰς Ἀσέαν συνελέγοντο· Ὀρχομενίων δὲ οὐκ ἐθελόντων κοινωνεῖν τοῦ Ἀρκαδικοῦ, διὰ τὴν πρὸς Μαντινέας ἔχθραν, ἀλλὰ καὶ δεδεγμένων εἰς τὴν πόλιν τὸ ἐν Κορίνθῳ συνειλεγμένον ξενικὸν, οὗ Πολύτροπος ἦρχεν, ἔμενον οἴκοι οἱ Μαντινεῖς, τούτων ἐπιμελούμενοι. Ἡραιεῖς δὲ καὶ Λεπρεᾶται συνεστρατεύοντο τοῖς Λακεδαιμονίοις ἐπὶ τοὺς Μαντινέας.

12 Ὁ δὲ Ἀγησίλαος, ἐπεὶ ἐγένετο αὐτῷ τὰ διαβατήρια, εὐθὺς ἐχώρει ἐπὶ τὴν Ἀρκαδίαν. καὶ καταλαβὼν πόλιν ὅμορον οὖσαν, Εὐταίαν, καὶ εὑρὼν ἐκεῖ τοὺς μὲν πρεσβυτέρους καὶ τὰς γυναῖκας καὶ τοὺς παῖδας οἰκοῦντας ἐν

§. 10. *κατὰ τοὺς ὅρκους.* De quibus ſupra vi. 3. 18. 19. Deinceps Kœppen legere jubet *καὶ τοῖς ἐκπεπτωκόσι.*

§. 11. *Ἀσέαν.* Arcadiæ pagum, *κώμην* Stephanus Byz. terræ Megalopolitanæ pagum Strabo p. 343. appellat. Scilicet poſt conditam Megalopolin hæc oppida omnia, quæ in ſocietatem unam coierant olim, vicorum et pagorum formam ſub poteſtate Megalopolitanorum induerant, teſte Pauſania viii. p. 655.

*Ὀρχομενίων.* De Orchomeniis Arcadiæ ſermo eſt. Hi ipſi quidem noluerunt ad Megalopolin condendam ſe conferre, ſed ex eorum tractu et conventu (*ἐκ τῶν συντελούντων ἐς Ὀρχομενὸν*) Thiſoa, Methydrium et Teuthis, auctore eodem Pauſania l. l.

§. 12. *Ἀγησίλαος.* Breviter eandem expeditionem narrat in Ageſil. cap. ii. 23. Plutarchus Ageſil. 31. ſedulo quidem caviſſe, ait, Ageſilaum, ne prælio committeret copias ſuas, urbem tamen parvam Mantinenſium cepiſſe et regionem devaſtaſſe.

*Εὐταίαν.* Videtur eſſe ea, quam Plutarchus *πολίχνην τῶν Μαντινέων* vocat. Stephan. Byz. ex hoc loco nominat Eutæan Arcadiæ oppidum. Vitioſe igitur A. J. Br. Caſt. hic et infra 20. 21. *Εὐγαίαν* habent ſcriptum. Nominat etiam Pauſan. viii. p. 654.

ταῖς οἰκίαις, τοὺς δὲ ἐν τῇ στρατευσίμῳ ἡλικίᾳ οἰχομένους εἰς τὸ Ἀρκαδικὸν, ὅμως οὐκ ἠδίκησε τὴν πόλιν, ἀλλ' εἴα τε αὐτοὺς οἰκεῖν, καὶ ὠνούμενοι ἐλάμβανον, ὅσων δέοιντο· εἰ δέ τι καὶ ἡρπάσθη, ὅτε εἰσῄει εἰς τὴν πόλιν, ἐξευρὼν ἀπέδωκε. καὶ ἐπῳκοδόμει δὲ τεῖχος αὐτῶν, ὅσα ἐδεῖτο, ἕωσπερ αὐτοῦ διέτριβεν, ἀναμένων τοὺς μετὰ Πολυτρόπου μισθοφόρους.

13 Ἐν δὲ τούτῳ οἱ Μαντινεῖς στρατεύουσιν ἐπὶ τοὺς Ὀρχομενίους. καὶ ἀπὸ μὲν τοῦ τείχους μάλα χαλεπῶς ἀπῆλθον, καὶ ἀπέθανόν τινες αὐτῶν· ἐπεὶ δὲ ἀποχωροῦντες ἐν τῇ Ἐλυμίᾳ ἐγένοντο, καὶ οἱ μὲν Ὀρχομένιοι ὁπλῖται οὐκέτι ἠκολούθουν, οἱ δὲ περὶ τὸν Πολύτροπον ἐπέκειντο, καὶ μάλα θρασέως, ἐνταῦθα γνόντες οἱ Μαντινεῖς, ὡς, εἰ μὴ ἀποκρούσονται αὐτοὺς, ὅτι πολλοὶ σφῶν κατακοντισθήσονται, 14 ὑποστρέψαντες ὁμόσε ἐχώρησαν τοῖς ἐπικειμένοις. Καὶ ὁ μὲν Πολύτροπος μαχόμενος αὐτοῦ ἀποθνήσκει· τῶν δὲ ἄλλων φευγόντων πάμπολλοι ἂν ἀπέθανον, εἰ μὴ οἱ Φλιάσιοι ἱππεῖς παραγενόμενοι, καὶ εἰς τὰ ὄπισθεν περιελάσαντες τῶν Μαντινέων, ἐπέσχον αὐτοὺς τῆς διώξεως. καὶ οἱ μὲν Μαντινεῖς, ταῦτα πράξαντες, οἴκαδε ἀπῆλθον.

15 Ὁ δὲ Ἀγησίλαος, ἀκούσας ταῦτα, καὶ νομίσας, οὐκ ἂν ἔτι συμμίξαι αὐτῷ τοὺς ἐκ τοῦ Ὀρχομενοῦ μισθοφόρους, οὕτω προῄει. καὶ τῇ μὲν πρώτῃ ἐν τῇ Τεγεάτιδι χώρᾳ

§. 13. Ὀρχομενίους. Diodor. xv. 62. ad Olymp. 102. 4. Lacedæmonii, inquit, ducem Polytropum miſerunt in Arcadiam cum militibus domeſticis 1000. et exſulibus Bœotiis et Argivis 500. Hic Orchomenum, Lacedæmoniis faventem, præſidio occupavit. Lycomedes autem Mantinenſis, dux Arcadum, cum Epilectis, numero 5000. contra Orchomenum venit, ibique ante urbem cum Lacedæmoniis conflixit. In eo prœlio cecidit Polytropus cum 200. aliis; reliqui in urbem confugerunt. Poſtea Arcades, adjunctis ſibi ſociis Eleis et Argivis, primum Athenas miſerunt legatos, qui Athenienſes ad ſocietatem belli contra Lacedæmonios permovere conarentur; a quibus ſpreti ad Thebanos confugiunt, qui cum illis deinde Laconicam aggreſſi ſunt.

Ἐλυμίᾳ. Morus eandem putat, quæ ſupra v. 2. 28. Elemia dicitur, infra Apolloniam ſita. Arcadiæ regio h. l. eſt, nomen vero hoc non alibi reperi in Arcadia nominatum.

ἐδειπνοποιήσατο, τῇ δὲ ὑστεραίᾳ διαβαίνει εἰς τὴν Μαντινικὴν, καὶ ἐστρατοπεδεύσατο ὑπὸ τοῖς πρὸς ἑσπέραν ὄρεσι τῆς Μαντινείας· καὶ ἐκεῖ ἅμα ἐδῄου τὴν χώραν, καὶ ἐπόρθει τοὺς ἀγρούς. τῶν δὲ Ἀρκάδων οἱ συλλεγέντες ἐν τῇ Ἀσέᾳ, νυκτὸς παρῆλθον εἰς τὴν Τέγεαν. Τῇ δὲ ὑστεραίᾳ ὁ μὲν 16 Ἀγησίλαος, ἀπέχων Μαντινείας ὅσον εἴκοσι σταδίους, ἐστρατοπεδεύσατο· οἱ δ᾽ ἐκ τῆς Τεγέας Ἀρκάδες, ἐχόμενοι τῶν μεταξὺ Μαντινείας καὶ Τεγέας ὀρῶν, παρῆσαν μάλα πολλοὶ ὁπλῖται, συμμῖξαι μάλα βουλόμενοι τοῖς Μαντινεῦσι· (καὶ γὰρ οἱ Ἀργεῖοι οὐ πανδημεὶ ἠκολούθουν αὐτοῖς) καὶ ἦσαν μέν τινες, οἳ τὸν Ἀγησίλαον ἔπειθον χωρὶς τούτοις ἐπιθέσθαι· ὁ δὲ φοβούμενος, μὴ, ἐν ὅσῳ πρὸς ἐκείνους πορεύοιτο, ἐκ τῆς πόλεως οἱ Μαντινεῖς ἐξελθόντες κατὰ κέρας τε καὶ ἐκ τῶν ὄπισθεν ἐπιπέσοιεν αὐτῷ, ἔγνω κράτιστον εἶναι, ἐᾶσαι συνελθεῖν αὐτοὺς, καὶ, εἰ βούλοιντο μάχεσθαι, ἐκ τοῦ δικαίου καὶ φανεροῦ τὴν μάχην ποιεῖσθαι. Καὶ οἱ μὲν [δὴ] Ἀρκάδες ὁμοῦ ἤδη ἐγεγένηντο. οἱ 17 δ᾽ ἐκ τοῦ Ὀρχομενοῦ πελτασταὶ, καὶ οἱ τῶν Φλιασίων ἱππεῖς, μετ᾽ αὐτῶν τῆς νυκτὸς διεξελθόντες παρὰ τὴν Μαντίνειαν, θυομένῳ τῷ Ἀγησιλάῳ πρὸ τοῦ στρατοπέδου ἐπιφαίνονται ἅμα τῇ ἡμέρᾳ, καὶ ἐποίησαν τοὺς μὲν ἄλλους εἰς [τὰς] τάξεις δραμεῖν, Ἀγησίλαον δ᾽ ἐπαναχωρῆσαι πρὸς τὰ ὅπλα. ἐπεὶ δ᾽ ἐκεῖνοι μὲν ἐγνώσθησαν φίλοι ὄντες, Ἀγησίλαος δὲ ἐκεκαλλιέρητο, ἐξ ἀρίστου προῆγε τὸ στράτευμα. ἑσπέρας δ᾽ ἐπιγινομένης, ἔλαθε στρατοπεδευσάμενος εἰς τὸν ὄπισθεν κόλπον τῆς Μαντινικῆς, μάλα σύνεγγυς, καὶ

§. 15. εἰς τὴν Τεγέαν. Articulum omiserunt A. J. Cast.

§. 16. [Corr. Τεγέας ὀρῶν. *F. A. Wolfius.*]

τῶν ὄπισθεν. Margo St. Leonclav. τοῦ ὄπισθεν. Ita supra εἰς τὰ ὄπισθεν §. 14. ubi margo St. et Leoncl. similiter τὸ ὄπισθεν habet.

§. 17. μὲν δή. Ald. Junt. Cast. omittunt δή.

εἰς τὰς τάξεις. Articulum omittunt A. J. C. Male. Similis locus est Anabas. ii. 2. 14.

κύκλῳ ὄρη ἔχοντα. 18 Τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ, ἐθύετο μὲν πρὸ τοῦ στρατεύματος· ἰδὼν δὲ συλλεγομένους ἐκ τῆς τῶν Μαντινέων πόλεως ἐπὶ τοῖς ὄρεσι, τοῖς ὑπὲρ τῆς οὐρᾶς τοῦ ἑαυτῶν στρατεύματος, ἔγνω ἐξακτέον εἶναι τὴν ταχίστην ἐκ τοῦ κόλπου. εἰ μὲν οὖν αὐτὸς ἀφηγοῖτο, ἐφοβεῖτο, μὴ τῇ οὐρᾷ ἐπίθοιντο οἱ πολέμιοι· ἡσυχίαν δὲ ἔχων, καὶ τὰ ὅπλα πρὸς τοὺς πολεμίους φαίνων, ἀναστρέψαντας ἐκέλευε τοὺς ἀπ' οὐρᾶς εἰς δόρυ ὄπισθεν τῆς φάλαγγος ἡγεῖσθαι πρὸς αὐτόν· καὶ οὕτως ἅμα ἔκ τε τοῦ στενοῦ ἐξῆγε, καὶ ἰσχυροτέραν ἀεὶ τὴν φάλαγγα ἐποιεῖτο. 19 Ἐπειδὴ δὲ ἐδεδίπλωτο ἡ φάλαγξ, οὕτως ἔχοντι τῷ ὁπλιτικῷ προελθὼν εἰς τὸ πεδίον, ἐξέτεινε πάλιν ἐπ' ἐννέα ἢ δέκα τὸ στράτευμα ἀσπίδων. οἱ μέντοι Μαντινεῖς οὐκέτι ἐξῄεσαν· καὶ γὰρ οἱ Ἠλεῖοι, συστρατοπεδευόμενοι αὐτοῖς, ἔπειθον, μὴ ποιεῖσθαι μάχην, πρὶν οἱ Θηβαῖοι παραγένοιντο· εὖ δὲ εἰδέναι ἔφασαν, ὅτι παρέσοιντο· καὶ γὰρ δέκα τάλαντα δεδανεῖσθαι αὐτοὺς παρὰ σφῶν εἰς τὴν βοήθειαν. 20 Οἱ μὲν δὴ Ἀρκάδες, ταῦτα ἀκούσαντες, ἡσυχίαν εἶχον ἐν τῇ Μαντινείᾳ· ὁ δ' Ἀγησίλαος, καὶ μάλα βουλόμενος ἀπάγειν τὸ στράτευμα, (καὶ γὰρ ἦν μέσος χειμὼν) ὅμως ἐκεῖ κατέμεινε τρεῖς ἡμέρας, οὐ πολὺ ἀπέχων τῆς τῶν Μαντινέων πόλεως, ὅπως μὴ δοκοίη φοβούμενος σπεύδειν τὴν ἄφοδον. τῇ δὲ τετάρτῃ, πρωῒ, ἀριστοποιησάμενος, ἀπῆγεν ὡς στρατοπεδευσόμενος, ἔνθαπερ τὸ πρῶτον, ἀπὸ τῆς Εὐταίας ἐξωρμήσατο. 21 Ἐπεὶ δὲ οὐδεὶς ἐφαίνετο τῶν Ἀρκάδων, ἦγε τὴν ταχίστην εἰς τὴν Εὐταίαν, καίπερ μάλα ὀψίζων, βουλόμενος ἀπαγαγεῖν τοὺς ὁπλίτας, πρὶν καὶ τὰ πυρὰ τῶν πολε-

§. 18. ὅπλα—φαίνων. Phalangem contra hoftem explicat, feu partem fui exercitus in phalange adverfus hoftes conftituit, quafi ad pugnam paratus.

ἀναστρέψαντας. Anabaf. iv. 3. 29. ἀναστρέψαντας ἐπὶ δόρυ ἡγεῖσθαι μὲν τοὺς οὐραγούς· ubi Gallicus Interpres *de la Luzerne* vertit: *faire demi-tour à droite les ferre-files en tête de la ligne.*

§. 19. συστρατοπεδευόμενοι. Margo St. L. συστρατευόμενοι.

μίων ἰδεῖν, ἵνα μή τις εἴπῃ, ὡς φεύγων ἀπαγάγοι. ἐκ γὰρ τῆς πρόσθεν ἀθυμίας ἐδόκει τι ἀνειληφέναι τὴν πόλιν, ὅτι καὶ ἐμβεβλήκει εἰς τὴν Ἀρκαδίαν, καὶ δηοῦντι τὴν χώραν οὐδεὶς ἠθελήκει μάχεσθαι. ἐπεὶ δ' ἐν τῇ Λακωνικῇ ἐγένετο, τοὺς μὲν Σπαρτιάτας ἀπέλυσεν οἴκαδε, τοὺς δὲ περιοίκους ἀφῆκεν ἐπὶ τὰς ἑαυτῶν πόλεις.

22 Olymp. 102. $\frac{3}{4}$. Οἱ δὲ Ἀρκάδες, ἐπεὶ ὁ Ἀγησίλαος ἀπεληλύθει, καὶ ᾔσθοντο διαλελυμένον αὐτῷ τὸ στράτευμα, αὐτοὶ δὲ ἠθροισμένοι ἐτύγχανον, στρατεύουσιν ἐπὶ τοὺς Ἡραιέας, ὅτι τε οὐκ ἤθελον τοῦ Ἀρκαδικοῦ μετέχειν, καὶ ὅτι συνεισβεβλήκεσαν εἰς τὴν Ἀρκαδίαν μετὰ τῶν Λακεδαιμονίων. ἐμβαλόντες δὲ, ἐνεπίμπρων τε τὰς οἰκίας, καὶ ἔκοπτον τὰ δένδρα.

Ἐπεὶ δὲ οἱ Θηβαῖοι βεβοηθηκότες παρεῖναι ἐλέγοντο εἰς τὴν Μαντίνειαν, οὕτως ἀπαλλάττονται ἐκ τῆς Ἡραίας, καὶ συμμιγνύουσι τοῖς Θηβαίοις. 23 Ὡς δὲ ὁμοῦ ἐγένοντο, οἱ μὲν Θηβαῖοι καλῶς σφίσιν ᾤοντο ἔχειν, ἐπεὶ ἐβεβοηθήκεσαν μὲν, πολέμιον δὲ οὐδένα ἔτι ἑώρων ἐν τῇ χώρᾳ, καὶ ἀπιέναι παρεσκευάζοντο· οἱ δὲ Ἀρκάδες, καὶ Ἀργεῖοι, καὶ Ἠλεῖοι, ἔπειθον αὐτοὺς ἡγεῖσθαι ὡς τάχιστα εἰς τὴν Λακωνικὴν, ἐπιδεικνύντες μὲν τὸ ἑαυτῶν πλῆθος, ὑπερεπαινοῦντες δὲ τὸ τῶν Θηβαίων στράτευμα. καὶ γὰρ οἱ μὲν Βοιωτοὶ ἐγυμνάζοντο πάντες περὶ τὰ ὅπλα, ἀγαλλόμενοι τῇ ἐν Λεύκτροις νίκῃ· ἠκολούθουν δ' αὐτοῖς καὶ Φωκεῖς, ὑπήκοοι γεγενημένοι, καὶ Εὐβοεῖς ἀπὸ πασῶν τῶν πόλεων, καὶ Λοκροὶ ἀμφότεροι, καὶ Ἀκαρνᾶνες, καὶ Ἡρακλεῶται, καὶ Μαλιεῖς· ἠκολούθουν δ' αὐτοῖς καὶ ἐκ Θετταλίας ἱππεῖς τε καὶ πελτασταί. ταῦτα συνειδόμενοι, καὶ τὴν ἐν Λακε-

§. 21. ἀνειληφέναι. Plutarch. Agef. cap. 30. βουλόμενος τὴν παροῦσαν ἀθυμίαν καὶ κατήφειαν ἀφελεῖν τῶν νέων, ἐνέβαλεν εἰς Ἀρκαδίαν — ἐλαφροτέραν ἐποίησε ταῖς ἐλπίσι καὶ ἡδίω τὴν πόλιν, ὡς οὐ παντάπασιν ἀπεγνωσμένην.

§. 22. ὅτι τε οὐκ. Caft. omifit τε. συνεισβεβλήκεσαν. A. J. Caftal. συνεισβεβήκεσαν.

§. 23. ταῦτα συνειδόμενοι. In Leonclav. St. eft ταῦτα δή. Margo Leoncl. συνηδόμενοι, quod recte improbat Mo-

δαίμονι ἐρημίαν λέγοντες, ἱκέτευον μηδαμῶς ἀποτρέπεσθαι, πρὶν ἐμβαλεῖν εἰς τὴν τῶν Λακεδαιμονίων χώραν.

24 Οἱ δὲ Θηβαῖοι ἤκουον μὲν ταῦτα, ἀντελογίζοντο δὲ, ὅτι δυσεμβολωτάτη μὲν ἡ Λακωνικὴ ἐλέγετο εἶναι, φρουρὰς δὲ καθιστάναι ἐνόμιζον ἐπὶ τοῖς εὐπροσοδωτάτοις. καὶ γὰρ ἦν Ἰσχόλαος μὲν ἐν Ἰῷ τῆς Σκιρίτιδος, ἔχων νεοδαμώδεις τε φρουροὺς, καὶ τῶν Τεγεατῶν φυγάδων τοὺς νεωτάτους περὶ τετρακοσίους. ἦν δὲ καὶ ἐπὶ Λεύκτρων ὑπὲρ τῆς Μαλεάτιδος

rus, damnata etiam vulgata lectione. Pirkheimer interpretatus eſt: *enumeravit*: quod vocabulum rei aptum cenſet Morus.

§. 24. Θηβαῖοι. Ineunte hieme hæc geſta eſſe, annotavit ipſe Xenophon infra §. 41. Plutarch. Pelop. 24. καίτοι χειμῶνος μὲν ἦσαν αἱ περὶ τροπὰς ἀκμαὶ, μηνὸς δὲ τοῦ τελευταίου φθίνοντος ὀλίγαι περιῆσαν ἡμέραι καὶ τὴν ἀρχὴν ἤδη ἔδει παραλαμβάνειν ἑτέρους εὐθὺς, ἱσταμένου τοῦ πρώτου μηνὸς ἢ θνήσκειν τοὺς μὴ παραδιδόντας. Bucatio menſe imperium ſucceſſori tradendum erat, quod tamen Pelopidas cum Epaminonda per quatuor menſes ultra terminum iſtum retinuerunt, poſtea in capitis judicium adducti, ut narrat Plutarchus ibidem cap. 25. Hæ erant rationes, quæ dubitationem afferebant Thebanorum ducibus.

[Locus eſt Appiani in Syriacis c. 41. ubi Scipionis apologiam cum Epaminondæ defenſione comparavit, dignus, quem huc afferam, quanquam non conſtat, quem græcum auctorem ſecutus fuerit. Narrat, Epaminondam cum Pelopida tertioque aliquo non nominato Bœotarcho auxilium tuliſſe Arcadibus et Meſſeniis; antequam vero conſilia omnia ſua perfeciſſent duces, revocatos fuiſſe ob calumnias quaſdam; hos vero per menſes ſex imperium retinuiſſe adhuc, nec ſucceſſoribus tradidiſſe, ἕως τὰ Λακεδαιμονίων φρούρια καθεῖλον καὶ ἐπέστησαν αὖθις ἕτερα τῶν Ἀρκάδων, Ἐπαμινώνδα τοὺς συστρατηγοὺς ἐς τοῦτο ἀναγκάζοντός τε καὶ ὑποδεχομένου τὸ ἔργον αὐτοῖς ἀζήμιον ἔσεσθαι. reliquos deinde duces accuſatos effugiſſe mortem miſeratione civium commota; Epaminondam vero mortem non deprecatum, ſed gloria ſua abuſum hoc epitaphium ſepulcro inſcribi ſuo voluiſſe: οὗτός ἐστιν ὁ περὶ Λεῦκτρα νικήσας καὶ τὴν πατρίδα τοὺς ἐχθροὺς οὐχ ὑπομένουσαν, οὐδ' εἴ τις ξένος ἔχοι Λακωνικὸν πῖλον, ἐπὶ τὴν Σπάρτην αὐτὴν προαγαγών. atque hac oratione effeciſſe, ut judicium diſcederet. Vides, quantum in re ipſa et tempore imperii definiendo diverſus abeat a Plutarcho Appianus, cujus fidei non multum tribuo. *Ex Addendis.*]

δυσεμβολωτάτη. Diodor. xv. 63. ὁρῶντες τὴν τῶν Λακεδαιμονίων χώραν δυσείσβολον οὖσαν. Euripides apud Strabonem viii. p. 563. de Sparta: κοίλη γὰρ, ὄρεσι περίδρομος, τραχεῖά τε δυσείσβολός τε πολεμίοις.

Ἰῷ τῆς Σκιρίτιδος. Stephan. Byz. Σκίρος Ἀρκαδίας κατοικία πλησίον Μαιναλίων καὶ Παῤῥασίων. Arcadica Sciritis memoratur etiam infra vii. 4. 34. Et vi. 5. 26. idem Xenophon Ἰὸν vocat κώμην. Regionem Sciritidem nominat in hac hiſtoria etiam Diodorus, ubi Weſſeling recte admonet, juxta Arcadiam eam fuiſſe poſitam. Hinc orti Sciritæ militabant in exercitu Lacedæmoniorum. Vide Zeunium ad Cyrop. iv. 2. 1.

[Σκιρίτιδος. Thucydides v. 33. ἐν τῇ Παῤῥασικῇ κείμενον ἐπὶ τῇ Σκιρίτιδι τῆς Λακωνικῆς. Si comparaveris locum noſtri vii. 4. ſ. 21. fiet tibi manifeſtum, partem regionis fuiſſe in poteſtate Spartanorum, unde orti Sciritæ, in exercitus Lacedæmoniorum cornu ſiniſtro poſiti, militaſſe videntur. *Ex Addendis*]

Λεύκτρων. Hoc loco Leuctra oppidum Peloponneſi eſt. Ita Morus. Quidni Laconicæ? Ita ſaltem Plutarchus Pelopid. 20. ἐπεὶ καὶ τῆς Λακωνικῆς πολίχνιον πρὸς τῇ θαλάττῃ Λεῦκτρον ὀνομάζεται, καὶ πρὸς Μεγαλοπόλει τῆς

ἄλλη φρουρά. ἐλογίζοντο δὲ καὶ τοῦτο οἱ Θηβαῖοι, ὡς καὶ συνελθοῦσαν ἂν ταχέως τὴν τῶν Λακεδαιμονίων δύναμιν, καὶ μάχεσθαι ἂν αὐτοὺς οὐδαμοῦ ἄμεινον, ἢ ἐν τῇ ἑαυτῶν. ἃ δὴ πάντα λογιζόμενοι, οὐ πάνυ προπετεῖς ἦσαν εἰς τὸ ἰέναι εἰς τὴν Λακεδαίμονα. 25 Ἐπεὶ μέντοι ἧκον ἔκ τε Καρυῶν, λέγοντες τὴν ἐρημίαν, καὶ ὑπισχνούμενοι αὐτοὶ ἡγήσεσθαι, καὶ κελεύοντες, ἄν τι ἐξαπατῶντες φαίνωνται, ἀποσφάττειν σφᾶς, παρῆσαν δέ τινες καὶ τῶν περιοίκων ἐπικαλούμενοι, καὶ φάσκοντες ἀποστήσεσθαι, εἰ μόνον φανείησαν εἰς τὴν χώραν, ἔλεγον δὲ, ὡς καὶ νῦν καλούμενοι οἱ περίοικοι ὑπὸ τῶν Σπαρτιατῶν οὐκ ἐθέλοιεν βοηθεῖν· πάντα οὖν ταῦτα ἀκούοντες, καὶ παρὰ πάντων, οἱ Θηβαῖοι ἐπείσθησαν, καὶ αὐτοὶ μὲν κατὰ Καρύας ἐνέβαλον· οἱ δὲ Ἀρκάδες κατὰ Ἴον τῆς Σκιρίτιδος. 26 Καὶ εἰ μὲν ἐπὶ τὰ δύσβατα προελθὼν ὁ Ἰσχόλαος ὑφίστατο, οὐδένα ἂν ταύτῃ γε ἔφασαν ἀναβῆναι· νῦν δὲ, βουλόμενος τοῖς Ἰάταις συμμάχοις χρῆσθαι, ἔμεινεν ἐν τῇ κώμῃ· οἱ δὲ ἀνέβησαν παμπληθεῖς Ἀρκάδες. ἐνταῦθα δὴ ἀντιπρόσωποι

Ἀρκαδίας τόπος ἐστὶν ὁμώνυμος. Megalopolitani agri Leuctra nominat Plutarchus in Cleomene cap. 6. ubi Polybius in eadem narratione Laodicia nominat. Fuerit igitur uterque locus vicinus Megalopoli. Laconica Leuctra accurate designat Pausanias iii. p. 277. et 264. Cæterum agmine quadripartito irrupisse hostes in regionem Laconicam, aditu difficilem, narrat Diodorus xv. 63. Bœotios sc. recto itinere ad urbem Sellasiam perrexisse, Argivos per fines agri Tegeatarum irrupisse, et conferta manu cum præsidio, quod transitum occupaverat, ducem Alexandrum, Spartanum, cum ducentis aliis occidisse, et in his multos Bœotios exsules; tertiam et fortissimam agminis partem Arcadum irrupisse in regionem Sciritidem, quam occupaverat Ischolaus; Eleos denique transiisse per loca magis aperta et ad Sellasiam convenisse cum reliquis omnibus sociis, sicque omnem exercitum Spartam versus perrexisse.

[Λεύκτρων. Thucydides v. 54. hæc eadem Leuctra Laconica sita esse ait: τῆς μεθορίας πρὸς τὸ Λύκαιον Arcadiæ. *Ex Addendis.*]

§. 25. Καρυῶν. A. J. Br. Cast. Καρύων.

ἐρημίαν. Urbem nullo præsidio firmatam esse. Ita sect. 23. et 28.

περιοίκων. Ex ditione Lacedæmoniorum; diversi ergo sunt ab Helotibus.

§. 26. Ἰσχόλαος. Diodoro xv. 64. Ἰσχόλας audit, et remissis Spartam junioribus militibus, strenue ipse pugnans cum reliquis omnibus occidisse dicitur, non sine magno virtutis præconio. Eundem nominat Polyænus Stratag. ii. 22. ut annotavit Wesseling.

μὲν μαχόμενοι οἱ περὶ τὸν Ἰσχόλαον ἐπεκράτουν· ἐπεὶ δὲ καὶ ὄπισθεν, καὶ ἐκ πλαγίου, καὶ ἀπὸ τῶν οἰκιῶν ἀναβαίνοντες ἔπαιον καὶ ἔβαλλον αὐτοὺς, ἐνταῦθα ὅ τε Ἰσχόλαος ἀποθνήσκει, καὶ οἱ ἄλλοι πάντες, εἰ μή τις ἀμφι-27 γνοηθεὶς διέφυγε. Διαπραξάμενοι δὲ ταῦτα οἱ Ἀρκάδες, ἐπορεύοντο πρὸς τοὺς Θηβαίους ἐπὶ τὰς Καρύας. οἱ δὲ Θηβαῖοι, ἐπεὶ ᾔσθοντο τὰ πεπραγμένα ὑπὸ τῶν Ἀρκάδων, πολὺ θρασύτερον κατέβαινον. καὶ τὴν μὲν Σελλασίαν εὐθὺς ἔκαιον καὶ ἐπόρθουν· ἐπεὶ δὲ ἐν τῷ πεδίῳ ἐγένοντο ἐν τῷ τεμένει τοῦ Ἀπόλλωνος, ἐνταῦθα ἐστρατοπεδεύσαντο· τῇ δὲ ὑστεραίᾳ ἐπορεύοντο. καὶ διὰ μὲν τῆς γεφύρας οὐδ' ἐπεχείρουν διαβαίνειν ἐπὶ τὴν πόλιν, (καὶ γὰρ ἐν τῷ τῆς Ἀλέας ἱερῷ ἐφαίνοντο ἐναντίοι οἱ ὁπλῖται) ἐν δεξιᾷ δ' ἔχοντες τὸν Εὐρώταν, παρῄεσαν κάοντες καὶ πορθοῦντες

ἐπεὶ δὲ καί. Copulam καὶ omisit Castal.

ἔβαλλον αὐτούς. A. J. Br. Cast. ἔβαλον.

§. 27. πολὺ θρασύτερον. L. St. πολὺ δὴ θρ. elegantius.

Σελλασίαν. Agrum et ditionem urbis intelligit. De scriptura nominis vide Wesselingium ad Diodor. ii. p. 52. Situm urbis accurate definit Polybius in Excerptis Valesii p. 1410. Sitam versus Argos arguit Plutarchi Cleomenes c. 23.

ἐν τῷ πεδίῳ. Recte Morus damnat vocabulum ἱερῷ, quod post Ἀπόλλωνος deinceps insertum, et velut spurium inclusum, habent L. et St. sed male idem damnat verba hæc ἐν τῷ πεδίῳ, quasi sensu non diversa ab illis ἐν τῷ τεμένει. Dixerat antea Thebanos descendisse, κατέβαινον, addit nunc, eos in plano progressos esse usque ad lucum Apollinis, Carnei puto, quem in hac regione collocat Pausanias iii. p. 242. Kœppen malebat: ἐν τῷ ἱερῷ πεδίῳ ἐγένοντο, ἐν τῷ τεμένει τοῦ Ἀπόλλωνος. Verum ita tautologia multo turpior existit. Nam τέμενος non est templum, sed ἱερὸν πεδίον.

γεφύρας — πόλιν. Spartam. Ex Theopompo Plutarchus Agesil. 31. ἐπυρπόλουν καὶ διήρπαζον ἄχρι τοῦ ποταμοῦ καὶ τῆς πόλεως μηδενὸς ἐπεξιόντος. In oraculo Delphico apud Plutarchum in Lycurgo c. 6. locus concionis nominatur μεταξὺ Βαβύκας καὶ Κνακίωνος. Similiter in Pelopida c. 17. Ipse Plutarchus interpretatus est hæc nomina ita, ut Babycam et Cnacionem sua ætate Œnuntem appellari dicat. Contra Aristoteles Cnacionem fluvium, Babycam pontem interpretatus erat, ut idem Plutarchus refert. Livius libro 34. Sellasiam super Œnunta fluvium positam ait, quo in loco (campestri) Antigonus cum Cleomene dimicasse dicitur. Pausanias iii. p. 273. Καγακὼ habet, Camerarius Κνακὼ, sed ex Plutarcho legendum videtur Κνακίων. Montem Κνακάδιον ibidem habet Pausanias. A flavo aquarum colore, (κνακὸς enim dorice flavus, fulvus,) fluvius nomen habuit; hinc deinde a flavo vini colore Œnus dictus: Pons, ab Aristotele memoratus, forte idem cum Xenophonteo.

Ἀλέας. Minervæ cognomen. In via, quæ Sparta ad Therapnen ducebat, cis Eurotam signum Aleæ Minervæ vidit adhuc Pausanias iii. p. 258.

πολλῶν κἀγαθῶν μεςὰς οἰκίας. Τῶν δ᾽ ἐκ τῆς πόλεως 28 αἱ μὲν γυναῖκες ὐδὲ τὸν καπνὸν ὁρῶσαι ἠνείχοντο, ἅτε ὐδέποτε ἰδῦσαι πολεμίυς· οἱ δὲ Σπαρτιᾶται, ἀτείχιςον ἔχοντες τὴν πόλιν, ἄλλος ἄλλῃ διαταχθέντες, μάλα ὀλίγοι καὶ ὄντες καὶ φαινόμενοι, ἐφύλαττον. ἔδοξε δὲ τοῖς τέλεσι, καὶ προειπεῖν τοῖς Εἵλωσιν, εἴ τις βύλοιτο ὅπλα λαμβάνειν, καὶ εἰς τάξιν τίθεσθαι, τὰ πιςὰ λαμβάνειν, ὡς ἐλευθέρυς ἐσομένυς, ὅσοι συμπολεμήσαιεν. Καὶ τὸ 29 μὲν πρῶτον ἔφασαν ἀπογράψασθαι πλέον ἢ ἑξακισχιλίους, ὥςε φόβον αὖ οὗτοι παρεῖχον συντεταγμένοι, καὶ λίαν ἐδόκυν πολλοὶ εἶναι· ἐπεὶ μέντοι ἔμενον μὲν οἱ ἐξ Ὀρχομενῦ μισθοφόροι, ἐβοήθησαν δὲ τοῖς Λακεδαιμονίοις Φλιάσιοί τε, καὶ Κορίνθιοι, καὶ Ἐπιδαύριοι, καὶ Πελληνεῖς, καὶ ἄλλαι δέ τινες τῶν πόλεων, ἤδη καὶ τὺς ἀπογεγραμμένυς ἧττον ὠῤῥώδυν. Ὡς δὲ προϊὸν τὸ ςράτευμα ἐγένετο 30 κατ᾽ Ἀμύκλας, ταύτῃ διέβαινον τὸν Εὐρώταν. καὶ οἱ μὲν Θηβαῖοι, ὅπυ ςρατοπεδεύοιντο, εὐθὺς, ὧν ἔκοπτον δένδρων,

κἀγαθῶν. Steph. emendabat ἀγαθῶν.

§. 28. ὐδὲ τὸν καπνόν. Solebat Agesilaus jactare, per sexcentos annos nullum hostem intrasse Laconicam, et refert dictum ejus Plutarchus Agesil. 30. ὅτι γυνὴ Λάκαινα καπνὸν οὐχ ἑώρακε πολέμιον. Quingentos annos reliqui auctores numerant. Cf. Perizon. ad Æliani V. H. xiii. 42. Cæterum fœminarum Laconicarum turbas memorat etiam Plutarchus l. c. καὶ τῶν γυναικῶν οὐ δυναμένων ἡσυχάζειν ἀλλὰ παντάπασιν ἐκφρόνων ὐσῶν πρός τε τὴν κραυγὴν καὶ τὸ πῦρ τῶν πολεμίων. Aristoteles etiam Politic. ii. 9. mulieres, ait, tum θόρυβον πλείω τῶν πολεμίων fecisse; ubi Victorius a vero aberravit.

[ἅτε ὐδέποτε ἰδοῦσαι πολεμίους. Si Brunckii legem agnoscis, ut videris p. 420. hic quoque scrib. erat ὐδεπώποτε. Idque hic sane commendatur sensu. *F. A. Wolfius.*]

διαταχθέντες. Margo Leonclav. διαταχθείς.

Εἵλωσιν. Postquam οἱ περίοικοι auxilium renuerant §. 25. Helotes advocant, quorum plerique tamen deinde defecerunt, ut ipse tradet infra vii. 2. 2. Diodorus xv. 65. προσθέντες τὺς Εἱλώτας ἠλευθερωμένους προσφάτως χιλίυς. Multos deinde ex ipsa urbe transfugisse Helotes et περιοίκυς, testatur Plutarchus Agesil. c. 32.

§. 29. φόβον. Addit Plutarchus Ages. 32. varias civium seditiones et conjurationes erupisse.

§. 30. προϊόν. Ita recte Morus ex margine L. St. Vulgo προσιόν.

Ἀμύκλας. Per Taygetum montem descendisse et Eurotam hiemalibus aquis intumescentem transgressos impetum hostium, turbato agminis ordine, sustinuisse, refert Diodorus xv. 65. deinde repulsos ab ipsa urbe oppugnata in Arcadiam recessisse. Cum Diodoro eadem tradit Plutarchus Ages. c. 32.

κατέβαλλον πρὸ τῶν τάξεων, ὡς ἐδύναντο πλεῖστα, καὶ οὕτως ἐφυλάττοντο· οἱ δὲ Ἀρκάδες τούτων τε οὐδὲν ἐποίουν· καταλιπόντες δὲ τὰ ὅπλα, εἰς ἁρπαγὴν ἐπὶ τὰς οἰκίας ἐτρέποντο. ἐκ τούτου δὴ ἡμέρᾳ τρίτῃ ἢ τετάρτῃ προῆλθον οἱ ἱππεῖς εἰς τὸν ἱππόδρομον, εἰς Γαιαόχου, κατὰ τάξεις, οἵ τε Θηβαῖοι πάντες, καὶ οἱ Ἠλεῖοι, καὶ ὅσοι Φωκέων ἢ Θετταλῶν ἢ Λοκρῶν ἱππεῖς παρῆσαν. 31 Οἱ δὲ τῶν Λακεδαιμονίων ἱππεῖς, μάλα ὀλίγοι φαινόμενοι, ἀντιτεταγμένοι αὐτοῖς ἦσαν. ἐνέδραν δὲ ποιήσαντες ὁπλιτῶν τῶν νεωτέρων ὅσον τριακοσίων ἐν τῇ τῶν Τυνδαριδῶν, ἅμα οὗτοι μὲν ἐξέθεον, οἱ δ' ἱππεῖς ἤλαυνον· οἱ δὲ πολέμιοι οὐκ ἐδέξαντο, ἀλλ' ἐνέκλιναν. ἰδόντες δὲ ταῦτα πολλοὶ καὶ τῶν πεζῶν, εἰς φυγὴν ὥρμησαν. ἐπεὶ μέντοι οἵ τε διώκοντες ἐπαύσαντο, καὶ τὸ τῶν Θηβαίων στράτευμα ἔμενε, πάλιν δὴ κατεστρατοπεδεύσαντο. 32 Καὶ τὸ μὲν πρὸς τὴν πόλιν προσβαλεῖν ἂν ἔτι αὐτοὺς, ἤδη τι ἐδόκει θαῤῥαλεώτερον εἶναι· ἐκεῖθεν μέντοι ἀπάραν τὸ στράτευμα ἐπορεύετο τὴν ἐφ' Ἕλος τε καὶ Γύθιον. καὶ τὰς μὲν ἀτειχίστους τῶν πόλεων

τούτων τε οὐδέν. Morus emendabat τούτων γε.

προῆλθον—Γαιαόχου. Prius verbum ex margine L. et St. recepit Morus pro vulgato προσῆλθον. Alterum effecit Morus ex lectione Leonclav. γαιαόχου, pro vulgata Γαιολόχου, secutus Pausaniam ii. 20. 21. qui Neptunum Γαιάοχον a Spartanis cultum memoravit. Idem iii. p. 260. inter Therapnen et Amyclas collocat templum, de quo Xenophon. Hippodromus forte idem est, quem in hac regione nominat Pausan. p. 241.

§. 31. ἐνέδραν. Polyænus ii. 1. 27. Cum Lacedæmonii Eurotam transgredi vellent, ficto eos oraculo prohibuit Agesilaus, paucisque ad fluminis ripam duce Symmacho Thasio relictis, alios in insidiis collocavit in valle, ipse cum maxima manu in loco munito et sylvoso substitit. Thebani, contemta hostium paucitate, ad fluminis oram subsistentium, flumen transgressi, fugientesque fuga simulata insecuti, in insidias incidunt, ita, ut eorum sexcenti interficerentur. Paulo aliter et brevius eandem rem narrat Frontinus i. 10. 3. Addit Polyænus ii. 1. 29. Agesilaum Lacedæmonios a pugna extra urbem continuisse, atque ita oppugnandi mora defatigatos Thebanos recessisse.

ἐν τῇ τῶν Τυνδαριδῶν. Scil. οἰκίᾳ, quam Castor et Pollux Tyndaridæ habitarant, antequam inter Deos fuerunt recepti. Domum hanc diu salvam mansisse et monstratam fuisse, ex Pausan. iii. 16. annotavit Morus.

§. 32. καὶ τὸ μὲν πρός. Recte additam vulgo negationem post μὲν delendam esse censuit Leonclav. cui Morus obsecutus est, interpretatus: *videbatur* ferociæ et audaciæ magis esse quam fortitudinis.

Γύθιον. L. St. Γύθειον. Scripturæ varietas hæc ubique occurrit. Cæterum Gythium Thebanorum præsidi-

ἐνεπίμπρασαν, Γυθίῳ δὲ, ἔνθα τὰ νεώρια τοῖς Λακεδαιμονίοις ἦν, καὶ προσέβαλον τρεῖς ἡμέρας. ἦσαν δέ τινες τῶν περιοίκων, οἳ καὶ ἐπέθεντο καὶ συνεστρατεύοντο τοῖς μετὰ Θηβαίων.

33 Ἀκούοντες δὲ ταῦτα οἱ Ἀθηναῖοι ἐν φροντίδι ἦσαν, ὅ τι χρὴ ποιεῖν περὶ Λακεδαιμονίων, καὶ ἐκκλησίαν ἐποίησαν κατὰ δόγμα βουλῆς. ἔτυχον δὲ παρόντες πρέσβεις Λακεδαιμονίων τε καὶ τῶν ἄλλων συμμάχων, τῶν ἔτι ὑπολοίπων αὐτοῖς. ὅθεν δὴ οἱ Λακεδαιμόνιοι, Ἄρατος, καὶ Ὤκυλλος, καὶ Φάραξ, καὶ Ἐτυμοκλῆς, καὶ Ὀλονθεὺς, σχεδὸν πάντες παραπλήσια ἔλεγον. ἀνεμίμνησκόν τε γὰρ τοὺς Ἀθηναίους, ὡς ἀεί ποτε ἀλλήλοις ἐν τοῖς μεγίστοις καιροῖς παρίσταντο ἐπ' ἀγαθοῖς· αὐτοί τε γὰρ ἔφασαν τοὺς τυράννους συνεκβαλεῖν Ἀθήνηθεν, καὶ Ἀθηναίους, ὅτε αὐτοὶ ἐπολιορκοῦντο ὑπὸ Μεσσηνίων, προθύμως βοηθεῖν. 34 Ἔλεγον δὲ καὶ ὅσ' ἀγαθὰ εἴη, ὅτε κοινῇ ἀμφότεροι ἔπραττον, ὑπομιμνήσκοντες μὲν, ὡς τὸν βάρβαρον κοινῇ ἀπεμαχέ-

um tenuisse post pugnam Leuctricam, idque Isadam cum centum adolescentibus nudis sed gladio armatis dejecisse, narrat Polyænus ii. 9. quæ narratio, ad quod tempus pertineat, nescio. Plutarchus in Agesilao c. 34. Isadam Phœbidæ filium nominat, et partem eorum refert, quæ habet Polyænus, quasi tempore secundæ Thebanorum irruptionis facta sint, sed de Gythio plane tacet.

§. 33. *τῶν ἔτι ὑπολοίπων.* In Steph. et Leoncl. est : *καὶ τῶν ἔτι ὑπολοίπων αὐτοῖς συμμάχων.*

*Ἄρατος.* Margo L. *Ἄρακος.* Recte puto. Aracum navarchum nominavit libro ii. cap. 1. cum Diodoro.

*Ὤκυλλος.* Supra v. 4. 22. adfuit *Ὤκελλος.* Sed Dercyllus et Dercyllidas similiter dicuntur.

*Φάραξ.* Navarchum ejusdem nominis supra nominavit; et Etymoclem v. 4. 22.

*Ὀλονθεύς.* A ficubus, *ὀλόνθοις*, ductum nomen.

*παραπλήσια ἔλεγον.* Aristoteles Ethic. iv. 8. *οὐδ' οἱ Λάκωνες πρὸς τοὺς Ἀθηναίους (τὰς εὐεργεσίας) ἀλλ' ἃ πεπόνθεσαν εὖ.* Ubi Eustrat. in Commentariis p. 54. b. *τόδε περὶ Λακεδαιμονίων τοιοῦτον ἱστορεῖ Καλλισθένης ἐν τῇ πρώτῃ τῶν ἑλληνικῶν, ὅτι Θηβαίων εἰς τὴν Λακωνικὴν εἰσβαλλόντων ἔπεμψαν Λακεδαιμόνιοι πρὸς τοὺς Ἀθηναίους συμμαχίας δεόμενοι λέγοντες ἐπὶ Ἀθηναίων ὅσα μὲν τοὺς Ἀθηναίους οἱ Λακεδαιμόνιοι πεποιήκασιν εὖ, τούτων ἐπελάθοντο ἑκόντες, ἃ δ' αὐτοὶ χρηστὰ πρὸς Ἀθηναίων ἐπεπόνθεσαν τούτων ἐμέμνηντο, ὡς διὰ τούτων αὐτοὺς ἐπαξόμενοι πρὸς τὴν συμμαχίαν μᾶλλον.* Hæc ille ex libro primo Hellenicorum Callisthenis, quæ Callisthenes a pace Antalcidæ exorsus erat, teste Diodoro xiv. 117.

*ἐπ' ἀγαθοῖς.* Dubitationem mihi faciunt hæc verba.

*τυράννους.* Pisistratidas.

§. 34. *ὅσ' ἀγαθά.* Recte ita margo St. et Leoncl. pro vulgato *ὡς.*

*ἀμφότεροι.* A. J. Br. Castal. *ἀμφότερα.*

σαντο, ἀναμιμνήσκοντες δὲ, ὡς Ἀθηναῖοί τε ὑπὸ τῶν Ἑλλήνων ᾑρέθησαν ἡγεμόνες τοῦ ναυτικοῦ, καὶ τῶν κοινῶν χρημάτων φύλακες, τῶν Λακεδαιμονίων ταῦτα συμβουλευομένων· αὐτοί τε κατὰ γῆν ὁμολογουμένως ὑφ' ἁπάντων τῶν Ἑλλήνων ἡγεμόνες προκριθείησαν, συμβουλευομένων 35 αὖ ταῦτα τῶν Ἀθηναίων. Εἷς δὲ αὐτῶν καὶ ὧδέ πως εἶπεν· ἐὰν δὲ ὑμεῖς καὶ ἡμεῖς, ὦ ἄνδρες, ὁμονοήσωμεν, νῦν ἐλπὶς, τὸ πάλαι λεγόμενον, δεκατευθῆναι Θηβαίους. Οἱ μέντοι Ἀθηναῖοι οὐ πάνυ ἐδέξαντο, ἀλλὰ θροῦς τις τοιοῦτος διῆλθεν, ὡς νῦν ταῦτα λέγοιεν· ὅτε δὲ εὖ ἔπραττον, ἐπέκειντο ἡμῖν. Μέγιστον δὲ τῶν λεχθέντων παρὰ Λακεδαιμονίων ἐδόκει εἶναι, ὅτι, ἡνίκα κατεπολέμησαν αὐτοὺς, Θηβαίων βουλομένων ἀναστάτους ποιῆσαι τὰς Ἀθήνας, σφί-36 σιν ἐμποδὼν γένοιντο. Ὁ δὲ πλεῖστος ἦν λόγος, ὡς κατὰ τοὺς ὅρκους βοηθεῖν δέοι· οὐ γὰρ, ἀδικησάντων σφῶν, ἐπιστρατεύοιεν οἱ Ἀρκάδες καὶ οἱ μετ' αὐτῶν τοῖς Λακεδαιμονίοις, ἀλλὰ βοηθησάντων τοῖς Τεγεάταις, ὅτι οἱ Μαντινεῖς παρὰ τοὺς ὅρκους ἐπεστράτευσαν αὐτοῖς. Διέθει οὖν καὶ κατὰ τούτους τοὺς λόγους θόρυβος ἐν τῇ ἐκκλησίᾳ· οἱ μὲν γὰρ δικαίως τοὺς Μαντινέας ἔφασαν βοηθῆσαι τοῖς περὶ Πρόξενον ἀποθανοῦσιν ὑπὸ τῶν περὶ τὸν Στάσιππον· οἱ δὲ ἀδικεῖν, ὅτι ὅπλα ἐπήνεγκαν Τεγεάταις.

37 Τούτων δὲ διοριζομένων ὑπ' αὐτῆς τῆς ἐκκλησίας, ἀνέστη Κλειτέλης Κορίνθιος, καὶ εἶπε τάδε· Ἀλλὰ ταῦτα μὲν,

χρημάτων φύλακες. Cornelii locum Ariſtid. c. 3. excitavit Morus, Thucydidis ex libro i. Fr. Portus, ubi eſt: καὶ ἑλληνοταμίαι τότε πρῶτον Ἀθηναίων κατέστη ἀρχὴ, οἳ ἐδέχοντο τὸν φόρον. οὕτω γὰρ ὠνομάσθη τῶν χρημάτων ἡ φορά. Cæterum male A. J. Br. Caſt. poſt φύλακες poſito puncto, pergunt: τῶν δὲ Λακεδαιμονίων.

§. 35. δεκατευθῆναι. De ſenſu vide ſupra ad vi. 3. 20.

τὰς Ἀθήνας. Male A. J. Θήβας.

§. 36. πλεῖστος ἦν λόγος. Illud maxime urguebatur a Lacedæmoniis legatis, ut recte Morus interpretatur.

ἐπιστρατεύοιεν. Ne quis putaret legendum ἐπιστρατεύειν τοὺς Ἀρκάδας καὶ τοὺς etc. recte Morus comparavit locum infra vii. 1. 23. μόνοι γὰρ οἰκοῦσιν. Simile exemplum ſupra jam adfuit. Aliud in Anabaſ. vii. 3. 6.

ἐπήνεγκαν. Male Caſtal. ἀπήνεγκαν.

ὦ ἄνδρες Ἀθηναῖοι, ἴσως ἀντιλέγεται, τίνες ἦσαν οἱ ἄρξαντες ἀδικεῖν· ἡμῶν γὰρ, ἐπεὶ εἰρήνη ἐγένετο, ἔχει τὶς κατηγορῆσαι, ἢ ὡς ἐπὶ πόλιν τινὰ ἐστρατεύσαμεν, ἢ ὡς χρήματά τινων ἐλάβομεν, ἢ ὡς γῆν ἀλλοτρίαν ἐδῃώσαμεν; ἀλλ' ὅμως οἱ Θηβαῖοι, εἰς τὴν χώραν ἡμῶν ἐλθόντες, καὶ δένδρα ἐκκεκόφασι, καὶ οἰκίας κατακεκαύκασι, καὶ χρήματα καὶ πρόβατα διηρπάκασι. πῶς οὖν, ἐὰν μὴ βοηθῆτε οὕτω περιφανῶς ἡμῖν ἀδικουμένοις, οὐ παρὰ τοὺς ὅρκους ποιήσετε; καὶ ταῦτα, ὧν αὐτοὶ ἐπεμελήθητε ὅρκων, ὅπως πᾶσιν ὑμῖν πάντες ἡμεῖς ὀμόσαιμεν; Ἐνταῦθα μέντοι οἱ Ἀθηναῖοι ἐπεθορύβησαν, ὡς ὀρθῶς τε καὶ δίκαια εἰρηκότος τοῦ Κλειτέλους· 38 ἐπὶ δὲ τούτῳ ἀνέστη Πατροκλῆς Φλιάσιος, καὶ εἶπεν·

Ὅτι μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐκποδὼν γένοιντο Λακεδαιμόνιοι, ἐπὶ πρώτους ἂν ὑμᾶς στρατεύσαιεν οἱ Θηβαῖοι, πᾶσιν οἶμαι τοῦτο δῆλον εἶναι· τῶν γὰρ ἄλλων μόνους ἂν ὑμᾶς οἴονται ἐμποδὼν γενέσθαι τοῦ ἄρξαι αὐτοὺς τῶν Ἑλλήνων. 39 Εἰ δὲ οὕτως ἔχει, ἐγὼ μὲν οὐδὲν μᾶλλον Λακεδαιμονίοις ἂν ὑμᾶς ἡγοῦμαι στρατεύσαντας βοηθῆσαι, ἢ καὶ ὑμῖν αὐτοῖς. τὸ γὰρ, δυσμενεῖς ὄντας ὑμῖν Θηβαίους, καὶ ὁμόρους οἰκοῦντας, ἡγεμόνας γενέσθαι τῶν Ἑλλήνων, πολὺ οἶμαι χαλεπώτερον ἂν ὑμῖν φανῆναι, ἢ ὁπότε πόῤῥω τοὺς ἀντιπάλους ἔχετε. συμφορώτερόν γε μέντ' ἂν ὑμῖν αὐτοῖς βοηθήσητε, ἐν ᾧ ἔτι εἰσὶν οἱ σύμμαχοι ἂν, ἢ εἰ,

§. 37. ὅρκων. Repetitio hujus vocabuli orationem duriorem facit.

[ὧν αὐτοὶ ἐπεμελήθητε ὅρκων. In nota ſcribere fortaſſe volebas *orationem graviorem* et ἐμφατικωτέραν. Repetit adeo interdum X. ſimplicitatis ſtudio, quæ nemo non facile ſubaudiat. Ut ὄντα iii. 1. 14. τοὺς σφῆκας. iv. 2. 12. πόλεων Ἑλληνίδων iv. 3. 15. etc. Cf. Zeun. ad Cyrop. vii. 2. 11.

§. 38. Πατροκλῆς. Margo L. et St. Προκλῆς. De qua varietate ſupra dixi.

§. 39. βοηθῆσαι. Margo Leonclav. βοηθήσειν. Male.

ἔχετε. Morus emendat εἴχετε.

σύμμαχοι ἄν. Steph. emendabat οἱ σύμμαχοι εἶεν. Morus οἱ συμμαχοῖεν. Poſteriorem rationem ipſe etiam probo.

[Bene reliquiſti ὁπότε ἔχετε. Admitti etiam debebat vera lectio Mori, οἱ συμμαχοῖεν. Nihili eſt et ſolœcum, εἰσὶν ἄν. *F. A. Wolfius.*]

ἀπολομένων αὐτῶν, μόνοι ἀναγκάζοισθε διαμάχεσθαι πρὸς
40 τοὺς Θηβαίους. Εἰ δέ τινες φοβοῦνται, μὴ, ἐὰν νῦν ἀναφύγωσιν οἱ Λακεδαιμόνιοι, ἔτι ποτὲ πράγματα παρέχωσιν ὑμῖν, ἐνθυμήθητε, ὅτι οὐχ, οὓς ἂν εὖ, ἀλλ᾽ οὓς ἂν κακῶς τις ποιῇ, φοβεῖσθαι δεῖ, μή ποτε μέγα δυνασθῶσιν. ἐνθυμεῖσθαι δὲ καὶ τάδε χρὴ, ὅτι κτᾶσθαι μέν τι ἀγαθὸν καὶ ἰδιώταις καὶ πόλεσι προσήκει, ὅταν ἐῤῥωμενέστατοι ὦσιν, ἵνα ἔχωσιν, ἐάν ποτ᾽ ἀδύνατοι γένωνται, ἐπικουρίαν
41 τῶν πεπονημένων. Ὑμῖν δὲ ἐκ θεῶν τινος καιρὸς παραγεγένηται νῦν, ἐὰν δεομένοις βοηθήσητε Λακεδαιμονίοις, κτήσασθαι τούτους εἰς τὸν ἅπαντα χρόνον φίλους ἀπροφασίστους. καὶ γὰρ δὴ οὐκ ἐπ᾽ ὀλίγων μοι δοκοῦσι μαρτύρων νῦν ἂν εὖ παθεῖν ὑφ᾽ ὑμῶν· ἀλλ᾽ εἴσονται μὲν ταῦτα θεοὶ, οἱ πάντα ὁρῶντες νῦν καὶ εἰς ἀεί· συνεπίστανται δὲ τὰ γιγνόμενα οἵ τε σύμμαχοι καὶ οἱ πολέμιοι, πρὸς δὲ τούτοις καὶ ἅπαντες Ἕλληνές τε καὶ βάρβαροι· οὐδὲν γὰρ τούτων
42 ἀμελές. ὥστε εἰ κακοὶ φανείησαν περὶ ὑμᾶς, τίς ἄν ποτε πρόθυμος εἰς αὐτοὺς γένοιτο; ἐλπίζειν δὲ χρὴ, ὡς ἄνδρας ἀγαθοὺς μᾶλλον, ἢ κακοὺς αὐτοὺς γενήσεσθαι· εἰ γάρ τινες ἄλλοι, καὶ οὗτοι δοκοῦσι διατετελεκέναι ἐπαίνου μὲν ὀρεγόμενοι, αἰσχρῶν δὲ ἔργων ἀπεχόμενοι. Πρὸς δὲ τούτοις
43 ἐνθυμήθητε καὶ τάδε. Εἴ ποτε πάλιν ἔλθοι ἐν τῇ Ἑλλάδι κίνδυνος ὑπὸ βαρβάρων, τίσιν ἂν μᾶλλον πιστεύσητε, ἢ Λακεδαιμονίοις; τίνας δ᾽ ἂν παραστάτας ἥδιον τούτων

§. 40. ἀναφύγωσιν. Idem verbum adfuit ii. 3. 50.

ἀδύνατοι. Ita recte Fr. Portus pro vulgato ποτὲ δυνατοί.

πεπονημένων. Margo St. et Leoncl. προπεπονημένων. Non male: ut in ſenectute, viribus invalidi, fructu laborum priorum lætentur. Hoc illis auxilium firmiſſimum eſt, τὰ προπεπονημένα; ſed alia notione eſt in Memorab. iv. 2. 23.

§. 41. θεῶν. Male omittunt A. J. Bryl. Caſtal. Cæterum in St. et Leoncl. νῦν tranſlatum et poſt ὑμῖν δὲ collocatum reperitur.

ὁρῶντες. Steph. et Leonclav. addunt καὶ νῦν.

§. 42. ποτέ. St. et Leonclav. addunt ἔτι.

ὡς ἄνδρας. Fr. Portus delebat ὡς.

§. 43. ἐν τῇ Ἑλλάδι. Bene conjeciſſe puto Kœppen, qui ἔλθοι ἂν emendat.

ποιήσητε, ὧν γε καὶ οἱ ταχθέντες ἐν Θερμοπύλαις ἅπαντες εἵλοντο μαχόμενοι ἀποθανεῖν μᾶλλον, ἢ ζῶντες συνεπεισφέρεσθαι τὸν βάρβαρον τῇ Ἑλλάδι; πῶς οὖν οὐ δίκαιον, ὧν τε ἕνεκα ἐγένοντο ἄνδρες ἀγαθοὶ μεθ' ὑμῶν, καὶ ὧν ἐλπὶς αὖθις γενέσθαι, πᾶσαν προθυμίαν εἰς αὐτοὺς καὶ ὑμᾶς καὶ ἡμᾶς παρέχεσθαι; Ἄξιον δὲ καὶ τῶν παρόντων 44 συμμάχων ἕνεκεν αὐτοῖς προθυμίαν ἐνδείξασθαι. εὖ γὰρ ἴστε, ὅτι, οἵπερ τούτοις πιστοὶ διαμένουσιν ἐν ταῖς συμφοραῖς, οὗτοι καὶ ὑμῖν αἰσχύνοιντ' ἂν μὴ ἀποδιδόναι χάριτας. εἰ δὲ μικραὶ δοκοῦμεν πόλεις εἶναι, αἱ τοῦ κινδύνου μετέχειν αὐτοῖς ἐθέλουσαι, ἐνθυμήθητε, ὅτι, ἐὰν ἡ ὑμετέρα πόλις προσγένηται, οὐκέτι μικραὶ πόλεις ἐσόμεθα, αἱ βοηθοῦσαι αὐτοῖς. Ἐγὼ δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, πρόσθεν μὲν 45 ἀκούων ἐζήλουν τήνδε τὴν πόλιν, ὅτι πάντας καὶ τοὺς ἀδικουμένους, καὶ τοὺς φοβουμένους, ἐνθάδε καταφεύγοντας, ἐπικουρίας δεομένους ἤκουον τυγχάνειν· νῦν δ' οὐκέτ' ἀκούω, ἀλλ' αὐτὸς ἤδη παρὼν ὁρῶ, Λακεδαιμονίους τε τοὺς ὀνομαστοτάτους, καὶ μετ' αὐτῶν τοὺς φίλους αὐτῶν τοὺς πιστοτάτους, πρὸς ὑμᾶς τε ἥκοντας, καὶ δεομένους αὖ ὑμῶν ἐπικουρῆσαι. ὁρῶ δὲ καὶ Θηβαίους, οἳ τότε οὐκ ἔπεισαν Λα- 46 κεδαιμονίους ἐξανδραποδίσασθαι ὑμᾶς, νῦν δεομένους ὑμῶν, μὴ περιϊδεῖν ἀπολομένους, τοὺς σώσαντας ὑμᾶς. Τῶν μὲν οὖν ὑμετέρων προγόνων καλὸν λέγεται, ὅτε τοὺς Ἀργείων τελευτήσαντας ἐπὶ τῇ Καδμείᾳ οὐκ εἴασαν ἀτάφους γενέσθαι· ὑμῖν δὲ πολὺ κάλλιον ἂν γένοιτο, εἰ τοὺς ἔτι ζῶντας Λακεδαιμονίων μήτε ὑβρισθῆναι, μήτε ἀπολέσθαι ἐάσοι-

ποιήσησθε. Hoc cum Moro prætuli vulgato ποιήσητε. St. et Leonclav. ediderunt ποιήσαισθε.

συνεπεισφέρεσθαι. Margo Leonclav. ἐπεισφέρεσθαι. Quod probo. Morus emendabat ζῶντες ἰδεῖν ἐπεισφέρεσθαι aut ἐπεισφερόμενον.

§. 46. δεομένους ὑμῶν. In margine Cast. conjicitur: ὑμῶν περ. Voluit, credo, auctor emendationis: δεομένους περ ὑμῶν.

ὅτε. Propter locum similem supra c. 4. 5. Morus hic et deinceps sect. 47. malebat ὅτι. Sed utrumque bonum esse putaverim.

47 τε. Καλοῦ γε μὴν κἀκείνου ὄντος, ὅτε, σχόντες τὴν Εὐρυσθέως ὕβριν, διεσώσατε τοὺς Ἡρακλέους παῖδας· πῶς οὐκ ἐκείνου τόδε κάλλιον, εἰ μὴ μόνον τοὺς ἀρχηγέτας, ἀλλὰ καὶ ὅλην τὴν πόλιν περισώσαιτε; πάντων δὲ κάλλιστον, εἰ, ψήφῳ ἀκινδύνῳ σωσάντων ὑμᾶς τότε τῶν Λακεδαιμονίων, νῦν ὑμεῖς σὺν ὅπλοις τε καὶ διὰ κινδύνων ἐπικουρή-
48 σετε αὐτοῖς. Ὁπότε δὲ καὶ ἡμεῖς ἀγαλλόμεθα, οἱ συναγορεύοντες βοηθῆσαι ἀνδράσιν ἀγαθοῖς, ἦπου ὑμῖν γε, τοῖς ἔργῳ δυναμένοις βοηθῆσαι, γενναῖα ἂν ταῦτα φανείη, εἰ, πολλάκις καὶ φίλοι καὶ πολέμιοι γενόμενοι Λακεδαιμονίοις, μὴ ὧν ἐβλάβητε μᾶλλον, ἢ ὧν εὖ ἐπάθετε, μνησθείητε, καὶ χάριν ἀποδοίητε αὐτοῖς, μὴ ὑπὲρ ὑμῶν αὐτῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ πάσης τῆς Ἑλλάδος, ὅτι ἄνδρες ἀγαθοὶ ὑπὲρ αὐτῆς ἐγένοντο.

49 Μετὰ ταῦτα ἐβουλεύοντο οἱ Ἀθηναῖοι, καὶ τῶν μὲν ἀντιλεγόντων οὐκ ἠνείχοντο ἀκούοντες· ἐψηφίσαντο δὲ βοηθεῖν πανδημεί, καὶ Ἰφικράτην στρατηγὸν εἵλοντο. ἐπεὶ δὲ τὰ ἱερὰ ἐγένετο, καὶ παρήγγειλεν, ἐν Ἀκαδημίᾳ δειπνοποιεῖσθαι, πολλοὺς ἔφασαν προτέρους αὐτοῦ Ἰφικράτους ἐξελθεῖν. ἐκ δὲ τούτου ἡγεῖτο μὲν ὁ Ἰφικράτης, οἱ δ᾽ ἠκολούθουν, νομίζοντες ἐπὶ καλόν τι ἔργον ἡγήσεσθαι. ἐπεὶ δὲ ἀφικόμενος εἰς Κόρινθον διέτριβέ τινας ἡμέρας, εὐθὺς μὲν ἐπὶ ταύτῃ τῇ διατριβῇ πρῶτον ἔψεγον αὐτόν· ὡς δ᾽ ἐξήγαγέ ποτε, προθύμως μὲν ἠκολούθουν, ὅποι ἡγοῖτο, προθύμως δ᾽, εἰ πρὸς τὸ τεῖχος προσάγοι, προσέβαλλον.
50 Τῶν δ᾽ ἐν τῇ Λακεδαίμονι πολεμίων Ἀρκάδες μέν, καὶ

§. 47. ἀρχηγέτας. Auctores familiæ et gentis Heraclidarum, a quibus orti Lacedæmonii, interpretatur Morus.

ψήφῳ ἀκινδύνῳ. Cum Thebani Athenas exſcindere ſuaſiſſent, vos contrario ſuffragio illis obſiſtentes nullum tunc periculum adibatis.

§. 48. ὁπότε δὲ καὶ ἡμεῖς. Caſtal. ὁπότε καὶ ὑμεῖς.

§. 49. πρῶτον. A. J. Br. Caſt. πρῶτον μέν.

ὅποι ἡγοῖτο. A. J. Br. Caſt. ὅπου.

τὸ τεῖχος. Fuitne olim τὶ τεῖχος? Idem video nunc in mentem veniſſe viro docto Kœppen.

§. 50. Ἀρκάδες. Hieme Thebanos

Ἀργεῖοι, καὶ Ἠλεῖοι πολλοὶ ἀπεληλύθεισαν, ἅτε ὅμοροι οἰκοῦντες, οἱ μὲν ἄγοντες, οἱ δὲ φέροντες, ὅ τι ἡρπάκεσαν. οἱ δὲ Θηβαῖοι καὶ οἱ ἄλλοι τὰ μὲν καὶ διὰ τοῦτο ἀπιέναι ἐβούλοντο ἐκ τῆς χώρας, ὅτι ἑώρων ἐλάττονα τὴν στρατιὰν καθ' ἡμέραν γιγνομένην, τὰ δὲ, ὅτι σπανιώτερα τὰ ἐπιτήδεια ἦν· (τὰ μὲν γὰρ ἀνήλωτο, τὰ δὲ διήρπαστο, τὰ δὲ ἐξεκέχυτο, τὰ δὲ κατεκέκαυτο·) πρὸς δ' ἔτι καὶ χειμὼν ἦν, ὥστ' ἤδη πάντες ἀπιέναι ἐβούλοντο. 51 Ὡς δ' ἐκεῖνοι ἀπεχώρουν ἐκ τῆς Λακεδαίμονος, οὕτω δὴ καὶ ὁ Ἰφικράτης τοὺς Ἀθηναίους ἀπῆγεν ἐκ τῆς Ἀρκαδίας εἰς Κόρινθον. Εἰ μὲν οὖν ἄλλο τι καλῶς ἐστρατήγησεν, οὐ ψέγω· ἐκεῖνα μέντοι, ἃ ἐν τῷ χρόνῳ ἐκείνῳ ἔπραξε, πάντα εὑρίσκω, τὰ μὲν μάτην, τὰ δὲ καὶ ἀσυμφόρως πεπραγμένα αὐτῷ. ἐπιχειρήσας μὲν γὰρ φυλάττειν ἐπὶ τῷ Ὀνείῳ, ὅπως μὴ δύνωνται οἱ Βοιωτοὶ ἀπελθεῖν οἴκαδε, παρέλιπεν ἀφύλακτον τὴν καλλίστην παρὰ Κεγχρέας πάροδον. 52 Μαθεῖν δὲ βουλόμενος, εἰ παρεληλυθότες εἶεν οἱ Θηβαῖοι τὸ Ὄνειον, ἔπεμψε σκοποὺς τούς τε Ἀθηναίων ἱππέας, καὶ τοὺς Κορινθίων ἅπαντας. καίτοι ἰδεῖν μὲν οὐδὲν ἧττον ὀλίγοι τῶν πολλῶν ἱκανοί· καὶ εἰ δέοι ἀποχωρεῖν, πολὺ ῥᾷον τοῖς ὀλίγοις, ἢ τοῖς πολλοῖς, καὶ ὁδοῦ εὐπόρου τυχεῖν, καὶ καθ' ἡσυχίαν ἀποχωρῆσαι. τὸ δὲ πολλούς τε προσάγειν, καὶ ἥττονας

expulſos rediiſſe, tradiderunt quidam; alii Arcades primos abiiſſe, aliqui tres integros menſes in Laconica moratos fuiſſe hoſtes narrarunt, auctore Plutarcho Ageſ. c. 32. Diodor. xv. 67. dies 85. ponit. Theopompus apud Plutarchum perhibet, Phrixum Spartanum Bœotarchis decem talenta attuliſſe ab Ageſilao accepta, ut reditum jam antea decretum maturarent.

§. 51. Ὀνείῳ. Thucydides iv. 44. τὸ ὄρος τὸ Ὄνειον. Strabo contra τὰ Ὄνεια ὄρη dixit. Polyænus ii. 2. 3. qui de hac ipſa expeditione, ut puto, narrat hæc: Ἐπαμινώνδας ἐνέβαλεν εἰς Πελοπόννησον· οἱ πολέμιοι κατὰ τὸ Ὄνειον ἐμβαλόντες ἐστρατοπεδεύοντο. Eandem cum Polyæno narrationem habet Plutarchus Apophthegm. p. 729. Cleomenes, ut Antigonum et Macedonas ab ingreſſu in Peloponneſum arceret, τὰ Ὤνια χαρακώσας καὶ τειχίσας cuſtodivit, auctore Plutarcho Cleomen. c. 20. ubi recte viri docti emendant Ὄνεια.

δύνωνται. Margo Leonclav. δύναιντο.

§. 52. καὶ εἰ δέοι. Margo L. εἰ δὲ δέοι.

τὸ δὲ πολλούς. Margo L. τοὺς δὲ πολλούς.

τῶν ἐναντίων, πῶς οὐ πολλὴ ἀφροσύνη; καὶ γὰρ δὴ, ἅτε ἐπὶ πολὺ παραταξάμενοι χωρίον οἱ ἱππεῖς, διὰ τὸ πολλοὶ εἶναι, ἐπεὶ ἔδει ἀποχωρεῖν, πολλῶν καὶ χαλεπῶν χωρίων ἐπελάβοντο· ὥστε οὐκ ἐλάττους ἀπώλοντο εἴκοσιν ἱππέων. καὶ τότε μὲν οἱ Θηβαῖοι, ὅπως ἐβούλοντο, ἀπῆλθον.

*οὐκ ἐλάττους.* In A. J. Bryl. Caſtal. ἔλαττον. Deinde A. J. ante εἴκοσιν interſerit ἤ. Diodorus ſimiliter ἔλαττον et πλείω adverbialiter poſuit. Vide Weſſeling ad tom. i. p. 37. 103. et 622.

*ἀπώλοντο.* Plutarchus Pelop. c. 24. ἀπιόντες δ' ἐπ' οἴκου διὰ Κεγχρεῶν Ἀθηναίους ἐνίκων ἐπιχειροῦντας ἀψιμαχεῖν περὶ τὰ στενὰ καὶ κωλύειν τὴν πορείαν. Diodorus xv. 63. de Athenienſibus: ἐξέπεμψαν καὶ τοὺς νέους αὐθήμερον ὄντας μυρίους καὶ δισχιλίους. Ἰφικράτης μὲν οὖν προθύμους ἔχων τοὺς στρατιώτας προῆγε μετὰ τῆς δυνάμεως κατὰ σπουδήν. Deinde cap. 65. Ἀθηναῖοι ὑστερηκότες τῶν καιρῶν ἐπανῆλθον εἰς τὴν Ἀττικὴν, οὐδὲν πράξαντες μνήμης ἄξιον. Contra tamen Cornelius Iphicr. cap. 2. Idem ſubſidio, inquit, Lacedæmoniis profectus, Epaminondæ retardavit impetus. Nam, niſi ejus adventus appropinquaſſet, non prius Thebani Sparta abſceſſiſſent, quam captam incendio deleſſent. Ex narratione Polyæni iii. 9. 28. intelligitur, Iphicratem non ſolum numerum hoſtium, ſed animum victoria Leuctrica ſumtum timuiſſe, et impetum Athenienſium retardaſſe.

# ΞΕΝΟΦΩΝΤΟΣ

## ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

## ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

### ΚΕΦ. Α.

Τῷ δὲ ὑστεραίῳ ἔτει Λακεδαιμονίων καὶ τῶν συμμάχων πρέσβεις ἦλθον αὐτοκράτορες Ἀθήναζε, βουλευσόμενοι, καθ' ὅ τι ἡ συμμαχία ἔσοιτο Λακεδαιμονίοις καὶ Ἀθηναίοις. λεγόντων δὲ πολλῶν μὲν ξένων, πολλῶν δὲ Ἀθηναίων, ὡς δέοι ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις τὴν συμμαχίαν εἶναι, Προκλῆς Φλιάσιος εἶπε τὸν λόγον τόνδε·

Ἐπείπερ, ὦ ἄνδρες Ἀθηναῖοι, ἀγαθὸν ὑμῖν ἔδοξε, 2 Λακεδαιμονίους φίλους ποιεῖσθαι, δοκεῖ μοι χρῆναι σκοπεῖν τοῦτο, ὅπως ἡ φιλία ὅτι πλεῖστον χρόνον συμμενεῖ. ἐὰν οὖν, ᾗ ἑκατέροις μάλιστα συνοίσει, ταύτῃ καὶ τὰς συνθήκας ποιησώμεθα, οὕτω, κατά γε τὸ εἰκὸς, μάλιστα συμμένοιμεν ἄν. Τὰ μὲν οὖν ἄλλα συνωμολόγηται σχεδὸν, περὶ δὲ τῆς ἡγεμονίας νῦν ἡ σκέψις. τῇ μὲν οὖν βουλῇ προβεβούλευται, ὑμετέραν μὲν εἶναι τὴν κατὰ θάλατταν, Λακεδαι-

§. 1. καθ' ὅ τι. In quas leges futura esset societas. Ita recte Morus, qui de ipsa re conferre jubet Diodor. xv. 67.

λεγόντων δὲ πολλῶν μέν. Ed. C. J. A. λεγόντων μὲν omisso δέ. Vitiose.

Προκλῆς. Si quidem is est, de quo supra vi. 5. 38. legendum est ex margine L. et Steph. Πατροκλῆς quod Wels posuit. Ex compendio scripturæ vitium facile potuit nasci.

§. 2. ἔδοξε. Margo Leoncl. ἔδοξεν εἶναι.

ἐὰν οὖν. A. J. Br. Cast. omiserunt. Male. Nectit enim orationem cum antecedente.

σχεδόν. In margine Leonclav. σχεδόν τι συνωμολόγηται.

μονίων δὲ τὴν κατὰ γῆν· ἐμοὶ δὲ καὶ αὐτῷ οὐκ ἀνθρωπίνῃ
δοκεῖ ταῦτα μᾶλλον, ἢ θείᾳ φύσει τε καὶ τύχῃ, διωρί-
3 σθαι. Πρῶτον μὲν γὰρ τόπον ἔχετε κάλλιστα πεφυκότα
πρὸς τοῦτο. πλεῖσται γὰρ πόλεις τῶν δεομένων θαλάττης
περὶ τὴν ὑμετέραν πόλιν οἰκοῦσι, καὶ αὗται πᾶσαι ἀσθενέ-
στεραι τῆς ὑμετέρας. πρὸς τούτοις δὲ λιμένας ἔχετε, ὧν
ἄνευ οὐχ οἷόν τε ναυτικῇ δυνάμει χρῆσθαι. ἔτι δὲ τριήρεις
κέκτησθε πολλάς, καὶ πάτριον ὑμῖν ἐστι, ναυτικὸν ἐπικτᾶ-
4 σθαι. ἀλλὰ μὴν τάς γε τέχνας τὰς περὶ ταῦτα πάσας
οἰκείας ἔχετε. καὶ μὴν ἐμπειρίᾳ γε πολὺ τῶν ἄλλων
προέχετε περὶ τὰ ναυτικά· ὁ γὰρ βίος τοῖς πλείστοις ὑμῶν
ἀπὸ τῆς θαλάττης· ὥστε, τῶν ἰδίων ἐπιμελούμενοι, ἅμα καὶ
τῶν κατὰ θάλατταν ἀγώνων ἔμπειροι γίγνεσθε. ἔτι δὲ
καὶ τόδε· οὐδαμόθεν ἂν τριήρεις πλείους ἀθρόαι ἐκπλεύ-
σειαν, ἢ παρ᾽ ὑμῶν. ἔστι δὲ τοῦτο οὐκ ἐλάχιστον πρὸς ἡγε-
μονίαν· πρὸς γὰρ τὸ πρόσθεν ἰσχυρὸν γενόμενον ἥδιστα
5 πάντες συλλέγονται. ἔτι δὲ καὶ ἀπὸ τῶν θεῶν δέδοται
ὑμῖν εὐτυχεῖν ἐν τούτῳ· πλείστους γὰρ καὶ μεγίστους ἀγῶνας
ἠγωνισμένοι κατὰ θάλατταν, ἐλάχιστα μὲν ἀποτετυχή-
κατε, πλεῖστα δὲ κατωρθώκατε. εἰκὸς οὖν, καὶ τοὺς συμ-
μάχους μεθ᾽ ὑμῶν ἂν ἥδιστα τούτου τοῦ κινδύνου μετέχειν.
Ὡς δὲ δὴ καὶ ἀναγκαία καὶ προσήκουσα ὑμῖν αὕτη ἡ ἐπιμέ-
6 λεια, ἐκ τῶνδε ἐνθυμήθητε. Λακεδαιμόνιοι ὑμῖν ἐπολέ-
μουν τέ ποτε πολλὰ ἔτη, καί, κρατοῦντες τῆς χώρας, οὐδὲν
προὔκοπτον εἰς τὸ ἀπολέσαι ὑμᾶς. ἐπεὶ δὲ ὁ θεὸς ἔδωκέ
ποτε αὐτοῖς κατὰ θάλατταν ἐπικρατῆσαι, εὐθὺς ὑπ᾽
ἐκείνοις παντελῶς ἐγένεσθε. οὐκοῦν εὔδηλον ἐν τούτοις ἐστίν,
7 ὅτι ἐκ τῆς θαλάττης ἅπασα ὑμῖν ἤρτηται σωτηρία. οὕτως

§. 3. πρῶτον μέν. Eadem fere argumenta posuit Xenophon de Republ. Athen. c. 2.

§. 4. ἰδίων ἐπιμελούμενοι. Dum mercaturam maritimam, piscationem exercetis resque ad eam necessarias fabricari discitis.

τὸ πρόσθεν. Inutilem L. conjecturam τὸν Wels recepit. In margine Leoncl. est τὸ πρῶτον.

οὖν πεφυκότων, πῶς ἂν ἔχοι καλῶς ὑμῖν, Λακεδαιμονίοις ἐπιτρέψαι κατὰ θάλατταν ἡγεῖσθαι; οἳ πρῶτα μὲν καὶ αὐτοὶ ὁμολογοῦσιν, ἀπειρότεροι ὑμῶν τούτου τοῦ ἔργου εἶναι. ἔπειτα δ᾽ οὐ περὶ τῶν ἴσων ὁ κίνδυνός ἐστιν ἐν τοῖς κατὰ θάλατταν ἀγῶσιν, ἀλλ᾽ ἐκείνοις μὲν περὶ τῶν ἐν ταῖς τριήρεσι μόνον ἀνθρώπων, ὑμῖν δὲ καὶ περὶ παίδων, καὶ γυναικῶν, καὶ ὅλης τῆς πόλεως. 8 Καὶ τὰ μὲν δὴ ὑμέτερα οὕτως ἔχει· τὰ δὲ τῶν Λακεδαιμονίων ὧδε. πρῶτον μὲν γὰρ οἰκοῦσιν ἐν μεσογαίᾳ. ὥστε, τῆς γῆς κρατοῦντες, καὶ εἰ θαλάττης εἴργοιντο, δύναιντ᾽ ἂν καλῶς διαζῆν. ἐγνωκότες οὖν καὶ αὐτοὶ ταῦτα, ἐκ παίδων εὐθὺς πρὸς τὸν κατὰ γῆν πόλεμον τὴν ἄσκησιν ποιοῦνται. καὶ τὸ πλείστου δὲ ἄξιον, τὸ πείθεσθαι τοῖς ἄρχουσιν, οὗτοι μὲν κράτιστοι κατὰ γῆν, ὑμεῖς δὲ κατὰ θάλατταν. 9 ἔπειτα δὲ ὥσπερ ὑμεῖς ναυτικῷ, οὕτως αὖ ἐκεῖνοι κατὰ γῆν καὶ πλεῖστοι καὶ τάχιστ᾽ ἂν ἐξέλθοιεν· ὥστε πρὸς τούτους αὖ εἰκὸς τοὺς συμμάχους εὐθαρσεστάτους προσιέναι. ἔτι δὲ καὶ ὁ θεὸς δέδωκεν αὐτοῖς, ὥσπερ ὑμῖν κατὰ θάλατταν εὐτυχεῖν, οὕτως ἐκείνοις κατὰ γῆν· πλείστους γὰρ αὖ οὗτοι ἀγῶνας ἐν τῇ γῇ ἠγωνισμένοι, ἐλάχιστα μὲν ἐσφαλμένοι εἰσὶ, πλεῖστα δὲ κατωρθωκότες. 10 Ὡς δὲ καὶ ἀναγκαία οὐδὲν ἧττον αὐτοῖς ἡ κατὰ γῆν ἐπιμέλεια, ἢ ὑμῖν ἡ κατὰ θάλατταν, ἐκ τῶν ἔργων ἔξεστι γιγνώσκειν. ὑμεῖς γὰρ, τούτοις πολλὰ ἔτη πολεμοῦντες, καὶ

§. 7. *πεφυκότων.* Scil. *τῶν πραγμάτων*, ut alibi *προχωρούντων.*

§. 8. *τὰ δὲ τῶν Λακεδ.* L. St. W. *τὰ δὲ δή.* In margine Leoncl. eſt *Λακεδαιμονίων ἐπισκέψασθε. πρῶτον.*

*ἐγνωκότες οὖν.* Poſteriorem vocem male omittunt J. Caſt.

*τὸ πείθεσθαι. κατὰ τὸ πείθεσθαι* intellige. Criminationem eandem in Athenienſes, legibus et imperatoribus ſuis non obtemperantes, repetit Noſter in Memorab. iii. 5. 16. et iv. 4. 15. ubi demonſtrat, Lacedæmoniorum rempublicam quam maxime contineri et excellere perpetua civium obedientia.

§. 9. *κατὰ γῆν καί.* A. J. C. et reliquæ tranſpoſito *καὶ* habent: *ἐκεῖνοι καὶ κατὰ γῆν πλεῖστοι.* Emendavit Leoncl. Ex iiſdem *ἂν* inſerui ante *ἐξέλθοιεν.*

*πρὸς τούτους.* Pro vulgato *τούτοις* hoc recepi ex margine L. approbante Moro. Idem fecerat Wels.

*πλείστους γὰρ αὖ.* Ita recte Edd. veteres et Leoncl. Vitioſe Morus *ἂν* poſuit.

πολλάκις καταναυμαχοῦντες, οὐδὲν προὔργου ἐποιεῖτε πρὸς τὸ τούτους καταπολεμῆσαι· ἐπεὶ δὲ ἅπαξ ἡττήθησαν ἐν τῇ γῇ, εὐθὺς καὶ περὶ παίδων, καὶ περὶ γυναικῶν, καὶ περὶ
11 ὅλης τῆς πόλεως ὁ κίνδυνος αὐτοῖς ἐγένετο. πῶς οὖν οὐ τούτοις αὖ δεινὸν, ἄλλοις μὲν ἐπιτρέπειν, κατὰ γῆν ἡγεῖσθαι, αὐτοὺς δὲ ἄριστα τῶν κατὰ γῆν ἐπιμελεῖσθαι; Ἐγὼ μὲν οὖν, ὥσπερ τῇ βουλῇ προβεβούλευται, ταῦτα εἴρηκά τε, καὶ συμφορώτατα ἡγοῦμαι ἀμφοῖν εἶναι· ὑμεῖς δὲ εὐτυχοῖτε, τὰ κράτιστα πᾶσιν ἡμῖν βουλευσάμενοι.

12 Ὁ μὲν ταῦτ᾽ εἶπεν. οἱ δ᾽ Ἀθηναῖοι, καὶ οἱ τῶν Λακεδαιμονίων συμπαρόντες, ἐπῄνεσαν ἀμφότεροι ἰσχυρῶς τὸν λόγον αὐτοῦ. Κηφισόδοτος δὲ παρελθὼν, ἄνδρες Ἀθηναῖοι, ἔφη, οὐκ αἰσθάνεσθε ἐξαπατώμενοι· ἀλλ᾽, ἐὰν ἀκούσητέ μου, ἐγὼ ὑμῖν αὐτίκα μάλα ἐπιδείξω. ἤδη γὰρ ἡγήσεσθε κατὰ θάλατταν· Λακεδαιμόνιοι δὲ ὑμῖν ἐὰν συμμαχῶσι, δηλονότι πέμψουσι τοὺς μὲν τριηράρχους Λακεδαιμονίους, καὶ ἴσως τοὺς ἐπιβάτας· οἱ δὲ ναῦται δηλονότι ἔσονται ἢ εἵλωτες, ἢ μισθοφόροι. οὐκοῦν ὑμεῖς μὲν
13 τούτων ἡγήσεσθε. οἱ δὲ Λακεδαιμόνιοι ὅταν παραγγείλωσιν ὑμῖν κατὰ γῆν στρατείαν, δηλονότι πέμψετε τοὺς ἱππέας καὶ τοὺς ὁπλίτας. οὐκοῦν οὕτως ἐκεῖνοι μὲν ὑμῶν αὐτῶν γίγνονται ἡγεμόνες, ὑμεῖς δὲ τῶν ἐκείνων δούλων καὶ ἐλαχίστου ἀξίων. Ἀπόκριναι δέ μοι, ἔφη, ὦ Λακεδαιμόνιε

§. 10. ἅπαξ. Cum Laconicam vaſtavit Epaminondas. vi. 5.

§. 11. ἡγεῖσθαι, αὐτοὺς δέ. Hanc lectionem L. St. poſtulat ſenſus: ipſos quidem militiæ terreſtris curam optime gerere, aliis tamen imperium terreſtre permittere. Contra Edd. veteres: ἡγεῖσθαι αὐτοὺς, καὶ ἄριστα. Fr. Port. legebat: αὐτοὺς δὲ τῆς θαλάττης ἀντιποιεῖσθαι δυναμένους ἄριστα.

§. 12. συμπαρόντες. Margo Leoncl. παρόντας.

ἤδη γάρ. Valckenair ad Herodot. p. 381. emendabat ᾗ δὴ γὰρ, ſcilicet maris duces eritis; ut ironice hæc majore cum efficacia dicantur. Præclare.

ἐπιβάτας. Milites claſſiarios; contra nautæ remigum officio funguntur. Μισθοφόροι igitur h. l. ſunt non milites, ſed nautæ, forte gubernatores, mercede conducti.

§. 13. ὑμῶν αὐτῶν. Poſterius verbum male omittunt A. J. C. in quo vis omnis ſita eſt comparationis.

Τιμόκρατες. οὐκ ἄρτι ἔλεγες, ὡς ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις ἥκεις τὴν συμμαχίαν ποιούμενος; Εἶπον ταῦτα. Ἔστιν 14 οὖν, ἔφη ὁ Κηφισόδοτος, ἰσαίτερον, ἢ ἐν μέρει μὲν ἑκατέρους ἡγεῖσθαι τοῦ ναυτικοῦ, ἐν μέρει δὲ τοῦ πεζοῦ, καὶ ὑμᾶς τε, εἴ τι ἀγαθόν ἐστιν ἐν τῇ κατὰ θάλατταν ἀρχῇ, τούτου μετέχειν, καὶ ἡμᾶς ἐν τῇ κατὰ γῆν; Ἀκούσαντες ταῦτα οἱ Ἀθηναῖοι μετεπείσθησαν, καὶ ἐψηφίσαντο, κατὰ πενθήμερον ἑκατέρους ἡγεῖσθαι.

Στρατευομένων δ' ἀμφοτέρων αὐτῶν καὶ τῶν συμμάχων εἰς Κόρινθον, ἔδοξε κοινῇ φυλάττειν τὸ Ὄνειον. καὶ ἐπεὶ ἐπορεύοντο οἱ Θηβαῖοι καὶ οἱ σύμμαχοι, παραταξάμενοι ἐφύλαττον ἄλλος ἄλλοθεν τοῦ Ὀνείου, Λακεδαιμόνιοι δὲ καὶ Πελληνεῖς κατὰ τὸ ἐπιμαχώτατον. Οἱ δὲ Θηβαῖοι καὶ οἱ σύμμαχοι, ἐπεὶ ἀπεῖχον τῶν φυλαττόντων τριάκοντα στάδια, κατεστρατοπεδεύσαντο ἐν τῷ πεδίῳ. συντεκμηράμενοι δὲ, ἡνίκ' ἂν ᾤοντο ὁρμηθέντες κατανύσαι, ἅμα κνέφᾳ πρὸς τὴν τῶν Λακεδαιμονίων φυλακὴν ἐπο-

15

Olymp. 103. 4/1.

§. 14. ἰσαίτερον. Ex emendatione Steph. ἰσαίτερόν τι Leonclav. et W. Verum τι intelligi admonuit Morus.

τούτου μετέχειν. Margo Leonclav. τούτων.

ἑκατέρους. Hoc eſt quod Diodorus xv. 67. habet: μετὰ δὲ ταῦτα ἐν ἀμφοτέραις ταῖς πόλεσιν ἐποιήσαντο κοινὰς τὰς ἡγεμονίας.

§. 15. κοινῇ. Leoncl. Steph. et Wels recte hoc vulgato κοινῶς, prætulerunt; eſt enim κοινῇ, ſcil. βουλῇ, communi conſilio. Ita ubique Xenophon.

Ὄνειον. Redire oportet ad vi. 5. 41. unde pendet ſeries rerum et ſenſus. Cæterum Diodorus xv. 68. auctor eſt, Chabriam Athenienſem ducem cum auxiliis Megarenſium, Pellenæorum et Corinthiorum in exercitu ſuo habuiſſe milites 10,000, totidem fuiſſe in exercitu Lacedæmoniorum et ſociorum, itaque omnino 20,000; tranſitum Bœotorum vero ut impediret, aditus (παρόδους) muniiſſe vallo foſſaque profunda, ducta a Cenchreis uſque ad Lechæum.

ἐπιμαχώτατον. Ubi aditus facilior erat. Refert Diodorus, Lacedæmonios tenuiſſe locum εὐεφοδώτατον. Addit idem, provocatos ab Epaminonda hoſtes, quanquam triplo numeroſiores, extra propugnacula prodire non auſos eſſe, tandem vero oppugnatos ceſſiſſe et omnium maxime Lacedæmonios ſolos reſtitiſſe. Contra Xenophon inſidias diluculi et peccatum polemarchi captaſſe videtur in gratiam Lacedæmoniorum. Locum pugnæ accuratius definit Pauſanias ix. p. 740. ὡς δὲ βοιωταρχεῖν οὐδεὶς (αὖθις lego) ᾕρητο, καὶ στρατὸς Βοιωτῶν ἀφίκετο αὖθις ἐς Πελοπόννησον, ἐκράτησε μὲν περὶ Λέχαιον Λακεδαιμονίους μάχῃ, σὺν δὲ σφίσιν Ἀχαιῶν Πελληνέας καὶ Ἀθηναίων οὓς Χαβρίας ἦγεν ἐξ Ἀθηνῶν.

κατανύσαι. Scil. τὴν ὁδὸν, pervenire.

ἅμα κνέφᾳ. Narrat eandem rem Polyænus ii. 2. 9. Ἐπειδὴ τὸ Ὄνειον κατεῖχε φυλακὴ Λακωνικὴ ἐνδειξάμενος ὡς μέλλοι νυκτὸς παρεῖναι τὸ στράτευμα,

16 ρεύοντο· καὶ μέντοι οὐκ ἐψεύσθησαν τῆς ὥρας, ἀλλ' ἐπιπίπτουσι τοῖς Λακεδαιμονίοις καὶ τοῖς Πελληνεῦσιν, ἡνίκα αἱ μὲν νυκτεριναὶ φυλακαὶ ἤδη ἔληγον, ἐκ δὲ τῶν στιβάδων ἀνίσταντο, ὅπου ἔκειτο ἕκαστος. ἐνταῦθα οἱ Θηβαῖοι προσπεσόντες ἔπαιον παρεσκευασμένοι ἀπαρασκευάστους,

17 καὶ συντεταγμένοι ἀσυντάκτους. Ὡς δὲ οἱ σωθέντες ἐκ τοῦ πράγματος ἀπέφυγον ἐπὶ τὸν ἐγγύτατα λόφον, ἐξὸν τῷ Λακεδαιμονίων πολεμάρχῳ, λαβόντι ὁπόσους μὲν ἐβούλετο τῶν συμμάχων ὁπλίτας, ὁπόσους δὲ πελταστὰς, κατέχειν τὸ χωρίον, (καὶ γὰρ τὰ ἐπιτήδεια ἐξῆν ἀσφαλῶς ἐκ Κεγχρεῶν κομίζεσθαι) οὐκ ἐποίησε ταῦτα· ἀλλὰ μάλα ἀπορούντων τῶν Θηβαίων, πῶς χρὴ ἐκ τοῦ πρὸς Σικυῶνα βλέποντος καταβῆναι, ἢ πάλιν ἀπελθεῖν, σπονδὰς ποιησάμενος, ὡς τοῖς πλείστοις ἐδόκει, πρὸς Θηβαίων μᾶλλον, ἢ πρὸς ἑαυτῶν, οὕτως ἀπῆλθε, καὶ τοὺς μεθ' αὐτοῦ απήγαγεν.

18 Οἱ δὲ Θηβαῖοι ἀσφαλῶς καταβάντες, καὶ συμμίξαντες τοῖς ἑαυτῶν συμμάχοις, Ἀρκάσι τε, καὶ Ἀργείοις, καὶ Ἠλείοις, εὐθὺς μὲν προσέβαλον πρὸς Σικυῶνα καὶ Πελλήνην· στρατευσάμενοι δὲ εἰς Ἐπίδαυρον, ἐδῄωσαν αὐτῶν

κατεκοίμισεν ὑπ' αὐτῷ τῷ Ὀνείῳ. Custodes igitur Laconici armati totam noctem insomnes transegerunt et sub auroram demum ex fessitudine sopiti ab Epaminonda, facto in eos impetu, facile victi sunt. Ἐπεὶ δὲ ὑπέλαμψεν ἡ ἕως, ἀναστήσας τὸ στρατόπεδον ἐπέθετο τοῖς φύλαξιν. Contra a Xenophonte sub vesperam profecti Thebani mane advenisse et castra hostium adorti, vicisse dicuntur. Casaubonus respici putabat narrationem infra §. 41. positam. Male! Vocem enim κνεφαῖοι de diluculo Noster de Lacedæmon. Republ. xiii. 3. usurpavit etiam, eamque notionem et hic approbaverim. Brevius eandem rem narrat Frontinus ii. 5. 26.

§. 16. ἐπιπίπτουσι. A. J. C. ἐμπίπτουσι.

ἔκειτο. Ita emend. Leonclav. vulgatum ἐδεῖτο. Vide supra ad ii. 4. 6.

Θηβαῖοι. Duce Epaminonda. Contra Atheniensium exercitui præerat Chabrias, auctore Diodoro xv. 68.

§. 17. τῷ Λακεδαιμονίων. Elegantia sermonis postulare videtur τῷ τῶν Λακεδαιμονίων.

Κεγχρεῶν. J. A. Cast. Κεγχρειῶν.

βλέποντος. Brodæus addit λόφου. Esse τὸ βλέπον neutrum, et significare h. l. partem collis, quæ Sicyonem spectat, monuit Morus.

ποιησάμενος. Male J. A. C. ποιησαμένους. Eædem postea μετ' αὐτοῦ habent.

§. 18. Ἐπίδαυρον. Trœzenem et Epidaurum aggressus Epaminondas regionem omnem vastavit, urbe tamen nulla capta. Interim Sicyonem,

πᾶσαν τὴν χώραν. ἀναχωροῦντες δὲ ἐκεῖθεν μάλα πάντων ὑπεροπτικῶς τῶν ἐναντίων, ὡς ἐγένοντο ἐγγὺς τοῦ τῶν Κορινθίων ἄστεος, δρόμῳ ἐφέροντο πρὸς τὰς πύλας, τὰς ἐπὶ Φλιοῦντα ἰόντι ὁρώσας, ὡς, εἰ ἀνεῳγμέναι τύχοιεν, εἰσπεσούμενοι. 19 Ἐκβοηθήσαντες δέ τινες ψιλοὶ ἐκ τῆς πόλεως, ἀπαντῶσι τῶν Θηβαίων τοῖς ἐπιλέκτοις, οὐδὲ τέτταρα πλέθρα ἀπέχουσι τοῦ τείχους· καὶ ἀναβάντες ἐπὶ τὰ μνήματα καὶ τὰ ὑπερέχοντα χωρία, βάλλοντες καὶ ἀκοντίζοντες ἀποκτείνουσι τῶν πρώτων καὶ μάλα συχνούς, καὶ τρεψάμενοι ἐδίωκον ὡς τρία ἢ τέτταρα στάδια. τούτου δὲ γενομένου, οἱ Κορίνθιοι, τοὺς νεκροὺς πρὸς τὸ τεῖχος ἑλκύσαντες, καὶ ὑποσπόνδους ἀποδόντες, τρόπαιον ἔστησαν. καὶ ταύτῃ μὲν δὴ ἀνεψύχθησαν οἱ τῶν Λακεδαιμονίων σύμμαχοι.

20 Ἅμα τε δὴ πεπραγμένων τούτων, καταπλεῖ Λακεδαιμονίοις ἡ παρὰ Διονυσίου βοήθεια, τριήρεις πλέον ἢ εἴκοσιν.

Phliuntem et quaſdam alias urbes ſibi adjunxit, Ita Diodorus. Expeditionis in Sicyonios obiter meminit Pauſanias vi. p. 457. ubi Stomius, equitum Eleorum dux, certamine ſingulari provocatum Sicyoniorum ducem occidiſſe fertur. Portum eodem tempore dolo ceperunt Thebani, narrante Frontino ii. 2. 10. Iſta enim loci illius narratio huc pertinere videtur. Diſtinctius Pauſanias ix. p. 740. *πόλισμα οὗ ἑλὼν Σικυωνίων Φοιβίαν, ἔνθα ἦσαν τὸ πολὺ οἱ Βοιώτιοι φυγάδες στιγμὴν* (*ἐπὶ τιμῇ* emendant) *ἀφίησι τοὺς ἐγκαταληφθέντας, ἄλλην σφίσιν ἣν ἔτυχε πατρίδα ἐπονομάζων ἑκάστῳ.*

*ὁρώσας.* Verbum aliquod, quo ſitus portæ indicaretur, *ad dextram*, vel *ad ſiniſtram*, vel *ad orientem* aut aliud excidiſſe, putabat Morus; ſed ſitum indicat manifeſto, quod dicat portas ad Phliuntem ducentes. Difficultatem vero facit verbum *ἰόντι*, quod, ſi *ὁρώσας* refertur ad *ἐπὶ Φλ.* non habet, quo referatur.

[*τὰς πύλας τὰς ἐπὶ Φλιοῦντα ἰόντι ὁρώσας.* Importunum quidem eſt *ἰόντι*, et ex prægreſſi nominis litteris male repetitis naſci potuit. Solemne alibi de locis *ὁρᾷν*, ſeu *φέρειν*, et *τείνειν ἐπὶ χώραν, ἐπὶ πόλιν.* Non repugnem tamen, ſi quis dativum abſolutum acceperit abundanter additum, *ſi quis eat* ſ. *tendat.* Simile Livii illud, non minus durum, i. 8. *Locum, qui nunc ſeptus deſcendentibus inter duos lucos eſt.* F. A. Wolfius.]

*εἰσπεσούμενοι.* Corinthios prœlio victos Bœotii intra mœnia compulerunt. Eorum aliquot temerarii, per portas una irrumpere auſi, a Chabria expelluntur, qui deinde extra urbem prœlio commiſſo Bœotios vincit. Ita Diodorus.

§. 19. *τρόπαιον.* Plutarchus Apophthegm. p. 732. *τοῦ δὲ Χαβρίου περὶ Κόρινθον ὀλίγους τινὰς τῶν Θηβαίων ὑπὸ τὰ τείχη φιλομαχοῦντας καταβαλόντος καὶ στήσαντος τρόπαιον, ὁ Ἐπαμινώνδας καταγελῶν ἔφη, ἐνταῦθα δεῖ οὐ τρόπαιον, ἀλλὰ Ἑκατήσιον ἱστάναι· τὴν γὰρ Ἑκάτην ἐπιεικῶς ἐν ταῖς πρὸ τῶν πυλῶν ἱδρύοντο τριόδοις.*

§. 20. *εἴκοσιν.* Celtas et Iberos 2000. ſubmiſſos fuiſſe, dato in quinque menſes ſtipendio, eoſque æſtate

ἦγον δὲ Κελτοὺς τε καὶ Ἴβηρας, καὶ ἱππεῖς ὡς πεντήκοντα. τῇ δὲ ὑστεραίᾳ οἱ Θηβαῖοί τε καὶ οἱ ἄλλοι αὐτῶν σύμμαχοι, διαταξάμενοι, καὶ ἐμπλήσαντες τὸ πεδίον μέχρι τῆς θαλάττης, καὶ μέχρι τῶν ἐχομένων τῆς πόλεως γηλόφων, ἔφθειρον, εἴ τι χρήσιμον ἦν ἐν τῷ πεδίῳ. καὶ οἱ μὲν τῶν Ἀθηναίων καὶ οἱ τῶν Κορινθίων ἱππεῖς οὐ μάλα ἐπλησίαζον τῷ στρατεύματι, ὁρῶντες ἰσχυρὰ καὶ πολλὰ τὰ ἀντί-
21 παλα· οἱ δὲ παρὰ τοῦ Διονυσίου ἱππεῖς, ὅσοι περ ἦσαν, οὗτοι διεσκεδασμένοι ἄλλος ἄλλῃ παραθέοντες, ἠκόντιζόν τε προσελαύνοντες, καὶ ἐπεὶ ὥρμων πρὸς αὐτοὺς, ἀνεχώρουν, καὶ πάλιν ἀναστρέφοντες ἠκόντιζον. καὶ ταῦτα ἅμα ποιοῦντες κατέβαινον ἀπὸ τῶν ἵππων, καὶ ἀνεπαύοντο. εἰ δὲ καταβεβηκόσιν ἐπελαύνοιεν τινὲς, εὐπετῶς ἀναπηδῶντες ἀνεχώρουν. εἰ δ᾽ αὖ τινες διώξειαν αὐτοὺς πολὺ ἀπὸ τοῦ στρατεύματος, τούτους, ὁπότε ἀποχωροῖεν, ἐπικείμενοι καὶ ἀκοντίζοντες δεινὰ εἰργάζοντο, καὶ πᾶν τὸ στράτευμα ἠνάγκαζον ἑαυτῶν ἕνεκα καὶ προϊέναι, καὶ ἀναχωρεῖν.
22 Μετὰ ταῦτα μέντοι Θηβαῖοι, μείναντες οὐ πολλὰς ἡμέρας, ἀπῆλθον οἴκαδε, καὶ οἱ ἄλλοι δὲ ἕκαστος οἴκαδε. ἐκ δὲ τούτου ἐμβάλλουσιν οἱ παρὰ Διονυσίου εἰς Σικυῶνα, καὶ μάχῃ μὲν νικῶσι τοὺς Σικυωνίους τῷ πεδίῳ, καὶ ἀπέκτειναν περὶ ἑβδομήκοντα· Γέρας δὲ τεῖχος κατὰ κράτος αἱροῦσι. καὶ ἡ μὲν παρὰ Διονυσίου πρώτη βοήθεια τοιαῦτα πράξασα ἀπέπλευσεν εἰς Συρακούσας. Θηβαῖοι δὲ, καὶ πάντες οἱ ἀποστάντες ἀπὸ Λακεδαιμονίων, μέχρι μὲν τούτου τοῦ χρόνου ὁμοθυμαδὸν καὶ ἔπραττον, καὶ ἐστρατεύοντο, ἡγουμένων τῶν

exeunte reverfos tradit Diodorus xv. 70. nulla equitum facta mentione.

§. 21. ἐπιλαύνοιεν. A. J. Br. Caftal. ἐλαύνοιεν.

§. 22. Γέρας. Stephanus recepit Δέρας, quia a Stephano Byz. locum Laconicæ Δέῤῥα commemoratum repererat. Verum de Sicyone et ejus regione vicina fermonem effe, recte admonuit Morus; nec adeo ad rem pertinere locum iftum. Brodæus Meffeniæ oppidum, igitur alienum, Γερηνίας maluit inferere. Cum Stephano facit Leoncl. et Wels.

πρώτη βοήθεια. De altera infra fect. 17. Deinceps margo Leoncl. habet ταῦτα.

Θηβαίων. Ἐγγινόμενος δέ τις Λυκομήδης Μαντινεὺς, 23 γένος τε οὐδενὸς ἐνδεὴς, χρήμασί τε προήκων, καὶ ἄλλως φιλότιμος, οὗτος ἐνέπλησε φρονήματος τοὺς Ἀρκάδας, λέγων, ὡς μόνοις μὲν αὐτοῖς Πελοπόννησος πατρὶς εἴη, (μόνοι γὰρ αὐτόχθονες ἐν αὐτῇ οἰκοῖεν) πλεῖστον δὲ φῦλον τῶν Ἑλληνικῶν τὸ Ἀρκαδικὸν εἴη, καὶ σώματα ἐγκρατέστατα ἔχοι. καὶ ἀλκιμωτάτους δὲ αὐτοὺς ἀπεδείκνυε, τεκμήρια παρεχόμενος, ὡς, ἐπικούρων ὁπότε δεηθεῖέν τινες, οὐδένας ᾑροῦντο ἀντ' Ἀρκάδων. ἔτι δὲ οὔτε Λακεδαιμονίους ἄνευ σφῶν πώποτε ἐμβαλεῖν ἐς τὰς Ἀθήνας, οὔτε νῦν Θηβαίους ἐλθεῖν ἄνευ Ἀρκάδων ἐς Λακεδαίμονα. ἂν οὖν 24 σωφρονῆτε, τοῦ ἀκολουθεῖν, ὅποι ἄν τις παρακαλοῖ, φείσεσθε. ὡς πρότερόν τε, Λακεδαιμονίοις ἀκολουθοῦντες, ἐκείνους ηὐξήσατε· νῦν δὲ, ἂν Θηβαίοις εἰκῇ ἀκολουθῆτε, καὶ μὴ κατὰ μέρος ἀξιῶτε ἡγεῖσθαι, ἴσως τάχα τούτους ἄλλους Λακεδαιμονίους εὑρήσετε. Οἱ μὲν δὴ Ἀρκάδες, ταῦτ' ἀκούοντες, ἀνεφυσῶντό τε, καὶ ὑπερεφίλουν τὸν Λυκομήδην, καὶ μόνον ἄνδρα ἡγοῦντο· ὥστε ἄρχοντας ἔταττον, οὕστινας κἀκεῖνος κελεύοι. καὶ ἐκ τῶν συμβαινόντων δὲ ἔργων ἐμεγαλύνοντο οἱ Ἀρκάδες. ἐμβαλόντων μὲν γὰρ εἰς Ἐπίδαυρον 25 τῶν Ἀργείων, καὶ ἀποκλεισθέντων τῆς ἐξόδου ὑπό τε τῶν μετὰ Χαβρίου ξένων καὶ Ἀθηναίων καὶ Κορινθίων, βοηθήσαντες μάλα πολιορκουμένους ἐξελύσαντο τοὺς Ἀργείους, οὐ μόνον τοῖς ἀνδράσιν, ἀλλὰ καὶ τοῖς χωρίοις πολεμίοις χρώμενοι. Στρατευσάμενοι δὲ καὶ εἰς Ἀσίνην τῆς Λακω-

§. 23. *γένος*. St. L. W. *γένει*. Diodor. xv. 67. Lycomedem ducem *τῶν ἐπιλέκτων* Arcadum, numero 5000. nominat. De eo vide ſupra ad vi. 5. 4.

*αὐτόχθονες*. Antiquitatem populi Arcadici explicuit *Heyne* in Opuſcul. Academicor. vol. ii. p. 332. ſqq.

§. 24. *πρότερόν τε*. Morus emendabat *γε*. [*Πρότερόν γε* leg. cum Moro. Sic §. 30. *πρόσθεν γε*. *F. A. Wolfius.*]

§. 25. *τοὺς Ἀργείους*. Articulum omittunt A. J. Caſt. Cæterum expeditionem illam Argivorum intelligit, quam ſupra §. 18. attigerat.

*Ἀσίνην*. Laconicam habet etiam Stephanus Byz. Cf. Waſſe ad Thucydid. iv. 12. Morus. De Aſina nihil Diodorus, ubi de Lycomede agit

νίκης, ἐνίκησάν τε τὴν τῶν Λακεδαιμονίων φρουρὰν, καὶ τὸν Γεράνορα, τὸν πολέμαρχον Σπαρτιάτην γεγενημένον, ἀπέκτειναν, καὶ τὸ προάστειον τῶν Ἀσιναίων ἐπόρθησαν. ὅπου δὲ βουληθεῖεν ἐξελθεῖν, οὐ νὺξ, οὐ χειμὼν, οὐ μῆκος ὁδοῦ, οὐκ ὄρη δύσβατα ἀπεκώλυεν αὐτούς· ὥστε ἔν γε τῷ χρόνῳ ἐκείνῳ πολὺ ᾤοντο κράτιστοι εἶναι. 26 Οἱ μὲν δὴ Θηβαῖοι διὰ ταῦτα ὑποφθόνως, καὶ οὐκέτι φιλικῶς εἶχον πρὸς τοὺς Ἀρκάδας. οἱ γεμὴν Ἠλεῖοι, ἐπεὶ ἀπαιτοῦντες τὰς πόλεις τοὺς Ἀρκάδας, ἃς ὑπὸ Λακεδαιμονίων ἀφῃρέθησαν, ἔγνωσαν, αὐτοὺς τοὺς μὲν ἑαυτῶν λόγους ἐν οὐδενὶ λόγῳ ποιουμένους, τοὺς δὲ Τριφυλίους, καὶ τοὺς ἄλλους τοὺς ἀπὸ σφῶν ἀποστάντας, περὶ παντὸς ποιουμένους, ὅτι Ἀρκάδες ἔφασαν εἶναι· ἐκ τούτων αὖ καὶ οἱ Ἠλεῖοι δυσμενῶς εἶχον πρὸς αὐτούς.

27 Οὕτω δὲ ἑκάστων ἐφ' ἑαυτοῖς μέγα φρονούντων τῶν συμμάχων, ἔρχεται Φιλίσκος Ἀβυδηνὸς παρὰ Ἀριοβαρζάνους, χρήματα ἔχων πολλά. καὶ πρῶτα μὲν εἰς Δελφοὺς συνήγαγε περὶ εἰρήνης Θηβαίους καὶ τοὺς συμμάχους, καὶ

xv. 67. Contra is expeditionem eo duce in Pellenem Laconicam memorat fufceptam, ubi Arcades, Pellene vi capta, Lacedæmonico præfidio occifo, civibufque in fervitutem abreptis ac venditis, regionem omnem vaftant. Hanc expeditionem Diodorus cum reliquis, in hoc capite hucufque traditis, refert ad annum quartum Olymp. 102.

βουληθεῖεν. A. J. Caft. βουληθοῖεν.

§. 26. λόγους ἐν οὐδενὶ λόγῳ. Mihi non placet hæc ejufdem verbi repetitio.

§. 27. Ἀριοβαρζάνους. Diodorus xv. 70. Artaxerxem nominat regem. Nullum vero tunc regem Ariobarzanem fuiffe, admonet Morus, qui nomen Artaxerxis fubftitutum voluit. Philifcus una cum Ariobarzane fuit civitate donatus ab Athenienfibus, et μέγιστος τῶν ὑπάρχων Ariobarzanis, qui Hellefpontum totum in eoque græcas urbes occupavit et vaftavit, in Perintho fociorum peregrinorum exercitum aluit, τοῖς ἐν Περίνθῳ ξένοις ἐμισθοδότει, et tandem a Therfagora et Execefto, Lampfacenis, fuit occifus, uti narrat Demofthenes contra Ariftocratem p. 666. ed. Reifke, Abydenos Philifcum et Agavum μισαθηναιοτάτους, etfi civitate cum Ariobarzane donatos, vocat ibid. p. 687. Eft hic ille Ariobarzanes, quem Timotheus, fubfidio miffus ab Athenienfibus, cum videret eum defciviffe plane a rege Perfarum, deftituit, auctore Demofthene de Rhodior. libert. p. 193. Inde odium ipfius et ejus ducum in Athenienfes. Atque ex his perfpiciet lector, vulgatam hujus loci lectionem non effe tentandam.

Δελφοὺς συνήγαγε. Jus hoc convocandi cum auctoritate fuadendæ tuendæque pacis habuit rex Perfiæ per fœdus illud nobile, de quo fupra v. 1. 28. Ita Morus. Vitium Edd. J. A. Br. ἀδελφοὺς fuftulit Brodæus.

τοὺς Λακεδαιμονίους. ἐκεῖ δὲ ἐλθόντες, τῷ μὲν θεῷ ὐδὲν ἐκοινώσαντο, ὅπως ἂν ἡ εἰρήνη γένοιτο, αὐτοὶ δὲ ἐβȣλεύοντο. Ἐπεὶ δὲ οὐ συνεχώρȣν οἱ Θηβαῖοι, Μεσσήνην ὑπὸ Λακεδαιμονίοις εἶναι, ξενικὸν πολὺ συνέλεγεν ὁ Φιλίσκος, ὅπως πολεμοίη μετὰ Λακεδαιμονίων.

Τȣ́των δὲ πραττομένων, ἀφικνεῖται καὶ ἡ παρὰ Διονυσίȣ δευτέρα βοήθεια. λεγόντων δὲ Ἀθηναίων, ὡς χρεὼν μὲν εἴη, αὐτοὺς εἰς Θετταλίαν τἀναντία Θηβαίοις—Λακεδαιμονίων δὲ, ὡς εἰς τὴν Λακωνικὴν, ταῦτα ἐν τοῖς συμμάχοις ἐνίκησεν. Ἐπεὶ δὲ περιέπλευσαν οἱ παρὰ Διονυσίου εἰς Λακεδαίμονα, λαβὼν αὐτοὺς ὁ Ἀρχίδαμος μετὰ τῶν πολιτικῶν ἐστρατεύετο. καὶ Καρύας μὲν ἐξαιρεῖ κατὰ κράτος, καὶ ὅσȣς ζῶντας ἔλαβεν, ἀπέσφαξεν· ἐκεῖθεν δὲ εὐθὺς στρατευσάμενος εἰς Παῤῥασίας τῆς Ἀρκαδίας μετ'

28 Olymp. 103. $\frac{1}{2}$.

θεῷ οὐδέν. Adverte Xenophontis pietatem!

Μεσσήνην. Meſſenem regionem et novam ab Epaminonda conditam urbem intelligi, patet. Hanc poſt primam in Laconicam expeditionem Epaminondas præſidio firmatam, veluti liberam, conquiſitis undique Meſſeniis civibus, reſtituit, narrantibus Diodoro xv. 66. Pauſania iv. 26. et Polybio iv. 32. Socii Lacedæmoniis ſuaſiſſe dicuntur, ut, omiſſa Meſſene, pacem acciperent, apud Iſocratem in Archidamo, ubi de reſtaurata Meſſene pag. 236. ita legitur: ταύτην διὰ τριακοσίων ἐτῶν κατοικίζουσιν, ἀμφότερα παρὰ τȣ̀ς ὅρκȣς καὶ τὰς συνθήκας πράττοντες. Καὶ εἰ μὲν τȣ̀ς ὡς ἀληθῶς Μεσσηνίους κατῆγον, ἠδίκȣν μὲν ἄν—νῦν δὲ τοὺς εἵλωτας ὁμόρους ἡμῖν παρακατοικίζȣσιν.

ξενικὸν πολύ. Reliquit milites ſelectos mercenarios bis mille, ſtipendio ante ſoluto. Ita Diodorus xv. 70.

§. 28. αὐτȣ́ς. Auxilia a Dionyſio ſubmiſſa. Morus.

Θηβαίοις. Excidiſſe πέμπειν aut ſimile verbum Leoncl. monuit. Thebanorum autem opes potiſſimum in Theſſalia creverant, poſtquam Theſſali contra Alexandrum Pheræum auxilio eos vocaverant. Diodor. xv. 67. et 71. Plutarch. Pelopid. c. 26. ſeqq. Morus. Sed præterea Leoncl. delet μὲν ante εἴη. Steph. legebat ἄγοι. Fr. Portus ἰέναι aut στρατεύεσθαι inſerebat.

Λακωνικήν. Ad ejiciendos Arcades, qui irruptionem fecerant. Vide ſect. 14. Morus.

Λακεδαίμονα. Pro Laconica dici, recte admonuit Morus. Archidamus eſt rex Spartanus.

πολιτικῶν. Militibus indigenis.

Καρύας. A. J. Br. Caſt. Καρυᾶνας. Quod nomen civitatis aut populi dubium eſt atque aliunde ignotum. Contra quod L. Stephan. et Wels ediderunt Καρύαι eſt oppidum in finibus Laconicæ, in qua res geritur. Tertio civitas illa Caryatis nuper ad Thebanos defecerat, (vi. 5. 25. 27.) ut non mirum ſit, ſi Spartanos nunc ab incolis ejus pœnas ſumſiſſe legimus. Brodæus Ἀκαρνᾶνας voluit legi; ſed Acarnanes non ſunt in Peloponneſo. Fuit etiam Arcadiæ oppidum, Caryæ, ſi quis hoc intelligi malit. Morus.—Sed Arcadiam deinceps nominat Xenophon, ut Caryas alibi ſitas eſſe ſignificaret.

Παῤῥασίας. Urbis nomen, plurali numero expreſſum, nondum reperi.

αὐτῶν, ἐδῄου τὴν χώραν. ἐπεὶ δ' ἐβοήθησαν οἱ Ἀρκάδες καὶ οἱ Ἀργεῖοι, ἐπαναχωρήσας ἐστρατοπεδεύσατο ἐν τοῖς ἐπὶ Μιδέας γηλόφοις. ἐνταῦθα δ' ὄντος αὐτοῦ, Κισσίδας, ὁ ἄρχων τῆς παρὰ Διονυσίου βοηθείας, ἔλεγεν, ὅτι ἐξήκοι αὐτῷ ὁ χρόνος, ὃς ἦν εἰρημένος παραμένειν. καὶ ἅμα 29 ταῦτ' ἔλεγε, καὶ ἀπῄει τὴν ἐπὶ Σπάρτης. Ἐπεὶ δὲ ἀποπορευόμενον ὑπετέμνοντο αὐτὸν οἱ Μεσσήνιοι ἐπὶ στενὸν τῆς

Forte fuit olim Παῤῥασίους, quibus plures urbes parebant, teste Pausania viii. p. 654.

[Παῤῥασίας. Usus etiam loquendi Thucydideus suadet legere Παῤῥασίους, quos Thucydides v. 33. Mantineorum imperio paruisse ait. *Ex Addendis.*]

ἐπὶ Μιδέας. A. J. Br. Castal. Ἐπιμηδέας hic et paulo post habent scriptum. Primus correxit Brodæus. Est vero gemina Μίδεια, alia Argiva, de qua hic sermo est, alia Bœotica. Argiva Μιδέα, Bœotica vero Μίδεια dicitur. Hanc admonitionem Strabonis viii. p. 373. et veterum editionum vestigia secutus sum, addicente Pausania p. 502. et 653. ubi Μιδέα scribitur. Morus.

[Μιδέας. Statius in Thebaide: *Aptior armentis Midea.* Ex Addendis.]

§. 29. ἀπετέμνοντο. Steph. legit ὑπετέμνοντο. Sic supra i. 6. 17. ὑποτεμνόμενος τὸν ἐς Σάμον πλοῦν i. e. intercludens. Sic Cyropæd. i. 4. 19. et 21. Etsi Morus vulgatam h. l. lectionem damnare non audet, mihi tamen altera rectior videtur. Simul enim occursum anteriorem in locum significat. Sic in verbis similibus Xenoph. de Venat. iii. 10. canes multum cursu anticipantes lepores dicit πολὺ ὑπολαμβανούσας. Ibidem §. 6. ὑπολαμβάνουσαι ἐκ τοῦ πρόσθεν τὰ ἴχνη. Sic ibidem §. 8. ὑποθέουσιν. In Anabasi i. 8. 15. ὑπελαύνειν eodem modo dicitur. Equum currentem in conversione inhibere freno inde dixit ὑπολαμβάνειν, de Re Equestri vii. 15. 16. et ix. 5. de Magistro Equit. iii. 14. Idem de Re Equestr. cap. xi. 3. ἀνακρούειν τῷ χαλινῷ dicit. Contra qui in angustiis derelinquitur, eum Xenophon de Magistro Equit. viii. 13. ἀπολαμβάνεσθαι διὰ δυσχωρίας dicit. Sic dicitur equus, pedibus posterioribus anteriores prægrediens, ὑποτιθέναι τὰ σκέλη τὰ ὀπίσθια ὑπὸ τὰ ἐμπρόσθια, de Re Equestri c. xi. 2. Ejusmodi equum ad pompam aptum tollere se et erigere in pedes posteriores dicitur Xenophonti, sed aliam quandam et propriam corporis mensuram ad eam rem requiri, quam sic definit: ὃς ἂν τὴν ὀσφὺν ὑγρὰν τε καὶ βραχεῖαν καὶ ἰσχυρὰν ἔχῃ, καὶ οὐ τὴν κατ' οὐρὰν λέγομεν, ἀλλ' ᾗ πέφυκε μεταξὺ τῶν τε πλευρῶν καὶ τῶν ἰσχίων κατὰ τὸν κενεῶνα, οὗτος δυνήσεται πόῤῥω ὑποτιθέναι τὰ ὀπίσθια σκέλη etc. Intelligit equum corpore contractiori, non longo; præcipue ubi commissura renum (*Le Croupion* dicitur Gallis, nobis, *das Kreutz*) seu spatium inter costas ultimas et femora, quod Latini dicunt ilia, est bene mobilis, brevis et fortis. Hæc igitur commissuræ pars opponitur alteri, quæ ὀσφὺς κατ' οὐρὰν dicitur, postremam corporis partem cum femoribus complectens. Sic ipsorum femorum partem posticam, sub cauda conspiciendam, Xenophon distinguit ab ea parte, quæ ilia spectat; et si pars postica sub cauda lato discrimine sit divisa, ejusmodi equum, ait, pedes posteriores longo intervallo ante anteriores ponere; οὕτω καὶ τὰ ὀπίσθια σκέλη διὰ πολλοῦ ὑποθήσει. De Re Equestri i. 14. Possunt tamen etiam ita distingui a femoribus anterioribus, seu potius brachiis torosis, quæ Xenophon ibidem i. 7. μηροὺς τοὺς ὑπὸ ταῖς ὠμοπλάταις appellat. Longe diversum est, cum equus latum pectus habet, et pedes anteriores lato intervallo disjunctos, ne inter eundum invicem impingant; πρὸς τὸ μὴ ἐπαλλὰξ ἀλλὰ διὰ πολλοῦ τὰ σκέλη φέρειν. i. §. 7. Quæ quidem loca nuperus Interpres, Zeunius noster, aut plane omisit, aut male interpretatus est. Est etiam diversitas quædam genera-

ὁδοῦ, ἐνταῦθα δὴ ἔπεμπεν ἐπὶ τὸν Ἀρχίδαμον, καὶ βοηθεῖν ἐκέλευε· κἀκεῖνος μέντοι ἐβοήθει. ὡς δ' ἐγένοντο ἐν τῇ ἐπ' Εὐτρησίους ἐκτροπῇ, οἱ μὲν Ἀρκάδες καὶ οἱ Ἀργεῖοι προσέβαινον εἰς τὴν Λάκαιναν, καὶ οὗτοι ὡς ἀποκλείσοντες αὐτὸν τῆς ἐπ' οἶκον ὁδοῦ. ὁ δὲ, οὗπερ ἐστὶ χωρίον ἐπίπεδον ἐν ταῖς συμβολαῖς τῆς τε ἐπ' Εὐτρησίων καὶ τῆς ἐπὶ Μιδέας ὁδοῦ, ἐνταῦθα ἐκβὰς παρετάξατο ὡς μαχούμενος. Ἔφασαν δ' αὐτὸν καὶ πρὸ τῶν λόχων παριόντα τοιάδε 30 παρακελεύσασθαι· Ἄνδρες πολῖται, νῦν ἀγαθοὶ γενόμενοι ἀναβλέψωμεν ὀρθοῖς ὄμμασιν· ἀποδῶμεν τοῖς ἐπιγιγνομένοις τὴν πατρίδα, οἵανπερ παρὰ τῶν πατέρων παρελάβομεν· παυσώμεθα αἰσχυνόμενοι καὶ παῖδας, καὶ γυναῖκας, καὶ πρεσβυτέρους, καὶ ξένους, ἐν οἷς πρόσθεν γε πάντων τῶν Ἑλλήνων περιβλεπτότατοι ἦμεν. Τούτων δὲ ῥηθέντων, 31 ἐξ αἰθρίας ἀστραπάς τε καὶ βροντὰς λέγουσιν αἰσίους αὐτῷ φανῆναι. συνέβη δὲ καὶ πρὸς τῷ δεξιῷ κέρατι τέμενός τε καὶ ἄγαλμα Ἡρακλέους, οὗ δὴ καὶ ἀπόγονος λέγεται,

tim in animalium inceſſu, quam notavit breviter Ariſtoteles H. A. ii. 1. Alia enim pedibus poſterioribus anteriores tranſeunt, quod ὑποτιθέναι *anteponere* dixit Xenophon ; alia intra anteriorum veſtigia ponunt poſteriores, quod κατὰ σκέλος βαδίζειν dicit Ariſtoteles, addens interpretationem: ὅτε οὐ προβαίνει τῷ ἀριστερῷ τὸ δεξιὸν, ἀλλ' ἐπακολουθεῖ. Scilicet pes dexter anterior ubique præcedit, ſiniſter poſterior ſequitur. Si igitur in inceſſu leonis, cameli et aliorum animalium pes primum ſiniſter dextrum anteriorem deinde dexter poſterior anteriorem ſiniſtrum non tranſgreditur, ſed ſubſequitur, hoc Ariſtoteles dicit κατὰ σκέλος βαδίζειν. Plinius xi. ſect. 105. *pedatim gradi* vertit.—His igitur rationibus permotus ὑπετέμνοντο reſtitui. Sed difficultatem etiam faciunt ἐπὶ στενὸν τῆς ὁδοῦ, quæ ita interpretor: Meſſenii, ad viam anguſtam occurrentes, intercipere iter Siculorum auxiliorum conabantur.

Εὐτρησίους. Ita ducibus L. St. W. ſcripſi pro vulgato nomine, quod improbabat etiam Morus, Εὐκτρησίους. Steph. enim Byz. Arcadiæ, ubi res illæ geſtæ ſunt, oppidum nominat Εὐτρήσιον; et Pauſanias Arcad. p. 654. ſimiliter Εὐτρησίους appellat.

ἀποκλείσοντες αὐτόν. Archidamum, Siculis opitulantem.

οὗπερ. Ita cum Leonclav. pro vulgato ὅπερ ſcripſi, approbante etiam Moro.

§. 30. ὀρθοῖς ὄμμασι. Ut erigere animum dicimus, ita oculos attollere jubet cives ſuos Archidamus, malis hucuſque adflictos et pudibundos. Male Caſtal. ἀναβλέψομεν edidit.

§. 31. αἰθρίας. Cœlo ſereno, quod inprimis bonum et fauſtum facit augurium. Vocabulum αἰθρία ita fuit ſupra i. 1. 11. At in Anabaſi iv. 4. 14. ὑπὸ τῆς αἰθρίας eſt *ſub divo*.

ἀπόγονος. Ipſe Archidamus ut reliqui reges Spartani. Cf. Morum ad Iſocratis Panegyr. cap. 16.

εἶναι. τοιγαροῦν ἐκ τούτων πάντων οὕτω πολὺ μένος καὶ θάρσος τοῖς στρατιώταις φασὶν ἐμπεσεῖν, ὥστ' ἔργον εἶναι τοῖς ἡγεμόσιν, ἀνείργειν τοὺς στρατιώτας, ὠθουμένους εἰς τὸ πρόσθεν. ἐπεὶ μέντοι ἡγεῖτο ὁ Ἀρχίδαμος, ὀλίγοι μὲν τῶν πολεμίων, δεξάμενοι αὐτοὺς εἰς δόρυ, ἀπέθανον· οἱ δ' ἄλλοι φεύγοντες ἔπιπτον, πολλοὶ μὲν ὑπὸ ἱππέων, πολλοὶ

32 δὲ ὑπὸ τῶν Κελτῶν. Ὡς δὲ ληξάσης τῆς μάχης τρόπαιον ἐστήσατο, εὐθὺς ἔπεμψεν οἴκαδε ἀγγελοῦντα Δημοτέλη τὸν κήρυκα τῆς τε νίκης τὸ μέγεθος,—ὅτι Λακεδαιμονίων μὲν οὐδεὶς τεθναίη, τῶν δὲ πολεμίων παμπληθεῖς. τοὺς μέντοι ἐν Σπάρτῃ ἔφασαν ἀκούσαντας, ἀρξαμένους ἀπὸ Ἀγησιλάου καὶ τῶν γερόντων καὶ τῶν ἐφόρων, πάντας κλαίειν· οὕτω κοινόν τι ἄρα χαρᾷ καὶ λύπῃ δάκρυά ἐστιν· ἐπὶ μέντοι τῇ τῶν Ἀρκάδων τύχῃ οὐ πολὺ ἧττον Λακεδαιμονίων ἥσθησαν οἱ Θηβαῖοί τε καὶ Ἠλεῖοι· οὕτως ἤδη ἤχθοντο ἐπὶ τῷ φρονήματι αὐτῶν.

33 Συνεχῶς δὲ βουλευόμενοι οἱ Θηβαῖοι, ὅπως ἂν τὴν ἡγεμονίαν λάβοιεν τῆς Ἑλλάδος, ἐνόμισαν, εἰ πέμψειαν πρὸς τὸν Περσῶν βασιλέα, πλεονεκτῆσαι ἄν τι—ἐκείνῳ. καὶ

Κελτῶν. Erant Celtæ aut Galli inter auxilia Syracufana, ut antea §. 9. De ipfo prœlio vide Diodorum xv. 72. Morus. Ante ἱππέων Edd. A. J. C. male omittunt ὑπό.

§. 32. [ὅτι Λακεδαιμονίων μὲν—His verbis ipfa victoriæ magnitudo defcribitur. Ergo non quadrat ratio Stephani. Rectum vidiffe arbitror Leonclavium. *F. A. Wolfius.*]

οὐδεὶς τεθναίη. Ante ὅτι auctore Stephan. inferui καὶ, approbante Moro; contra Leonclav. malebat τῆσδε νίκης. Kœppen delebat τε poft τῆς. Cæterum oraculum Dodonæum prædixerat Lacedæmoniis, bellum hoc fore ἄδακρυ, ut memorat Diodorus l. c. qui Arcadum ultra decies mille cecidiffe refert. Addit: poft hanc pugnam Arcades Mænalios et Parrhafios urbem Megalopolin condidiffe, collatis in eam 40. pagis, Olymp. 103. 1. Xenophon infra Megalopolitanos obiter nominat.

οὕτω κοινόν. Ex nimio hoc Lacedæmoniorum gaudio imbecillitatem et fractas vires merito arguit Plutarchus Agef. c. 33.

§. 33. ἄν τι ἐκείνῳ. Morus emendabat παρ' ἐκείνῳ ut fectione 24. In margine Caft. legitur δι' ἐκείνου. Marg. Leoncl. habet πλεονεκτήσειν.

[Πλεονεκτῆσαι ἂν δι' ἐκεῖνον, h. e. *regis ope.* Ifto enim modo leg. Pofcit id fenfus, commendat corruptelæ facilitas. Crebro ν abiit in ι primum appictum, ferius fubfcriptum, et vice verfa. (Quemadmodum vi. 5. 24. forf. fcrib. Λεύκτρῳ pro Λεύκτρων. v. 3. 23. leg. πρεσβείᾳ pro πρεσβείαν, quod fatis eft ifti loco fanando. Et v. 4. 26. cum Leoncl. fcrib. σωτῆρα αὐτῷ τοῦ πατρὸς γενέσθαι. Sic refpondet ibi paullo poft, σῶσαί οἱ τὸν πατέρα.)

ἐκ τούτου παρακαλέσαντες ἤδη τοὺς συμμάχους, ἐπὶ προφάσει, ὅτι καὶ Εὐθυκλῆς ὁ Λακεδαιμόνιος εἴη παρὰ βασιλεῖ, ἀναβαίνουσι Θηβαίων μὲν Πελοπίδας, Ἀρκάδων δὲ Ἀντίοχος ὁ παγκρατιαστής, Ἠλείων δὲ Ἀρχίδαμος· ἠκολούθει δὲ καὶ Ἀργεῖος. καὶ οἱ Ἀθηναῖοι δὲ ἀκούσαντες ταῦτα ἀντέπεμψαν Τιμαγόραν τε καὶ Λέοντα. Ἐπεὶ δ' 34 ἐκεῖ ἐγένοντο, πολὺ ἐπλεονέκτει ὁ Πελοπίδας παρὰ τῷ Πέρσῃ. εἶχε γὰρ λέγειν, καὶ ὅτι μόνοι τῶν Ἑλλήνων βασιλεῖ συνεμάχοντο ἐν Πλαταιαῖς, καὶ ὅτι ὕστερον οὐδὲ πώποτε στρατεύσαιντο ἐπὶ βασιλέα, καὶ ὡς Λακεδαιμόνιοι διὰ τοῦτο πολεμήσειαν αὐτοῖς, ὅτι οὐκ ἐθελήσαιεν μετ' Ἀγησιλάου ἐλθεῖν ἐπ' αὐτὸν, οὐδὲ θύσαι ἐάσαιεν αὐτὸν ἐν Αὐλίδι τῇ Ἀρτέμιδι, ἔνθαπερ, ὅτε Ἀγαμέμνων εἰς τὴν Ἀσίαν ἐξέπλει, θύσας εἷλε τὴν Τροίαν. μέγα δὲ συνεβάλλετο τῷ 35 Πελοπίδᾳ εἰς τὸ τιμᾶσθαι, καὶ ὅτι ἐνενικήκεσαν οἱ Θηβαῖοι μάχῃ ἐν Λεύκτροις, καὶ ὅτι πεπορθηκότες τὴν χώραν τῶν Λακεδαιμονίων ἐφαίνοντο. ἔλεγε δὲ ὁ Πελοπίδας, ὅτι Ἀργεῖοι καὶ Ἀρκάδες μάχῃ ἡττημένοι εἶεν ὑπὸ Λακεδαι-

Mox quum legitur ἐπλεονέκτει ὁ Π. παρὰ τῷ Πέρσῃ, ibi paullo alia eſt ratio. Deinde quæ ſequuntur, καὶ ἐκ τούτου παρ. ἤδη τ. συμμάχους etc. ea laborant nimia brevitate, ſi non alio quo vitio graviore. *F. A. Wolfius.*]

Ἀντίοχος — Ἀρχίδαμος. Archidamum Xeniæ divitis filium nominat bis Pauſanias vi. pag. 452. et 494. Antiochum pancratiaſten Pauſan. vi. p. 458. ex Lepreo oriundum dicit. Lepreatæ autem Triphyliæ Eliacæ ſunt, malebant tamen ad Arcades adnumerari, teſte Pauſania v. p. 385. Hinc Xenophon Antiochum Arcadem nominat. Statuam Antiochi dicitur feciſſe Nicodamus Mænalius. Ex hoc Xenophontis loco Antiochi et Nicodemi ætas cognoſcitur.

Ἀργεῖος. Excidiſſe nomen Argivi legati putabat Morus, oblitus ſcilicet hoc ipſum eſſe legati Eleenſis nomen, quod etiam infra c. 4. 15. repetitur. Cæterum in margine Leonclav. legitur ἐβουλήθη pro ἠκολούθει et ἀνέπεμψαν pro ἀντέπεμψαν. De Argeo nunc video idem monuiſſe Kœppen.

§. 34. Πελοπίδας. Vide Plutarchum in vita ejus c. 30. ſeqq. Rex Perſarum intelligitur Xerxes, quem juverunt Thebani ad Platæas. Cf. ad vi. 3. 9.

οὐδὲ πώποτε. Ex Codd. regiis Pariſ. vulgatum οὐδέποτε emendabat Brunck. ad Ariſtoph. Eccleſiaz. verſu 384. quem ſecutus ſum. Ita enim ſemper de tempore præterito Attici ponunt, quanquam alteram formam de præterito tempore defendere ſuſcepit nuper V. C. *Wolf.* ad Demoſthenem adverſ. Leptinem p. 313.

Αὐλίδι. Vide ſupra iii. 4. 4.

§. 35. συνεβάλλετο. Vitio eſt in L. St. W. συνεβάλλοντο.

ἐφαίνοντο. Non : *videbantur* ; ſed : *palam erat, eos vaſtaſſe*, ex vi. 5. 27. Ita recte admonet Morus.

μονίων, ἐπεὶ αὐτοὶ οὐ παρεγένοντο. συνεμαρτύρει δ' αὐτῷ ταῦτα πάντα, ὡς ἀληθῆ λέγει, ὁ Τιμαγόρας Ἀθηναῖος, 36 καὶ ἐτιμᾶτο δεύτερα μετὰ τὸν Πελοπίδαν. Ἐκ δὲ τούτου ἐρωτώμενος ὑπὸ βασιλέως ὁ Πελοπίδας, τί βούλοιτο ἑαυτῷ γραφῆναι, εἶπεν, ὅτι Μεσσήνην τε αὐτόνομον εἶναι ἀπὸ Λακεδαιμονίων, καὶ Ἀθηναίους ἀνέλκειν τὰς ναῦς· εἰ δὲ ταῦτα μὴ πείθοιντο, στρατεύειν ἐπ' αὐτούς· εἴ τις δὲ πόλις 37 μὴ ἐθέλοι ἀκολουθεῖν, ἐπὶ ταύτην πρῶτον ἰέναι. Γραφέντων δὲ τούτων, καὶ ἀναγνωσθέντων τοῖς πρέσβεσιν, εἶπεν ὁ Λέων, ἀκούοντος τοῦ βασιλέως· νὴ Δία, ὦ Ἀθηναῖοι, ὥρα γε ὑμῖν, ὡς ἔοικεν, ἄλλον τινὰ φίλον ἀντὶ βασιλέως ζητεῖν. ἐπεὶ δ' ἀπήγγειλεν ὁ γραμματεύς, ἃ εἶπεν ὁ Ἀθηναῖος, πάλιν ἐξήνεγκε προσγεγραμμένα· εἰ δέ τι δικαιότερον τούτων γιγνώσκουσιν οἱ Ἀθηναῖοι, ἰόντας πρὸς βασι- 38 λέα διδάσκειν. Ἐπεὶ δὲ ἀφίκοντο οἱ πρέσβεις ἕκαστοι οἴκαδε, τὸν μὲν Τιμαγόραν ἀπέκτειναν οἱ Ἀθηναῖοι, κατη-

δεύτερα. In margine Leoncl. δευτέρως.

§. 37. ὥρα γε ὑμῖν. In Caſt. eſt ὥρα γε μὴν ὑμῖν. Quod mihi quidem placet, contra γε ſolum diſplicet. In Cyrop. i. 4. 13. et 28. eſt ſimpliciter ὥρα ἂν εἴη σοι ubi tamen priore in loco Aldina et Steph. ὥρα οὖν. Contra iv. 5. 1. eſt ὥρα δή.

ἀπήγγειλε. Interpretatus eſt ſermonem græcum regi, ut recte vertunt Pirkheimer et Goldhagen. Quod ſequitur πάλιν ἐξήνεγκε Morus interpretatus: protulit e cubiculo regis: putabat, hæc abſente rege dicta fuiſſe eique nunciata in cubiculum. Quare emendabat: οὐκ ἀκούοντος τοῦ βασιλέως. Verum mihi leges pacis ſeorſim ſcriptæ fuiſſe videntur, deinde e ſcribarum cubiculo prolatæ et publice lectæ fuiſſe legatis et regi præſentibus. Ergo non opus eſt emendatione.

δικαιότερον. A. J. Br. Caſt. δικαιότερα. Cæterum hac pace tandem finitum eſſe bellum inde a Leuctrica pugna ultra quinquennium a Thebanis et Lacedæmoniis geſtum, Diodorus xv. 76. perhibet. Idem bellum hoc modo Laconicum, modo Bœoticum dici, monet. Sed quæ de bello fine mora finito tradit, ea brevius, quam pro juſta perſpicuitate, ſcripſit, ſi quis, quæ paulo poſt ſect. 27. a Xenophonte narrata ſunt, comparet. Quod porro dicit, legatos a rege Perſarum in Græciam miſſos eſſe, id ipſum repugnat Xenophonteæ narrationi ſect. 28. Sed malim Xenophontem, qui h. l. diligentiſſimus eſt, ſequi, præſertim cum Plutarchus Pelop. c. 30. cum eo conſentiat. Morus. Ipſe tamen Xenophon ſect. 27. Perſam una in Græciam miſſum memorat.

§. 38. Τιμαγόραν. Cauſam damnationis refert Demoſthenes de falſa legat. p. 383. et 400. ed. Reiſke legatum ſcil. eum fuiſſe cum Leonte apud Perſas per quadriennium, et a rege abſtuliſſe talenta 40. Plutarchus in Artaxerxe cap. 22. libellum clam per ſcribam Beluridem a Timagora ad regem miſſum memorat, et daricos 10,000. dono datos Timagoræ ponit. In Pelopid. c. 30. argenti ſummam non definit, nec Iſmeniæ me-

γοροῦντος τοῦ Λέοντος, ὡς οὔτε συσκηνοῦν ἐθέλοι ἑαυτῷ, μετά τε Πελοπίδου πάντα βουλεύοιτο. τῶν δ' ἄλλων πρέσβεων ὁ μὲν Ἠλεῖος Ἀρχίδαμος, ὅτι προὐτίμησε τὴν Ἦλιν πρὸ τῶν Ἀρκάδων, ἐπῄνει τὰ τοῦ βασιλέως· ὁ δὲ Ἀντίοχος, ὅτι ἠλαττοῦτο τὸ Ἀρκαδικὸν, οὔτε τὰ δῶρα ἐδέξατο, ἀπήγγειλε πρὸς τοὺς μυρίους, ὅτι βασιλεὺς ἀρτοκόπους, καὶ ὀψοποιοὺς, καὶ οἰνοχόους, καὶ θυρωροὺς παμπληθεῖς ἔχοι, ἄνδρας δὲ, οἳ μάχοιντ' ἂν Ἕλλησι, πάνυ ζητῶν, οὐκ ἂν ἔφη δύνασθαι ἰδεῖν. πρὸς δὲ τούτοις, καὶ τὸ τῶν χρημάτων πλῆθος ἀλαζονείαν αὐτῷ δοκεῖν εἶναι ἔφη· ἐπεὶ καὶ τὴν ὑμνουμένην ἂν χρυσῆν πλάτανον οὐχ ἱκανὴν ἔφη εἶναι τέττιγι σκιὰν παρέχειν.

39 Ὡς δὲ οἱ Θηβαῖοι ἐκάλεσαν ἀπὸ τῶν πόλεων ἁπασῶν ἀκουσομένους τῆς παρὰ βασιλέως ἐπιστολῆς, καὶ ὁ Πέρσης, ὁ φέρων τὰ γράμματα, δείξας τὴν βασιλέως σφραγῖδα, ἀνέγνω τὰ γεγραμμένα, οἱ μὲν Θηβαῖοι ὀμνύναι ταῦτα ἐκέλευον βασιλεῖ καὶ ἑαυτοῖς τοὺς βουλομένους φίλους εἶναι· οἱ δὲ ἀπὸ τῶν πόλεων ἀπεκρίναντο, ὅτι οὐκ ὀμούμενοι, ἀλλὰ ἀκουσόμενοι πεμφθείησαν· εἰ δέ τι ὅρκων δέοιντο, πρὸς τὰς πόλεις πέμπειν ἐκέλευον. ὁ μέντοι Ἀρκὰς Λυκομήδης

minit, quem altero in loco adfuisse Pelopidæ dixerat.

[Addes propter diversitatem narrationis Valer. Max. vi. 3. ext. 3. et Ath. vi. p. 251. B. ubi Τιμαγόραν pro Εὐαγόραν bene emend. Brisson. de R. P. p. 27. *F. A. Wolfius.*]

προὐτίμησε. Scilicet rex Persarum, qui Arcadiorum legato Archidamo dona nulla dederat.

ἀπήγγειλε—μυρίους. Post ἀπήγγειλε Cast. inferit δὲ, quasi verba: οὔτε τὰ δῶρα non relata ad ὅτι, sed sejuncta ponantur. In margine Leonclav. est καὶ ἀπήγγειλε. Μυρίοι sunt senatus Arcadum ex consilio Lycomedis institutus ἐξ ἀνδρῶν μυρίων, qui de pace et bello decerneret. Cf. Diodor. xv. 59. Demosth. de falsa legat. p. 344. et 403. ed. Reiske, et Valef. ad Harpocr. p. 130. Idem senatus nominatur infra vii. 4. 2. 33. 34.

αὐτῷ. Ita suadente Moro scripsi. In A. J. Br. est αὐτοῦ. In Leonclav. Steph. et Welf. est οἷ γε.

πλάτανον. Dario dono datam olim, de qua Herodot. vii. 27. Plinius H. N. xxiii. 47. et alii.

§. 39. ὀμνύναι ταῦτα. Per has litteras regis Persarum jurare volunt Thebani reliquas civitates. Mirum et insolens mihi hoc videtur. Ergo κατὰ ταῦτα legere malo, ut est sectione 40.

[Ὀμνύναι ταῦτα, quin sit *jurejurando sancire ea, quæ litteris continerentur,* non dubito. Nuper admodum duo talia exempla hujus usus, ὀμνύναι τὶ, legi in Attico quodam. Forma §. 40. diversa est. *F. A. Wolfius.*]

καὶ τοῦτο ἔλεγεν, ὅτι οὐδὲ τὸν σύλλογον ἐν Θήβαις δέοι εἶναι, ἀλλ' ἔνθα ἂν ᾖ ὁ πόλεμος. χαλεπαινόντων δὲ αὐτῷ τῶν Θηβαίων, καὶ λεγόντων, ὡς διαφθείρει τὸ συμμαχικὸν, οὐδὲ εἰς τὸ συνέδριον ἤθελε καθίζειν, ἀλλ' ἀπιὼν ᾤχετο, καὶ
40 μετ' αὐτοῦ πάντες οἱ ἐξ Ἀρκαδίας πρέσβεις. Ὡς δὲ ἐν Θήβαις οὐκ ἠθέλησαν οἱ συνεληλυθότες ὀμόσαι, ἔπεμπον οἱ Θηβαῖοι πρέσβεις ἐπὶ τὰς πόλεις, ὀμνύναι κελεύοντες, ποιήσειν κατὰ τὰ βασιλέως γράμματα, νομίζοντες, ὀκνήσειν μίαν ἑκάστην τῶν πόλεων ἀπεχθάνεσθαι ἅμα ἑαυτοῖς τε καὶ βασιλεῖ. ἐπεὶ μέντοι εἰς Κόρινθον πρῶτον αὐτῶν ἀφικομένων ὑπέστησαν οἱ Κορίνθιοι, καὶ ἀπεκρίναντο, ὅτι οὐδὲν δέοιντο πρὸς βασιλέα κοινῶν ὅρκων, ἐπηκολούθησαν καὶ ἄλλαι πολλαὶ πόλεις, κατὰ ταῦτα ἀποκρινόμεναι. καὶ αὕτη μὲν ἡ Πελοπίδου καὶ τῶν Θηβαίων τῆς ἀρχῆς περιβολὴ οὕτω διελύθη.

41 Αὖθις δ' Ἐπαμινώνδας, βουληθεὶς τοὺς Ἀχαιοὺς προσαγαγέσθαι, ὅπως μᾶλλον σφίσι καὶ οἱ Ἀρκάδες καὶ οἱ ἄλλοι σύμμαχοι προσέχοιεν τὸν νοῦν, ἔγνωκε στρατευτέον εἶναι ἐπὶ τὴν Ἀχαΐαν. Πεισίαν οὖν τὸν Ἀργεῖον, στρατηγοῦντα ἐν τῷ Ἄργει, πείθει προκαταλαβεῖν τὸ Ὄνειον. καὶ ὁ Πεισίας μέντοι, καταμαθὼν ἀμελουμένην τὴν τοῦ Ὀνείου φυλακὴν ὑπό τε Ναυκλέους, ὃς ἦρχε τοῦ ξενικοῦ τῶν Λα-

Olymp. 103. $\frac{2}{3}$.

διαφθείρει. Castal. διαφθείρῃ.

ποιήσειν. In edd. A. J. Bryl. Cast. legitur κατὰ τὰ βασιλέως ποιῆσαι γράμματα.

ὑπέστησαν. Obstiterunt. Vide Indicem.

κατὰ ταῦτα. Portus emendat καὶ τὰ ταὐτά. Non male.

περιβολή. Supra iv. 8. 18. περιβάλλεσθαι erat: sibi assumere, comparare. In Anab. vi. 3. 3. Cyrop. i. 4. 17. iii. 3. 23. est similiter positum. Hinc περιβολὴ h. l. est conatus, studium imperii acquirendi, ut recte Morus interpretatur. Quodsi simul verbum διελύθη volueris exprimere, poteris interpretari: Atque ita Pelopidæ et Thebanis imperium firmiter amplexantibus ereptum et dissolutum fuit. Est enim περιβολὴ etiam amplexatio apud Xenophontem de Venatione.

§. 41. προσπαραγέσθαι. Diodorus xv. 75. de eadem re τοὺς Ἀχαίους καί τινας ἄλλας πόλεις προσηγάγετο· quod et h. l. malim. Cæterum Dymen, Naupactum et Calydonem præsidio Achæorum liberavit, auctore Diodoro. Vide supra ad iv. 6. 14.

ἀμελουμένην. Edd. A. J. Cast. male ἀμελουμένων.

κεδαιμονίων, καὶ ὑπὸ Τιμομάχου τοῦ Ἀθηναίου, καταλαμβάνει νύκτωρ μετὰ δισχιλίων ὁπλιτῶν τὸν ὑπὲρ Κεγχρεῶν λόφον, ἔχων ἑπτὰ ἡμερῶν ἐπιτήδεια. Ἐν δὲ ταύ- 42 ταις ταῖς ἡμέραις ἐλθόντες οἱ Θηβαῖοι ὑπερβαίνουσι τὸ Ὄνειον, καὶ στρατεύουσι πάντες οἱ σύμμαχοι ἐπ' Ἀχαΐαν, ἡγουμένου Ἐπαμινώνδου. προσπεσόντων δ' αὐτῷ τῶν βελτίστων ἐκ τῆς Ἀχαΐας, ἐνδυναστεύει ὁ Ἐπαμινώνδας, ὥστε μὴ φυγαδεῦσαι τοὺς κρατίστους, μήτε πολιτείαν μεταστῆσαι, ἀλλὰ πιστὰ λαβεῖν παρὰ τῶν Ἀχαιῶν, ἦ μὴν συμμάχους ἔσεσθαι, καὶ ἀκολουθήσειν, ὅπη ἂν Θηβαῖοι ἡγῶνται· καὶ οὕτως ἀπῆλθον οἴκαδε. Κατηγορούντων δὲ αὐτοῦ τῶν τε 43 Ἀρκάδων καὶ τῶν στασιωτῶν, ὡς Λακεδαιμονίοις κατεσκευακὼς τὴν Ἀχαΐαν ἀπέλθοι, ἔδοξε Θηβαίοις, πέμψαι ἁρμοστὰς εἰς τὰς Ἀχαΐδας πόλεις. οἱ δ' ἐλθόντες, τοὺς μὲν βελτίστους σὺν τῷ πλήθει ἐξέβαλον, δημοκρατίας δ' ἐν τῇ Ἀχαΐᾳ κατέστησαν. οἱ μέντοι ἐκπεσόντες, συστάντες, ταχὺ ἐπὶ μίαν ἑκάστην τῶν πόλεων πορευόμενοι, ὄντες οὐκ ὀλίγοι, κατῆλθόν τε καὶ κατέσχον τὰς πόλεις· ἐπεὶ δὲ κατελθόντες οὐκέτι ἐμέσευον, ἀλλὰ προθύμως συνεμάχουν τοῖς Λακεδαιμονίοις· ἐπιέζοντο μὲν [γὰρ] οἱ

Τιμομάχου. Idem videtur, qui antea copias in Thracia duxerat, de quo Demosthenes contra Aristocrat. p. 658. ed. Reiske.

τὸν ὑπὲρ Κεγχρεῶν. Edd. A. J. Cast. male τὸν omittunt; eædem etiam Κεγχρειῶν habent.

§. 42. ταῖς ἡμέραις. Ordo verborum in Edd. A. J. Castal. hic est: ταύταις οἱ Θηβαῖοι ταῖς ἡμέραις ἐλθόντες.

προσπεσόντων. Cum eum supplices rogarent. Ita recte Morus, qui sequens ἐνδυναστεύει explicat: auctoritate sua perficere. Eo sensu Diodorus aliique dixerunt καταδυναστεύειν, quorum loca posuit Wesseling ad Diodor. p. 599. Idem Diodorus xiii. 101. simili sensu dixit ἐνίσχυσαν.

§. 43. αὐτοῦ. Ita recte edit. Br. et Castal. receperunt etiam Leonclav. Steph. et Welf. pro vulgato αὐτῶν.

στασιωτῶν. In L. Stephan. Welf. est ἀντιστασιωτῶν. Sed sunt hoc in loco στασιῶται, qui antea sect. 29. erant σύμμαχοι. Ita Herodot. i. 59. et alii. Cf. Valef. ad Harpocr. in h. v. Xenophonti idem verbum in Anabasi vi. 6. 6. restituit pro vulgato στρατιωτῶν Zeunius ex Juntina et Codice Guelf.

Λακεδαιμονίοις. Res Achaiæ ita eum constituisse, ut e re Lacedæmoniorum esset. Morus. Scilicet in plerisque Achaiæ civitatibus oligarchia instituta erat, non democratia, quare magis imperio Lacedæmoniorum favebant.

μὲν [γάρ]. Particulam γὰρ uncis inclusam delendam censet Morus,

Ἀρκάδες ἔνθεν μὲν ὑπὸ Λακεδαιμονίων, ἔνθεν δὲ ὑπὸ
44 Ἀχαιῶν· ἐν δὲ τῷ Σικυῶνι τὸ μὲν μέχρι τούτου κατὰ τοὺς
Ἀχαιῶν νόμους ἡ πολιτεία ἦν. ἐκ δὲ τούτου βουλόμενος ὁ
Εὔφρων, ὥσπερ παρὰ τοῖς Λακεδαιμονίοις ἦν μέγιστος τῶν
πολιτῶν, οὕτω καὶ παρὰ τοῖς ἐναντίοις αὐτῶν πρωτεύειν,
λέγει πρὸς τοὺς Ἀργείους καὶ τοὺς Ἀρκάδας, ὡς, εἰ μὲν οἱ
πλουσιώτατοι σαφῶς ἐγκρατεῖς ἔσοιντο τοῦ Σικυῶνος,
ἀτεχνῶς, ὅταν τύχῃ, πάλιν λακωνιεῖ ἡ πόλις· ἐὰν δὲ δημοκρατία γένηται, εὖ ἴσθι, ἔφη, ὅτι διαμενεῖ ὑμῖν ἡ πόλις.
ἐὰν οὖν μοι παραγένησθε, ἐγὼ ἔσομαι ὁ συγκαλῶν τὸν
δῆμον, καὶ ἅμα ἐγὼ ὑμῖν ταύτην τὴν πίστιν ἐμαυτοῦ δώσω,
καὶ τὴν πόλιν βέβαιον ἐν τῇ συμμαχίᾳ παρέξω. ταῦτα
δὲ, ἔφη, ἐγὼ πράττω, εὖ ἴσθι ὅτι, πάλαι μὲν χαλεπῶς
φέρων, ὥσπερ ὑμεῖς, τὸ φρόνημα τῶν Λακεδαιμονίων,
45 ἄσμενος δὲ ἂν τὴν δουλείαν ἀποφυγών. Οἱ οὖν Ἀρκάδες
καὶ οἱ Ἀργεῖοι, ἡδέως ταῦτ᾽ ἀκούοντες, παρεγένοντο αὐτῷ.
ὁ δὲ εὐθὺς ἐν τῇ ἀγορᾷ, παρόντων τῶν Ἀργείων καὶ τῶν
Ἀρκάδων, συνεκάλει τὸν δῆμον, ὡς τῆς πολιτείας ἐσομένης
ἐν τοῖς ἴσοις καὶ ὁμοίοις. Ἐπεὶ δὲ συνῆλθον, στρατηγοὺς
ἐκέλευσεν ἑλέσθαι, οὕστινας αὐτοῖς δοκοίη· οἱ δὲ ᾑροῦντο
αὐτόν τε τὸν Εὔφρονα, καὶ Ἱππόδαμον, καὶ Κλέανδρον, καὶ
Ἀκρίσιον, καὶ Λύσανδρον. ὡς δὲ ταῦτα ἐπέπρακτο, καὶ ἐπὶ
τὸ ξενικὸν καθίστησιν Ἀδέαν, τὸν αὐτοῦ υἱὸν, Λυσιμένην τὸν
46 πρόσθεν ἄρχοντα ἀποστήσας. Καὶ εὐθὺς μὲν τούτων τῶν

nec ita opus esse cum St. L. et W. legere antea ἔπειτα pro ἐπεί. Recte! In margine Leoncl. est μὲν οὖν.

§. 44. Σικυῶνι. Vide Diodor. xv. 70. qui Euphronem, adjutum ab Argivis, consilia sua perfecisse, optimatum quadraginta ejecisse et mercenarios milites aluisse breviter narrat. Refert is hæc facta ad Olympiadis 102. an. 4. ubi Wesseling monet, Xenophontem eadem paulo seriora fecisse narratione sua.

μέγιστος. Infra c. 3. 7. φιλαίτατος Λακεδαιμονίοις dicitur.

πρωτεύειν. Ita L. Steph. W. Contra πρεσβεύειν A. J. Bryl. Castal.

δώσω. Ita ex margine Leonclav. et Steph. scripsi pro vulgato σώσω, quod Morus interpretatur: hanc a me datam vobis fidem servabo.

πάλαι μέν. Castal. μάλα μέν.

§. 45. ἐν τοῖς ἴσοις καὶ ὁμοίοις. Ita significat democratiam.

ξένων ὁ Εὔφρων πιστοὺς τινας, εὖ ποιῶν, ἐποιήσατο, καὶ ἄλλους προσελάμβανεν, οὔτε τῶν δημοσίων, οὔτε τῶν ἱερῶν χρημάτων φειδόμενος. καὶ ὅσους δὴ ἐξέβαλεν ἐπὶ Λακωνισμῷ, καὶ τοῖς τούτων χρήμασιν ἐχρῆτο. καὶ τῶν συναρχόντων δὲ τοὺς μὲν δόλῳ ἀπέκτεινε, τοὺς δὲ ἐξέβαλεν· ὥστε πάντα ὑφ᾽ ἑαυτῷ ἐποιήσατο, καὶ σαφῶς τύραννος ἦν. ὅπως δὲ ταῦτα ἐπιτρέποιεν αὐτῷ οἱ ξύμμαχοι, τὰ μέντοι καὶ χρήμασι διεπράττετο, τὰ δὲ καὶ, εἴ ποι στρατεύοιντο, προθύμως, ἔχων τὸ ξενικὸν, συνηκολούθει.

## ΚΕΦ. Β.

ΟΥΤΩ δὲ τούτων προκεχωρηκότων, καὶ τῶν τε Ἀργείων ἐπιτετειχικότων ἐν τῷ Φλιοῦντι τὸ ὑπὲρ τοῦ Ἡραίου Τρικάρανον, καὶ τῶν Σικυωνίων ἐπὶ τοῖς ὁρίοις αὐτῶν τειχιζόντων τὴν Θυαμίαν, μάλα ἐπιέζοντο οἱ Φλιάσιοι, καὶ ἐσπανίζοντο τῶν ἐπιτηδείων· ὅμως δὲ διεκαρτέρουν ἐν τῇ συμμαχίᾳ. Ἀλλὰ γὰρ τῶν μὲν μεγάλων πόλεων, εἴ τι καλὸν

§. 46. *φειδόμενος*. Cf. infra c. 3. 7.

*χρήμασι*. Edd. A. J. Castal. *χρήσιμα*.

*προθύμως*. J. Castal. *πρόθυμος*, Ald. *πρόθυμως*.

§. 1. *ἐν τῷ Φλιοῦντι*. In ditione Phliasiorum, Morus interpretatur.

*Τρικάρανον*. Ita margo L. St. W. Vulgo *Τρίκρανον*. Sed infra 4. sect. 11. est *Τρικάρανον* in omnibus editionibus excepta Cast. Infra sect. 5. et 11. eadem est in Edd. A. J. Br. Cast. varietas scripturæ. Stephanus Byz. *Τρικάρανα*, inquit, *φρούριον τῆς Φλιασίας*. Demosthenes Orat. pro Megalopol. p. 206. ed. Reiske ait, Lacedæmonios voluisse restituere Phliasiis *τὸ Τρικάρανον*, ubi Scholiastes Codicis Bavarici p. 57. hæc monet: *φρούριόν ἐστι τῆς Ἀργείας οὕτω καλούμενον*, plane ut Harpocration in h. v. Cæterum dedit hoc Xenophon animo suo in Lacedæmonios propenso et amori viciniæ, ut discidia parvarum urbium accuratius et copiosius enarraret, quam in rebus majoribus tradendis facere solet. Exsilio enim multatus ab Atheniensibus propter studium in Lacedæmonios (vide Diogenem ii. 52. et Pausaniam v. 6.) sedem fortunarum suarum fixit in urbe Scillunte, quam Lacedæmonii restauraverant, juxta Olympiam. Anabas. v. c. 3.

*ἐσπανίζοντο*. Margo St. L. *ἐσπάνιζον*. Sed infra sect. 16. similiter *σπανιζόμενοι*. In eadem tamen re infra cap. 3. 1. *πάντων σπανίζοντες* legitur. Activum legitur de Venat. 12. 6. Hieron. i. 14. et 25. Anabas. ii. 2. 12. Cyrop. iii. 2. 18. viii. 6. 23. sine omni varietate.

*ἀλλὰ γάρ*. Hoc secundum caput digreditur a serie rerum ad laudes Phliasiorum; et res jam ante descriptæ nunc ita repetuntur, ut Phliasiorum maxime ratio habeatur, et quæ eorum in gerendis his rebus partes fuerint, exponatur. Morus. Manifestum etiam ex hac digressione Xenophontis in Lacedæmonios studium est!

ἔπραξαν, ἅπαντες οἱ συγγραφεῖς μέμνηνται. ἐμοὶ δὲ δοκεῖ, καὶ εἴ τις μικρὰ πόλις οὖσα πολλὰ καὶ καλὰ ἔργα 2 διαπέπρακται, ἔτι μᾶλλον ἄξιον εἶναι ἀποφαίνειν. Φλιάσιοι τοίνυν φίλοι μὲν ἐγένοντο Λακεδαιμονίοις, ὅτ' ἐκεῖνοι μέγιστοι ἦσαν· σφαλέντων δ' αὐτῶν ἐν τῇ ἐν Λεύκτροις μάχῃ, καὶ ἀποστάντων μὲν πολλῶν περιοίκων, ἀποστάντων δὲ πάντων τῶν Εἱλώτων, ἔτι δὲ τῶν συμμάχων, πλὴν πάνυ ὀλίγων, ἐπιστρατευόντων δ' αὐτοῖς, ὡς εἰπεῖν, πάντων τῶν Ἑλλήνων, πιστοὶ διέμειναν· καὶ ἔχοντες πολεμίους τοὺς δυνατωτάτους τῶν ἐν Πελοποννήσῳ Ἀργείους καὶ Ἀρκάδας, ὅμως ἐβοήθησαν αὐτοῖς, καὶ διαβαίνειν τελευταῖοι λαχόντες εἰς Πρασιὰς τῶν συμβοηθησάντων, (ἦσαν δὲ οὗτοι, Κορίνθιοι, Ἐπιδαύριοι, Τροιζήνιοι, Ἑρμιονεῖς, Ἁλιεῖς, Σι-3 κυώνιοι, καὶ Πελληνεῖς) οὐ γὰρ πώποτε ἀφέστασαν, ἀλλ' οὐδ', ἐπεὶ ὁ ξεναγὸς τοὺς προδιαβεβῶτας λαβὼν ἀπολιπὼν αὐτοὺς ᾤχετο, οὐδὲ ὡς ἐπεστράφησαν, ἀλλ' ἡγεμόνα μισθωσάμενοι ἐκ Πρασιῶν, ὄντων τῶν πολεμίων περὶ Ἀμύκλας, ὅπως ἐδύναντο διαδύντες, ἐς Σπάρτην ἀφίκοντο. Καὶ μὴν οἱ Λακεδαιμόνιοι ἄλλως τε ἐτίμων αὐτοὺς, 4 καὶ βοῦν ξένια ἔπεμψαν. Ἐπεὶ δ', ἀναχωρησάντων τῶν πολεμίων ἐκ τῆς Λακεδαίμονος, οἱ Ἀργεῖοι, ὀργιζόμενοι τῇ τῶν Φλιασίων περὶ τοὺς Λακεδαιμονίους προθυμίᾳ, ἐνέβαλλον πανδημεὶ εἰς τὸν Φλιοῦντα, καὶ τὴν χώραν αὐτῶν ἐδήουν, οὐδὲ ὡς ὑφίεντο· ἀλλὰ καὶ ἐπεὶ ἀπεχώρουν, φθείραντες ὅσα ἐδύναντο, ἐπεξελθόντες οἱ τῶν Φλιασίων ἱππεῖς

§. 2. λαχόντες. Cum iis ſors ita cecidiſſet, ut ſociorum ultimi verſus Praſias traſirent. Praſiæ locus maritimus Laconicæ apud Thucyd. ii. 56. Apud Pauſaniam iii. 24. Gr. ſcribitur Βρασιαί. Cæterum apodoſin demum reddi ſectione 3. in verbis οὐδὲ ὡς ἐπεστράφησαν, putabat Morus, qui, ſententiarum ordinem mire perturbatum eſſe, annotavit. Corruptela verbis οὐ γὰρ πώποτε inhærere videtur.

§. 3. ἐπεστράφησαν. Hoc ſenſu in Xenophonte alibi non reperi; igitur forte ἀπεστράφησαν legendum eſt.

Ἀμύκλας. Vide ſupra vi. 5. 30.

§. 4. ἐπεὶ δ'. Particulam δὲ omiſit Caſtal. Eodem deinde ἐνέβαλον.

ὑφίεντο. A. J. Bryl. Caſtal. ἠφίεντο.

ἐπηκολούθουν αὐτοῖς, καὶ, ὀπισθοφυλακούντων τοῖς Ἀργείοις τῶν ἱππέων ἁπάντων καὶ λόχων, τῶν μετ᾽ αὐτοὺς τεταγμένων, ἐπιθέμενοι τούτοις ἑξήκοντα ὄντες, ἐτρέψαντο πάντας τοὺς ὄπισθεν φύλακας, καὶ ἀπέκτειναν μὲν ὀλίγους αὐτῶν, τρόπαιον μέντοι ἐστήσαντο, ὁρώντων τῶν Ἀργείων, οὐδὲν διαφέρον, ἢ εἰ πάντας ἀπεκτόνεσαν αὐτούς.

Αὖθις δὲ Λακεδαιμόνιοι μὲν καὶ οἱ σύμμαχοι ἐφρούρουν 5 τὸ Ὄνειον, Θηβαῖοι δὲ προσήεσαν ὡς ὑπερβησόμενοι. πορευομένων δὲ διὰ Νεμέας τῶν Ἠλείων καὶ Ἀρκάδων, ὅπως συμμίξαιεν τοῖς Θηβαίοις, προσήνεγκαν μὲν λόγον τῶν Φλιασίων φυγάδες, ὡς, εἰ θελήσειαν ἐπιφανῆναι μόνον σφίσι, λάβοιεν ἂν Φλιοῦντα· ἐπεὶ δὲ ταῦτα συνωμολογήθη, τῆς νυκτὸς ὑπεκαθίζοντο ὑπ᾽ αὐτῷ τῷ τείχει, κλίμακας ἔχοντες, οἵ τε φυγάδες, καὶ ἄλλοι μετ᾽ αὐτῶν ὡς ἑξακόσιοι. ἐπεὶ δὲ οἱ μὲν σκοποὶ ἐσήμαινον ἀπὸ τοῦ Τρικαράνου ὡς πολεμίων ἐπιόντων, ἡ δὲ πόλις τὸν νοῦν εἶχε πρὸς τούτοις, ἐν δὴ τούτῳ οἱ προδιδόντες ἐσήμαινον τοῖς ὑποκαθημένοις ἀναβαίνειν. Οἱ δ᾽ ἀναβάντες, καὶ λαβόντες 6 τῶν φρουρῶν τὰ ὅπλα ἔρημα, ἐδίωκον τοὺς ἡμεροφύλακας

λόχων, τῶν. Edd. A. J. Br. Caſt. λόχους, et deinde τούτους ἑξήκοντα—ὄντας.

§. 5. ὑπερβησόμενοι. Ut, monte Oneio præterito, per ſuperiora loca in regionem Corinthiacam penetrarent. Vide ſupra vi. 5. 42.

λόγων τῶν—φυγάδες. Ita pro vulgato λεγόντων ſcripſit Steph. idque poſtea in libris veteribus ſe reperiſſe dixit. Atque ita etiam emendari volebat Markland ad Lyſiam p. 692. ed. Reiſke. In editione Caſtal. eſt etiam φυγάδων. Cæterum dubium reliquit Xenophon, ad quoſnam ſe converterint exſules, Thebanos an ſocios? Nec apparet ſatis manifeſto, quinam in inſidiis ſubſederint ad arcis muros. Videntur tamen ipſi Thebani intelligi.

τῷ τείχει. Sub ipſa arce, ſeu acropoli.

ἀπὸ τοῦ Τρικαράνου. Comma poſt nomen caſtelli ſuſtuli, ne lector, falſus eo, a ſenſu aberraret. Argivi ſcilicet, qui caſtellum hoc ipſi urbi Phliaſiorum imminens tenebant, (vide ſupra §. 1.) communi conſilio cum Thebanis rem et oppugnationem hanc exſequebantur. Hos igitur ſpeculatores advenire monent a Tricarano; hiſque intenti Phliaſii, inſidias, ſub arce latentes, non animadvertebant. Hinc ſubito Argivi cum Arcadibus infra p. 8. urbem circumdant ut muros arcis perfodiunt, dum Thebani intus in arce pugnant.

ἐν δὴ τούτῳ. Hoc ex emendatione Leoncl. recepit pro vulgato δὲ etiam Morus.

ὄντας δέκα, (ἀφ' ἑκάστης δὲ τῆς πεμπτάδος εἷς ἡμεροφύλαξ κατελείπετο) καὶ ἕνα μὲν ἔτι καθεύδοντα ἀπέκτειναν, ἄλλον δέ, καταφυγόντα πρὸς τὸ Ἡραῖον. Φυγῇ δ' ἐξαλλομένων ἀπὸ τοῦ τείχους εἰς τὸ ἄστυ, ὁρώντων τῶν ἡμεροφυλάκων, ἀναμφισβητήτως εἶχον οἱ ἀναβάντες τὴν 7 ἀκρόπολιν. Ἐπεὶ δέ, κραυγῆς γενομένης εἰς τὴν πόλιν, ἐβοήθουν οἱ πολῖται, τὸ μὲν πρῶτον ἐξελθόντες ἐκ τῆς ἀκροπόλεως οἱ πολέμιοι ἐμάχοντο ἐν τῷ πρόσθεν τῶν εἰς τὴν πόλιν φερουσῶν πυλῶν· ἔπειτα πολιορκούμενοι ὑπὸ τῶν προσβοηθούντων, ἐχώρουν πάλιν πρὸς τὴν ἀκρόπολιν· οἱ δὲ ὁπλῖται συνεισπίπτουσιν αὐτοῖς. τὸ μὲν οὖν μέσον τῆς ἀκροπόλεως εὐθὺς ἔρημον ἐγένετο· ἐπὶ δὲ τὸ τεῖχος καὶ τοὺς πύργους ἀναβάντες οἱ πολέμιοι ἔπαιον καὶ ἔβαλλον τοὺς ἔνδον, οἱ δὲ χαμόθεν ἠμύνοντο, καὶ κατὰ τὰς ἐπὶ τὸ τεῖχος 8 φερούσας κλίμακας προσεμάχοντο. Ἐπεὶ δὲ τῶν ἔνθεν καὶ ἔνθεν πύργων ἐκράτησάν τινων οἱ πολῖται, ὁμόσε δὴ ἐχώρουν ἀπονενοημένως τοῖς ἀναβεβηκόσιν. οἱ δέ, ὠθούμενοι ὑπ' αὐτῶν τῇ τόλμῃ τε καὶ τῇ μάχῃ, εἰς ἔλαττον συνειλοῦντο. ἐν δὲ τούτῳ τῷ καιρῷ οἱ μὲν Ἀρκάδες καὶ οἱ Ἀργεῖοι περὶ τὴν πόλιν ἐκυκλοῦντο, καὶ κατὰ κεφαλὴν

§. 6. πεμπτάδος. Margo St. L. πεμπάδος. Vulgatum ex Polluce i. 127. defendit Morus.

ἐξαλλομένων. Intellige omnium præſidiariorum militum, quorum numerus erat quinquaginta. Cæterum margo Leonclav. κατὰ τοῦ τείχους.

§. 7. γενομένης. In margine Leoncl. eſt ἀφικομένης.

μέσον τῆς. Morus quærit, an area, ſpatium, munimentis incluſum, intelligatur? Mihi ſpatium omne, inter urbis portas et acropolin medium, ſignificari videtur.

§. 8. κατὰ κεφαλήν. Morus interpretatur *deſuper, in ſuperiore loco*; confitetur tamen, locum hunc ſibi obſcuriorem eſſe. Scilicet ut ſitum locorum bene noſcamus, diligenter comparandus eſt alter locus infra §. 11. ex quo apparet, a Sicyone advenienti Tricaranum, Argivorum caſtellum in edito regionis loco fuiſſe et arci fere Phliaſiorum oppoſitum; hinc deſcenſus ducebat in campum, ubi Ἡραῖον poſitum erat. Acropolis in editiore regionis parte erat, et hanc verſus directæ erant portæ urbis, quæ Corinthum ducebant. Has, ab acropoli venientibus occurrentes, nominat hic Xenophon τὰς εἰς τὴν πόλιν φερούσας πύλας. In edita regionis parte, ubi acropolis erat, Sicyonii et Pellenenſes relinquebantur ſect. 11. ne Phliaſii interim, dum Thebani in campo ante Heræum rem agebant, ab altera parte urbis circumvenientes et acropolin tranſeuntes e ſuperiore

τὸ τεῖχος τῆς ἀκροπόλεως διώρυττον· τῶν δὲ ἔνδοθεν οἱ μὲν τοὺς ἐπὶ τοῦ τείχους, οἱ δὲ καὶ ἔτι ἔξωθεν ἐπαναβαίνοντας, ἐπὶ ταῖς κλίμαξιν ὄντας, ἔπαιον, οἱ δὲ πρὸς τοὺς ἐπαναβεβηκότας αὐτῶν ἐπὶ τοὺς πύργους ἐμάχοντο, καὶ πῦρ εὑρόντες ἐν ταῖς σκηναῖς, ὑφῆπτον αὐτοὺς, προσφοροῦντες τῶν δραγμάτων, ἃ ἔτυχον ἐξ αὐτῆς τῆς ἀκροπόλεως τεθερισμένα. ἐνταῦθα δὴ οἱ μὲν ἀπὸ τῶν πύργων, τὴν φλόγα φοβούμενοι, ἐξήλλοντο, οἱ δὲ ἐπὶ τῶν τειχῶν, ὑπὸ τῶν ἀνδρῶν παιόμενοι, ἐξέπιπτον. 9 Ἐπεὶ δὲ ἅπαξ ἤρξαντο ὑπείκειν, ταχὺ δὴ πᾶσα ἡ ἀκρόπολις ἔρημος τῶν πολεμίων ἐγεγένητο. εὐθὺς δὲ καὶ οἱ ἱππεῖς ἐξήλαυνον. οἱ δὲ πολέμιοι ἰδόντες αὐτοὺς ἀπεχώρουν, καταλιπόντες τάς τε κλίμακας καὶ τοὺς νεκροὺς, ἐνίους δὲ καὶ ζῶντας ἀποκεχωλευμένους. ἀπέθανον δὲ τῶν πολεμίων οἵ τε ἔνδον μαχόμενοι, καὶ οἱ ἔξω ἀλώμενοι, οὐκ ἐλάττους τῶν ὀγδοήκοντα. ἔνθα δὴ θεάσασθαι παρῆν ἐπὶ τῆς σωτηρίας τοὺς μὲν ἄνδρας δεξιουμένους ἀλλήλους, τὰς δὲ γυναῖκας πιεῖν τε φερούσας, καὶ ἅμα χαρᾷ δακρυούσας· πάντας δὲ τοὺς παρόντας τότε γε τῷ ὄντι κλαυσίγελως εἶχεν.

10 Ἐνέβαλον δὲ καὶ τῷ ὑστέρῳ ἔτει εἰς τὸν Φλιοῦντα οἵ τε Ἀργεῖοι καὶ οἱ Ἀρκάδες ἅπαντες. αἴτιον δ᾽ ἦν τοῦ ἐπι-

loco Thebanos oppugnarent. (κατὰ κεφαλὴν αὐτῶν γένοιντο ὑπὲρ τοῦ Ἡραίου.) His ita explicatis clara omnia lectoribus esse putaverim.

τῶν δὲ ἔνδοθεν. Intellige Phliasiis; aderant enim et Thebani.

τοὺς ἐπὶ τοῦ τείχους. Ita Leonclav. probante Stephan. scripsit pro vulgato οἱ μὲν ἐπὶ τὸ τεῖχος. Sed præterea in seqq. addito articulo, legendum est: οἱ δὲ καὶ τοὺς ἔτι ἔξωθεν.

§. 9. εὐθὺς δέ. Vitiosam loci interpunctionem mutavi, quo clarior sententia esset. Post ἐγεγένητο punctum posui. Deinde nova incipit oratio, qua significatur, Phliasiorum equites prorupisse, atque his conspectis hostes ante urbem circa muros arcis occupatos aufugisse. Igitur punctum post ἐξήλαυνον erat tollendum.

ἀλώμενοι. Hanc lectionem ex Edd. A. J. Bryl. et Castal. (in quibus tamen scriptum est ἁλώμενοι) revocavit Morus, interpretatus de iis, qui de turribus et muris arcis desilierant, et deinde extra arcem aberrantes fuga salutem quærebant. In Leonclav. et Steph. est ἁλόμενοι; in margine Leoncl. et Wels. editione est ἁλλόμενοι.

κλαυσίγελως. Verbum hoc ex Homeri Illiad. vi. 484. ductum esse, monuit Pollux Onomast. ii. 64. Utitur eadem voce Plutarchus tom. ii. pag. 1097. F. et Demetrius de Elocutione §. 28. Conf. Athenæus xiii. p. 591.

κεῖσθαι αὐτοὺς ἀεὶ τοῖς Φλιασίοις, ὅτι ἅμα μὲν ὠργίζοντο αὐτοῖς, ἅμα δὲ ἐν μέσῳ εἶχον, καὶ ἐν ἐλπίδι ἦσαν ἀεὶ, διὰ τὴν ἀπορίαν τῶν ἐπιτηδείων παραστήσεσθαι αὐτούς. οἱ δὲ ἱππεῖς καὶ οἱ ἐπίλεκτοι τῶν Φλιασίων καὶ ἐν ταύτῃ τῇ ἐμβολῇ, ἐπὶ τῇ διαβάσει τοῦ ποταμοῦ, ἐπιτίθενται σὺν τοῖς παροῦσι τῶν Ἀθηναίων ἱππεῦσι· καὶ κρατήσαντες ἐποίησαν, τοὺς πολεμίους τὸ λοιπὸν τῆς ἡμέρας ὑπὸ τὰς ἀκρωρείας ὑποχωρεῖν, ὥσπερ ἀπὸ φιλίου καρποῦ τοῦ ἐν τῷ πεδίῳ φυλαττομένους, μὴ καταπατήσειαν.

11 Αὖθις δέ ποτε ἐστράτευσεν ἐπὶ Φλιοῦντα ὁ ἐν Σικυῶνι ἄρχων Θηβαῖος ἄγων, οὕς τε αὐτὸς εἶχε φρουροὺς, καὶ Σικυωνίους, καὶ Πελληνέας· (ἤδη γὰρ τότε ἠκολούθουν τοῖς Θηβαίοις·) καὶ Εὔφρων δὲ τοὺς αὐτοῦ ἔχων μισθοφόρους περὶ δισχιλίους συνεστρατεύετο. Οἱ μὲν οὖν ἄλλοι αὐτῶν διὰ τοῦ Τρικαράνου κατέβαινον ἐπὶ τὸ Ἡραῖον, ὡς τὸ πεδίον φθεροῦντες· κατὰ δὲ τὰς εἰς Κόρινθον φερούσας πύλας ἐπὶ τοῦ ἄκρου κατέλιπε Σικυωνίους τε καὶ Πελληνέας, ὅπως μὴ ταύτῃ περιελθόντες οἱ Φλιάσιοι κατὰ κεφαλὴν αὐτῶν
12 γένοιντο ὑπὲρ τοῦ Ἡραίου. Ὡς δ᾽ ἔγνωσαν οἱ ἐκ τῆς πόλεως τοὺς πολεμίους ἐπὶ τὸ πεδίον ὡρμημένους, ἀντεξελθόντες οἵ τε ἱππεῖς καὶ οἱ ἐπίλεκτοι τῶν Φλιασίων ἐμάχοντο, καὶ οὐκ ἀνίεσαν εἰς τὸ πεδίον αὐτούς. καὶ τὸ μὲν πλεῖστον τῆς ἡμέρας ἐνταῦθα ἀκροβολιζόμενοι διῆγον, οἱ μὲν περὶ τὸν Εὔφρονα ἐπιδιώκοντες μέχρι τοῦ ἱππασίμου,
13 οἱ δὲ ἔνδοθεν μέχρι τοῦ Ἡραίου. Ἐπεὶ δὲ ὥρα ἐδόκει ἰέναι, ἀπῄεσαν οἱ πολέμιοι κύκλῳ τοῦ Τρικαράνου· ὥστε γὰρ

§. 10. ἐποίησαν. Male Edd. A. J. Br. Cast. ἐποιήσαντο.

φιλίου καρποῦ. Fructibus et segeti agri sociorum et amicorum parcunt milites; idem metu coacti faciebant Argivi atque Arcades.

§. 11. Θηβαῖος. Ita auctore Moro scripsi pro vulgato Θηβαίους. Infra enim sect. 14. est ὁ Θηβαῖος et c. 3. 4. Θηβαῖος ἁρμοστής. Ergo a Thebanis praefectus huic urbi erat, ut supra cap. 1. 31. generatim monuit Xenophon.

§. 12. οἱ μὲν περί. Edd. J. Cast. omittunt μέν.

§. 13. ὥρα. In margine Leonclav. καιρός.

ὥστε γάρ. Deinceps addi vult Le-

οὐ τὴν σύντομον πρὸς τοὺς Πελληνέας ἀφικέσθαι, ἡ πρὸ τοῦ τείχους φάραγξ εἶργε. μικρὸν δ' αὐτοὺς πρὸς τὸ ὄρθιον προπέμψαντες οἱ Φλιάσιοι, ἀποτρεπόμενοι ἵεντο τὴν παρὰ τὸ τεῖχος ἐπὶ τοὺς Πελληνέας καὶ τοὺς μετ' αὐτῶν. Καὶ οἱ 14 περὶ τὸν Θηβαῖον δὲ, αἰσθόμενοι τὴν σπουδὴν τῶν Φλιασίων, ἡμιλλῶντο, ὅπως φθάσειαν τοῖς Πελληνεῦσι βοηθήσοντες. ἀφικόμενοι δὲ πρότερον οἱ ἱππεῖς, ἐμβάλλουσι τοῖς Πελληνεῦσι. δεξαμένων δὲ τὸ πρῶτον, ἐπαναχωρήσαντες πάλιν σὺν τοῖς παραγεγενημένοις τῶν πεζῶν ἐνέβαλον, καὶ ἐκ χειρὸς ἐμάχοντο. καὶ ἐκ τούτου δὴ ἐγκλίνουσιν οἱ πολέμιοι, καὶ ἀποθνήσκουσι τῶν τε Σικυωνίων τινὲς, καὶ τῶν Πελληνέων μάλα πολλοὶ καὶ ἄνδρες ἀγαθοί. Τούτων δὲ γενομένων, 15 οἱ μὲν Φλιάσιοι τρόπαιον ἵσταντο λαμπρὸν, παιανίζοντες, ὥσπερ εἰκός· οἱ δὲ περὶ τὸν Θηβαῖον καὶ τὸν Εὔφρονα περιεώρων ταῦτα, ὥσπερ ἐπὶ θέαν περιδεδραμηκότες. τούτων δὲ πραχθέντων, οἱ μὲν ἐπὶ Σικυῶνος ἀπῆλθον, οἱ δ' εἰς τὸ ἄστυ ἀπεχώρησαν.

Καλὸν δὲ καὶ τοῦτο διεπράξαντο οἱ Φλιάσιοι. τὸν γὰρ 16 Πελληνέα Πρόξενον ζῶντα λαβόντες, καίπερ πάντων σπανιζόμενοι, ἀφῆκαν ἄνευ λύτρων. Γενναίους μὲν δὴ καὶ ἀλκίμους πῶς οὐκ ἄν τις φαίη εἶναι τοὺς τὰ τοιαῦτα διαπραττομένους;

Ὡς γε μὴν καὶ διὰ καρτερίας τοῖς φίλοις τὴν πίστιν 17

oncl. οὐ, quod recepit Wels; ita etiam vertiſſe Pirkheimerum et Goldhagen, admonuit Morus, ipſe approbans hanc conjecturam. Eodem modo habet Xenophon Anabaſ. iii. 3. 16. *εἰ μέλλομεν τούτους εἴργειν, ὥστε μὴ δύνασθαι βλάπτειν ἡμᾶς.* Confidenter igitur inſerui *οὐ.*

[*Ὥστε γὰρ τὴν σύντομον*—Negationem deeſſe patet. Sed ponendum erat *μὴ*, a proximo *τὴν* abſorptum, non *οὐ*. Non convenit hoc verbis, quibus notatur prohibitio. *F. A. Wolfius.*]

*ὄρθιον.* Edd. A. J. C. *ὄρθριον.* Male. *παρὰ τό.* Aldina *περί.* Male.

§. 14. *ἀφικόμενοι δέ.* Particulam *δὲ* omiſit A. Junt. In Leoncl. eſt *πρότεροι* pro *πρότερον.*

§. 15. *περιδεδραμηκότες.* Morus malebat *παραδεδρ.* qui adcurrerant. Vulgata lectio mihi ſatis placet.

§. 16. *Πρόξενον.* Nomen viri eſſe, litera igitur initiali majore ſcribendum, monuit etiam Goldhagen, quod oblitus erat annotare Morus. Si publicus hoſpes ſignificaretur, nomen erat tamen addendum.

διέσωζον, περιφανές· οἱ ἐπεὶ εἴργοντο τῶν ἐκ τῆς γῆς καρπῶν, ἔζων, τὰ μὲν ἐκ τῆς πολεμίας λαμβάνοντες, τὰ δὲ ἐκ Κορίνθου ὠνούμενοι, διὰ πολλῶν κινδύνων ἐπὶ τὴν ἀγορὰν ἰόντες, χαλεπῶς μὲν τιμὴν πορίζοντες, χαλεπῶς δὲ τοὺς πορίζοντας διαπραττόμενοι, γλίσχρως δ᾽ ἐγγυητὰς 18 καθιστάντες τῶν ἀξόντων ὑποζυγίων. Ἤδη δὲ παντάπασιν ἀποροῦντες, Χάρητα διεπράξαντο σφίσι παραπέμψαι τὴν παραπομπήν.

Ἐπεὶ δὲ ἐν Φλιοῦντι ἐγένοντο, ἐδεήθησαν αὐτοῦ καὶ τοὺς ἀχρείους συνεκπέμψαι εἰς τὴν Πελλήνην, κἀκείνους μὲν ἐκεῖ κατέλιπον. ἀγοράσαντες δὲ, καὶ ἐπισκευασάμενοι ὁπόσα ἐδύναντο ὑποζύγια, νυκτὸς ἀπῄεσαν, οὐκ ἀγνοοῦντες, ὅτι ἐνεδρεύσοιντο ὑπὸ τῶν πολεμίων, ἀλλὰ νομίζοντες, χαλεπώτερον εἶναι τοῦ μάχεσθαι τὸ μὴ ἔχειν τὰ ἐπιτήδεια. 19 Καὶ προῄεσαν μὲν οἱ Φλιάσιοι μετὰ Χάρητος. ἐπεὶ δὲ ἐνέτυχον τοῖς πολεμίοις, εὐθὺς ἔργου τε εἴχοντο, καὶ παρακελευσάμενοι ἀλλήλοις ἐνέκειντο, καὶ ἅμα Χάρητα ἐπιβοηθεῖν ἐβόων. νίκης δὲ γενομένης, καὶ ἐκβληθέντων ἐκ τῆς ὁδοῦ τῶν πολεμίων, οὕτω δὴ οἴκαδε καὶ ἑαυτοὺς, καὶ ἃ ἦγον,

§. 17. κινδύνων. Porta Corinthiaca et via ducebat juxta montem, in quo Tricaranon Argivorum caſtellum acropoli imminebat, unde Argivi tranſeuntes Phliaſios oppugnare poterant.

τοὺς πορίζοντας. Reperiunt, conciliant ſibi, qui iis curent ſeu mutuam dent pecuniam. Ita Morus. Verum Xenophon de cura pretii præbendi jam antea dixerat; hoc enim eſt τιμὴν πορίζειν. Equidem πορίζοντας τὰ ἐπιτήδεια intelligo, qui præberent ſibi res ad victum neceſſarias et advehe rent, quam ad rem opus erat prædibus et ſponſoribus, ne vehiculorum et jumentorum damnum paterentur ab hoſtibus.

§. 18. Χάρητα. Ducem Athenienſium, qui juvabant Phliaſios, ut ſupra admonuit ſect. 10. et infra 4. 1. Diodorus xv. 75. narrat, Charetem, ſubmiſſum auxilio Phliaſiis, preſſis ab Argivis, hoſtes viciſſe duobus prœliis Olymp. 103. 2.

συνεκπέμψαι εἰς τὴν Πελλήνην. Ut, dum petentes commeatum deduceret Chares, ſimul inutilem (in tanta egeſtate) turbam educeret Pellenem. Erat igitur tunc Pellene Phliaſiis amica, forte ſubito Pellenenſium animo converſo ob liberalitatem in Proxenum Phliaſiorum ſect. 16. commemoratam. Ita ſuſpicatur etiam Goldhag. Sero Xenophon hujus amicitiæ, cum Phliaſiis reconciliatæ, meminit infra cap. 4. 17.

ἀγοράσαντες. Intellige: poſtquam Pellenæ reliquerant inutilem turbam, Corinthum progreſſi mercabantur commeatum. De obſcura Xenophontis brevitate in hoc loco jam olim conqueſtus eſt Palmerius Exercitatt. p. 75.

ἀπέσωσαν. ὡς δὲ τὴν νύκτα ἠγρύπνησαν, ἐκάθευδον μέχρι πόῤῥω τῆς ἡμέρας. Ἐπεὶ δ' ἀνέστη ὁ Χάρης, προσελθόντες οἱ ἱππεῖς καὶ οἱ χρησιμώτατοι τῶν πολιτῶν, ἔλεγον· Ὦ Χάρης, ἔξεστί σοι τήμερον κάλλιστον ἔργον διαπράξασθαι. χωρίον γὰρ ἐπὶ τοῖς ὁρίοις ἡμῖν οἱ Σικυώνιοι τειχίζουσιν, οἰκοδόμους μὲν πολλοὺς ἔχοντες, ὁπλίτας δὲ οὐ πάνυ πολλούς. ἡγησόμεθα μὲν οὖν ἡμεῖς οἱ ἱππεῖς, καὶ τῶν πολιτῶν οἱ ἐῤῥωμενέστατοι· σὺ δὲ τὸ ξενικὸν ἔχων ἐὰν ἀκολουθῇς, ἴσως μὲν διαπεπραγμένα σοι καταλήψῃ, ἴσως δ' ἐπιφανεὶς σὺ, ὥσπερ ἐν Πελλήνῃ, τροπὴν ποιήσεις. εἰ δέ τι δυσχερές σοί ἐστιν, ὧν λέγομεν, ἀνακοίνωσαι τοῖς θεοῖς θυόμενος· οἰόμεθα γὰρ, ἔτι σε μᾶλλον ἡμῶν τοὺς θεοὺς ταῦτα πράττειν κελεύσειν. τοῦτο δὲ χρὴ, ὦ Χάρης, εὖ εἰδέναι, ὅτι, ἐὰν ταῦτα πράξῃς, τοῖς μὲν πολεμίοις ἐπιτετειχικὼς ἔσῃ, φιλίαν δὲ πόλιν διασεσωκώς. εὐκλεέστατος δὲ ἐν τῇ πατρίδι ἔσῃ, ὀνομαστότατος δ' καὶ ἐν τοῖς συμμάχοις καὶ πολεμίοις. Ὁ μὲν δὴ Χάρης πεισθεὶς, ἐθύετο· 21 τῶν δὲ Φλιασίων εὐθὺς μὲν οἱ ἱππεῖς τοὺς θώρακας ἐνεδύοντο, καὶ τοὺς ἵππους ἐχαλίνουν, οἱ δὲ ὁπλῖται, ὅσα εἰς πεζὸν, παρεσκευάζοντο. ἐπεὶ δὲ ἀναλαβόντες τὰ ὅπλα ἐπορεύοντο, ἔνθα ἐθύετο, ἀπήντα αὐτοῖς ὁ Χάρης καὶ ὁ μάντις, καὶ ἔλεγον, ὅτι καλὰ εἴη τὰ ἱερά. ἀλλὰ περιμένετε, ἔφασαν· ἤδη γὰρ καὶ ἡμεῖς ἔξιμεν. ὡς δὲ τάχιστα ἐκηρύχθη, θείᾳ τινὶ προθυμίᾳ καὶ οἱ μισθοφόροι ταχὺ ἐξέδραμον. Ἐπεὶ δὲ Χάρης ἤρξατο πορεύεσθαι, προῄεσαν 22

§. 20. *χρησιμώτατοι.* Sunt qui paulo poft *οἱ ἐῤῥωμενέστατοι* dicuntur, ut recte admonuit Morus.

*χωρίον.* Eft caftellum Thyamia. In margine Leoncl. eft *ὅροις.*

*ὥσπερ ἐν Πελλήνῃ.* Cf. fectio 14. Cæterum in margine Leoncl. legitur mutato ordine : *σὺ τροπὴν ὥσπερ ἐν Πελλ. ποιήσεις.*

*ἐπιτετειχικώς.* Sic emendavit Steph. vulgatum *ἐπιτετυχηκώς.* Senfum explicuit Morus : fi occupaveris caftellum jam munitum, Thyamiam, tenebis caftellum, quo utaris adverfus hoftes.

§. 21. *ὅσα εἰς πεζόν.* Ea quibus opus eft peditibus. Ita fupra ii. 1. 8. *παρεσκευάζοντο πρὸς τὸ ναυτικόν.*

§. 22. *προῄεσαν αὐτῷ.* Caft. edidit hoc pro vulgato *αὐτοῦ.* Idem volebat

αὐτῷ οἱ τῶν Φλιασίων ἱππεῖς καὶ πεζοί· καὶ τὸ μὲν πρῶτον ταχέως ἤγοντο, ἔπειτα δὲ ἐτρόχαζον· τέλος δὲ οἱ μὲν ἱππεῖς ἤλαυνον, οἱ δὲ πεζοὶ κατὰ κράτος ἔθεον, ὡς δυνατὸν, ἐν τάξει, οἷς καὶ ὁ Χάρης σπουδῇ ἐπηκολούθει. ἦν μὲν οὖν τῆς ὥρας μικρὸν πρὸ δύντος ἡλίου· κατελάμβανον δὲ τοὺς ἐν τῷ τείχει πολεμίους, τοὺς μὲν λουομένους, τοὺς δ᾽ ὀψοποιουμένους, τοὺς δὲ φύροντας, τοὺς δὲ στιβάδας ποιουμένους.

23 Ὡς δ᾽ εἶδον τὴν σφοδρότητα τῆς ἐφόδου, εὐθὺς ἐκπλαγέντες ἔφυγον, καταλιπόντες τοῖς ἀγαθοῖς ἀνδράσι πάντα τὰ ἐπιτήδεια. κἀκεῖνοι μὲν ταῦτα δειπνήσαντες, καὶ οἴκοθεν ἄλλα ἐλθόντα, ὡς ἐπ᾽ εὐτυχίᾳ σπείσαντες, καὶ παιανίσαντες, καὶ φυλακὰς κατασκευασάμενοι, κατέδαρθον. οἱ δὲ Κορίνθιοι, ἀφικομένου τῆς νυκτὸς ἀγγέλου περὶ τῆς Θυαμίας, μάλα φιλικῶς κηρύξαντες τὰ ζεύγη καὶ τὰ ὑποζύγια πάντα, καὶ σίτου γεμίσαντες, εἰς τὸν Φλιοῦντα παρήγαγον· καὶ ἕως περιετειχίζετο τὸ τεῖχος, ἑκάστης ἡμέρας παραπομπαὶ ἐγίνοντο.

## ΚΕΦ. Γ.

ΠΕΡΙ μὲν δὴ Φλιασίων, ὡς καὶ πιστοὶ τοῖς φίλοις ἐγένοντο, καὶ ἄλκιμοι διετέλεσαν ἐν τῷ πολέμῳ, καὶ ὡς πάντων σπανίζοντες ἐν τῇ συμμαχίᾳ διέμενον, εἴρηται. Σχεδὸν δέ τοι περὶ τοῦτον τὸν χρόνον Αἰνέας Στυμφάλιος, γεγενημένος στρατηγὸς τῶν Ἀρκάδων, νομίσας, οὐκ ἀνεκτῶς

h. l. legi Kœppen, qui comparabat locum ſimilem v. 4. 59. προήεσαν αὐτῷ οἱ πελτασταί.

ἤλαυνον. In margine Leoncl. legitur: κατὰ κράτος ἤλαυνον, οἱ δὲ πεζοὶ ἔθεον.

φύροντας. Subigentes farinam, unde fit φυστὴ μᾶζα.

§. 23. κηρύξαντες. Per præconem imperantes jumenta, ea jubent exhiberi, præſtari. Ita Morus. Recte quidem: ſed inſolens mihi videtur κηρύττειν τὰ ζεύγη. Apud eundem Xenoph. de Vectig. iv. 18. eſt κηρύττειν ἄγειν ἀνδράποδα. Ita fere Idem Cyrop. iv. 2. 32. et c. 5. 41.

§. 1. σχεδὸν δέ τοι. Forte legendum δέ τι.

Αἰνέας. Cognominem Æneam Stymphalium ex Arcadia; ſed diverſum habet Xenophon Anabaſ. iv. 7. 13.

ἔχειν τὰ ἐν τῷ Σικυῶνι, ἀναβὰς σὺν τῷ ἑαυτοῦ στρατεύματι εἰς τὴν ἀκρόπολιν, συγκαλεῖ τῶν Σικυωνίων τῶν τε ἔνδον ὄντων τοὺς κρατίστους, καὶ τοὺς ἄνευ δόγματος ἐκπεπτωκότας μετεπέμπετο. Φοβηθεὶς δὲ ταῦτα ὁ Εὔφρων 2 καταφεύγει εἰς τὸν λιμένα τῶν Σικυωνίων, καὶ μεταπεμψάμενος Πασίμηλον ἐκ Κορίνθου, διὰ τούτου παραδίδωσι τὸν λιμένα τοῖς Λακεδαιμονίοις, καὶ ἐν ταύτῃ αὖ τῇ συμμαχίᾳ ἀνεστρέφετο, λέγων, ὡς Λακεδαιμονίοις διατελοίη πιστὸς ὤν· ὅτε γὰρ ψῆφος ἐδίδοτο ἐν τῇ πόλει, εἰ δοκοίη ἀφίστασθαι, μετ' ὀλίγων ἀποψηφίσασθαι ἔφη· ἔπειτα δὲ, 3 τοὺς προδόντας ἑαυτὸν τιμωρήσασθαι βουλόμενος, δῆμον καταστῆσαι. καὶ νῦν, ἔφη, φεύγουσιν ὑπ' ἐμοῦ πάντες οἱ ὑμᾶς προδιδόντες. εἰ μὲν οὖν ἐδυνάσθην ἐγὼ, ὅλην ἂν ἔχων τὴν πόλιν πρὸς ὑμᾶς ἀπέστην· νῦν δὲ, οὗ ἐγκρατὴς ἐγενόμην, τὸν λιμένα παραδέδωκα ὑμῖν. Ἠκροῶντο μὲν δὴ αὐτοῦ πολλοὶ ταῦτα· ὁπόσοι δὲ ἐπείθοντο, οὐ πάνυ κατάδηλον.

Ἀλλὰ γὰρ ἐπείπερ ἠρξάμην, διατελέσαι βούλομαι τὰ 4

ἄνευ δόγματος. Non communi civitatis decreto, ſed injuria Euphronis. Vide ſupra i. ſect. 32.

§. 2. Πασίμηλον. De quo vide ſupra iv. 4. 4. et 7.

ἀνεστρέφετο. Homo mutabilis et vafer volebat partibus Lacedæmoniorum et ſimul contrariis Argivorum, Arcadum et Thebanorum favens videri, ut clarum eſt ex cap. 1. ſect. 32. Hinc pendere ſenſum verbi ἀνεστρέφετο vidit Morus, interpretatus: in hac rurſus ſocietate verſabatur, erat, hanc rurſus ſocietatem inibat, quia dicebat, præ ſe ferebat. Vix ergo, ita pergit Morus, fecerat cum aliquo ſocietatem, et ecce rurſus aliam cum aliis init, ἐν ἄλλῃ συμμαχίᾳ ἀναστρέφεται. Verum hic ſenſus admodum languidus eſt et voci αὖ repugnare videtur. Modus igitur ſocietatis ineundæ novæ indicari videtur, ingenio hominis mutabili conveniens. Igitur interpretor: etiam in hac nova cum Lacedæmoniis inita ſocietate (quibus portum tradiderat) retro ad partes contrarias convertebatur ſimul iiſque favere volebat videri; omnes ſe in partes verſabat dicendo, ut res a ſe geſtas utrique parti commendaret. Sed verbum aliud requiri videtur.

Λακεδαιμονίοις. In margine libri ſui annotaverat Zeunius Budæum in Comment. Gr. L. p. 208. Ἀθηναίοις legere.

[Λακεδαιμονίοις. Quod aliter hoc citat Budæus, facit is ita ſæpius, ut et Devarius aliique iſtius ætatis; nimirum vim verborum, quæ laudant, ſpectantes, non verba. *F. A. Wolfius.*]

§. 3. δῆμον καταστῆσαι. Hoc eſt democratiam. Vide ſupra i. 32.

ἐπείθοντο. A. J. C. ἐπύθοντο. Male.

§. 4. ἐπείπερ. Edd. A. J. Bryl. Caſtal. ἐπεί τε. Male.

περὶ τοῦ Εὔφρονος. Στασιασάντων γὰρ ἐν τῷ Σικυῶνι τῶν τε βελτίστων καὶ τοῦ δήμου, λαβὼν ὁ Εὔφρων Ἀθήνηθεν ξενικὸν, πάλιν κατέρχεται. καὶ τοῦ μὲν ἄστεος ἐκράτει σὺν τῷ δήμῳ· Θηβαίου δὲ ἁρμοστοῦ τὴν ἀκρόπολιν ἔχοντος, ἐπεὶ ἔγνω οὐκ ἂν δυνάμενος, τῶν Θηβαίων ἐχόντων τὴν ἀκρόπολιν, τῆς πόλεως κρατεῖν, συσκευασάμενος χρήματα, ᾤχετο, ὡς τούτοις πείσων Θηβαίους, ἐκβάλλειν μὲν τοὺς κρατίστους, παραδοῦναι δ' αὐτῷ πάλιν τὴν πόλιν.

5 Αἰσθόμενοι δὲ οἱ πρόσθεν φυγάδες τὴν ὁδὸν αὐτοῦ, καὶ τὴν παρασκευὴν, ἀντεπορεύοντο εἰς τὰς Θήβας. ὡς δὲ ἑώρων αὐτὸν οἰκείως τοῖς ἄρχουσι συνόντα, φοβηθέντες, μή πως διαπράξαιτο, ἃ βούλεται, παρεκινδύνευσάν τινες, καὶ ἀποσφάττουσιν αὐτὸν ἐν τῇ ἀκροπόλει, τῶν τε ἀρχόντων καὶ τῆς βουλῆς συγκαθημένων. οἱ μέντοι ἄρχοντες τοὺς ποιήσαντας εἰσήγαγον εἰς τὴν βουλὴν, καὶ ἔλεγον τάδε·

6 Ἄνδρες πολῖται, ἡμεῖς τουτουσὶ τοὺς Εὔφρονα ἀποκτείναντας διώκομεν περὶ θανάτου, ὁρῶντες, ὅτι οἱ μὲν σώφρονες οὐδὲν δήπου ἄδικον οὐδὲ ἀνόσιον ποιοῦσιν· οἱ δὲ πονηροὶ ποιοῦσι μὲν, λανθάνειν δὲ ὅμως πειρῶνται· οὗτοι δὲ τοσοῦτον πάντας ἀνθρώπους ὑπερβεβλήκασι τόλμῃ τε καὶ μιαρίᾳ, ὥστε παρ' αὐτάς τε τὰς ἀρχὰς, καὶ παρ' αὐτοὺς ὑμᾶς, τοὺς κυρίους, οὕστινας δεῖ ἀποθνήσκειν, καὶ οὕστινας μὴ, αὐτογνωμονήσαντες ἀπέκτειναν τὸν ἄνδρα. Εἰ οὖν οὗτοι μὴ δώσουσι τὴν ἐσχάτην δίκην, τίς ποτε πρὸς τὴν πόλιν θαρσῶν πορεύσεται; τί δὲ ἔσεται ἡ πόλις, εἰ ἐξέσται τῷ βουλομένῳ ἀποκτεῖναι, πρὶν δηλῶσαι, ὅτου ἕνεκα ἥκοι ἕκαστος;

§. 6. *παρ' αὐτὰς—ἀρχάς.* In conſpectu magiſtratuum.

*κυρίους.* Arbitros, judices. Edd. J. A. Caſtal. *παρ' ἑαυτοὺς ὑμᾶς.*

*αὐτογνωμονήσαντες.* Supra v. 1. 31. *αὐτοὶ γνόντες ἀπῆλθον.*

*τί δὲ ἔσεται.* Ita ſcripſi pro vulgato *εἴσεται*, quod ſenſum rei aptum non habet. Sic ſupra ii. 3. 12. *θαυμάζοντες τί ἔσοιτο ἡ πολιτεία.*

[*τί δὲ εἴσεται*—Si correctio vera eſt, ſcribere certe debebas *ἔσται*. Vix poetæ Attico conceſſa eſt forma *ἔσεται*, nedum proſæ ſcriptori. *F. A. Wolfius.*]

ἡμεῖς μὲν τούτους διώκομεν ὡς ἀνοσιωτάτους καὶ ἀνομωτάτους, καὶ πλεῖστον δὴ ὑπεριδόντας τῆς πόλεως· ὑμεῖς δὲ ἀκηκοότες, ὁποίας τινὸς ὑμῖν δοκοῦσιν ἄξιοι εἶναι δίκης, ταύτην αὐτοῖς ἐπίθετε.

Οἱ μὲν ἄρχοντες τοιαῦτα εἶπον· τῶν δὲ ἀποκτεινάντων 7 οἱ μὲν ἄλλοι ἠρνοῦντο, μὴ αὐτόχειρες γενέσθαι· εἷς δὲ ὡμολογήκει, καὶ τῆς ἀπολογίας ὧδέ πως ἤρχετο·

Ἀλλ' ὑπερορᾶν μὲν, ὦ Θηβαῖοι, οὐ δυνατὸν, ὑμῶν ἀνδρὶ, ὃς εἰδείη, κυρίους μὲν ὄντας, ὅ τι βούλεσθε, αὐτῷ χρῆσθαι· τίνι μέντοι πιστεύων ἐνθάδε ἀπέκτεινα τὸν ἄνδρα; εὖ ἴστε, ὅτι πρῶτον μὲν τῷ νομίζειν δίκαια ποιεῖν· ἔπειτα δὲ, τῷ ὑμᾶς ὀρθῶς γνώσεσθαι· ᾔδειν γὰρ, ὅτι καὶ ὑμεῖς τοὺς περὶ Ἀρχίαν καὶ Ὑπάτην, οὓς ἐλάβετε Εὔφρονι ὅμοια πεποιηκότας, οὐ ψῆφον ἀνεμείνατε, ἀλλὰ, ὁπότε πρῶτον ἐδυνάσθητε, ἐτιμωρήσασθε, νομίζοντες, τῶν τε περιφανῶς ἀνοσίων, καὶ τῶν φανερῶς προδοτῶν καὶ τυραννεῖν ἐπιχειρούντων, ὑπὸ πάντων ἀνθρώπων θάνατον κατεγνῶσθαι. Οὔκουν καὶ Εὔφρων ἔνοχος πᾶσι τούτοις ἦν; παραλαβὼν μὲν 8 γὰρ τὰ ἱερὰ μεστὰ καὶ χρυσῶν [τούτων] καὶ ἀργυρῶν ἀναθημάτων, κενὰ πάντων ἀπέδειξε. προδότης γε μὴν τίς ἂν περιφανέστερος Εὔφρονος εἴη; ὃς, φιλαίτατος μὲν ὢν Λα-

§. 7. *γενέσθαι.* In margine Leoncl. *γεγενῆσθαι.* Deinceps ibidem est *δίκαιον.*

*ὅτι καὶ ὑμεῖς τούς.* Nisi statuas orationem *ἀνακόλουθον* esse, legendum erit: *ὅτι καὶ ὑμεῖς, ὅτε—τοὺς Ὑπάτην ἐλάβετε Εὔφρονι.*

[*οὐ ψῆφον ἀναμείνατε.* Constructio paullum refecta verbo finito utitur pro participio, *ἀναμείναντες.* Atque hoc ipsum facile inferri posset, nisi scribenti liceret liberius ab orso filo recedere. *F. A. Wolfius.*]

§. 8. *τὰ ἱερὰ μεστά.* Ita scripsi pro vulgato *μετὰ*, et sic deinde vidi emendasse etiam virum doctum in Bibl. Crit. Amstelod. vol. ii. p. 105. Oppositum *κενὰ* demonstrat verum esse *μεστά.* Deinde *τούτων* cum Moro inclusum uncis damnavi. Levior tamen mihi nunc medicina videtur esse, quam affert margo Leonclav. ubi *τούτων* post *πάντων* rejicitur. De ipsa re vide supra c. 1. 34.

*ἀπέδειξε.* Est h. l. reddidit. Sic Anab. v. 8. 3. *ἀπέδωκά σοι, ἐπεὶ καὶ σὺ ἐμοὶ ἀπέδειξας τὸν ἄνδρα.* Suidas: *ἀπέδειξεν· ἀντὶ τοῦ παρέδωκε Ξενοφῶν.* Ita etiam initio libri ii. *παρέδειξε τοὺς φόρους* dictum videtur.

*φιλαίτατος.* Variam lectionem *φιλότατος* ex h. l. laudat cum vulgata Eustathius ad Odyss. p. 90. ed. Basil.

κεδαιμονίοις, ὑμᾶς εἵλετο ἀντ᾽ ἐκείνων· πιστὰ δὲ δοὺς καὶ λαβὼν παρ᾽ ὑμῶν, πάλιν προὔδωκεν ὑμᾶς, καὶ παρέδωκε τοῖς ἐναντίοις τὸν λιμένα. καὶ μὴν πῶς οὐκ ἀπροφασίστως τύραννος ἦν, ὃς δούλους οὐ μόνον ἐλευθέρους, ἀλλὰ καὶ πολίτας ἐποίει; ἀπεκτίννυε δὲ, καὶ ἐφυγάδευε, καὶ χρήματα ἀφῃρεῖτο οὐ τοὺς ἀδικοῦντας, ἀλλ᾽ οὓς αὐτῷ ἐδόκει. οὗτοι δὴ 9 ἦσαν οἱ βέλτιστοι. Αὖθις δὲ μετὰ τῶν ἐναντιωτάτων ὑμῖν Ἀθηναίων κατελθὼν εἰς τὴν πόλιν, ἐναντία μὲν ἔθετο τῷ παρ᾽ ὑμῶν ἁρμοστῇ τὰ ὅπλα· ἐπεὶ δ᾽ ἐκεῖνον οὐκ ἐδυνάθη ἐκ τῆς πόλεως ἐκβαλεῖν, συσκευασάμενος χρήματα, δεῦρο ἀφίκετο. καὶ εἰ μὲν ὅπλα ἠθροικὼς ἐφάνη ἐφ᾽ ὑμᾶς, καὶ χάριν ἄν μοι εἴχετε, εἰ ἀπέκτεινα αὐτόν· ὃς δὲ χρήματα ἦλθε παρασκευασάμενος, ὡς τούτοις ὑμᾶς διαφθερῶν καὶ πείσων, πάλιν κύριον αὐτὸν ποιῆσαι τῆς πόλεως, τούτῳ ἐγὼ τὴν δίκην ἐπιθεὶς, πῶς ἂν δικαίως ὑφ᾽ ὑμῶν ἀποθάνοιμι; καὶ γὰρ οἱ μὲν ὅπλοις βιασθέντες, βλάπτονται μὲν, οὐ μέντοι ἄδικοί γε ἀναφαίνονται· οἱ δὲ χρήμασι παρὰ τὸ δίκαιον διαφθαρέντες, ἅμα μὲν βλάπτονται, ἅμα 10 δὲ αἰσχύνῃ περιπίπτουσιν. Εἰ μὲν τοίνυν ἐμοὶ μὲν πολέμιος ἦν, ὑμῖν δὲ φίλος, κἀγὼ ὁμολογῶ, μὴ καλῶς ἄν μοι ἔχειν, τοῦτον παρ᾽ ὑμῖν ἀποκτεῖναι· ὁ δὲ ὑμᾶς προδιδοὺς, τί ἐμοὶ πολεμιώτερος ἦν, ἢ ὑμῖν; Ἀλλὰ νὴ Δία, εἴποι τις ἂν, ἑκὼν ἦλθε. κᾆτα, εἰ μὲν ἀπεχόμενον τῆς πόλεως ὑμῶν ἀπέκτεινέ τις αὐτὸν, ἐπαίνου ἂν ἐτύγχανε· νῦν δὲ, ὅτι πάλιν ἦλθεν ἄλλα πρὸς τοῖς πρόσθεν κακὰ ποιήσων, οὐ

πολίτας ἐποίει. Edd. A. J. Br. Caſt. ἐποίησεν.

§. 9. κατελθὼν εἰς τὴν πόλιν. Verba εἰς τὴν πόλιν omittunt Edd. A. J. Caſt.

ἐκ τῆς πόλεως. Margo L. ἐκ τῆς ἀκροπόλεως. Recte, puto.

παρὰ τὸ δίκαιον. In margine Leoncl. παρὰ τὸ βέλτιστον.

§. 10. ἑκὼν ἦλθε. Sponte rediit ad nos noſtramque ſocietatem. Ita Morus. Mihi conſideranti oppoſitum ἀπεχόμενον τῆς πόλεως, aliud verbum poſtulare videtur.

[ἑκὼν ἦλθε. Hic nihil video offenſionis. Ei, qui ἦλθε, *qui rediit*, recte opponitur ἀπεχόμενος τῆς πόλεως. *F. A. Wolfius.*]

δικαίως φησί τις αὐτὸν τεθνάναι; ποῦ ἔχων Ἕλλησι σπονδὰς ἀποδεῖξαι ἢ προδόταις, ἢ πάλιν αὐτομόλοις, ἢ τυράννοις; Πρὸς δὲ τούτοις ἀναμνήσθητε, ὅτι καὶ ἐψηφίσασθε [11] δήπου, τοὺς φυγάδας ἀγωγίμους εἶναι ἐκ πασῶν τῶν συμμαχίδων. ὅστις δὲ ἄνευ κοινοῦ τῶν συμμαχίδων δόγματος κατέρχηται φυγὰς, τοῦτον ἔχοι τις ἂν εἰπεῖν ὅπως οὐ δίκαιόν ἐστιν ἀποθνήσκειν; ἐγώ φημι, ὦ ἄνδρες, ἀποκτείναντας μὲν ὑμᾶς ἐμὲ, τετιμωρηκότας ἔσεσθαι ἀνδρὶ, τῷ πάντων ὑμῖν πολεμιωτάτῳ· γνόντας δὲ δίκαια πεποιηκέναι, αὐτοὺς τετιμωρηκότας φανεῖσθαι ὑπέρ τε ὑμῶν αὐτῶν, καὶ ὑπὲρ τῶν συμμάχων ἁπάντων.

[12] Οἱ μὲν οὖν Θηβαῖοι, ταῦτα ἀκούσαντες, ἔγνωσαν, δίκαια τὸν Εὔφρονα πεπονθέναι· οἱ μέντοι πολῖται αὐτὸν, ὡς ἄνδρα ἀγαθὸν κομισάμενοι, ἔθαψάν τε ἐν τῇ ἀγορᾷ, καὶ ὡς ἀρχηγέτην τῆς πόλεως σέβονται. Οὕτως, ὡς ἔοικεν, οἱ πλεῖστοι ὁρίζονται, τοὺς εὐεργέτας αὐτῶν ἄνδρας ἀγαθοὺς εἶναι.

§. 11. ἀγωγίμους — συμμαχίδων. Scilicet πόλεων. Prius vocabulum interpretatur Morus: qui a quolibet corripi et abduci poſſunt ad judicem, in carcerem, ad ſupplicium, ubicunque deprehenſi fuerint. Conferre jubet Reiſkii Indicem Græcit. Demoſthenicæ. Apud Demoſthenem contra Ariſtocratem p. 624. et ad Nicoſtratum p. 1249. ἀγώγιμον εἶναι et γίγνεσθαι ita ſimpliciter dici videtur. Sed in alio loco, quem omiſit Index Reiſkianus, p. 667. contra Ariſtocratem eſt plane eodem ſenſu, quo in Xenophonte ἀγώγιμον αὐτὸν ἐκ τῶν συμμάχων εἶναι, quæ verba deinceps explicantur: ἐξεδίδοτ' ἂν ὑπὸ τοῦ ψηφίσματος. Quando igitur decreto populi damnatur aliquis ea lege, ut, ſi ad ſocios effugerit, jure inde retrahi poſſit et debeat, tunc aliquis ἀγώγιμος ἐκ τῶν συμμάχων γίγνεται aut ἐστί. Sic Lacedæmonii edixerant exſules Athenienſes ἀγωγίμους εἶναι πανταχόθεν, ἐκσπόνδους δὲ τοὺς ἐνισταμένους τοῖς ἄγουσι, ut ait Plutarchus in Lyſandro cap. 27. Diverſa et litibus Salmaſii et Heraldi celebrata eſt notio prioris dictionis, quæ huc non pertinet. Alterum deinceps συμμαχίδων margo Leonclav. mutat in συμμάχων. Recte, puto.

§. 12. πολῖται αὐτόν. In margine Leoncl. αὐτοῦ.

ἀρχηγέτην. Ad hunc locum erudita eſt Mori diſputatio, qua docet, cives, de patria bene meritos, poſt mortem divinis honoribus cultos fuiſſe; ab ejuſmodi civibus Cliſthenem tribubus decem Atticis nomina indidiſſe, auctore Herodoto v. 66. hos denique ἥρωας ἐπιχωρίους et ἐπωνύμους τῇ χώρᾳ, vel, monente Heſychio, ἀρχηγέτας dictos fuiſſe.

## ΚΕΦ. Δ.

ΚΑΙ τὰ μὲν περὶ Εὔφρονος εἴρηται· ἐγὼ δὲ, ἔνθεν εἰς ταῦτα ἐξέβην, ἐπάνειμι. Ἔτι γὰρ τειχιζόντων τῶν Φλιασίων τὴν Θυαμίαν, καὶ τοῦ Χάρητος ἔτι παρόντος, ὁ Ὠρωπὸς ὑπὸ τῶν φευγόντων κατελήφθη. στρατευσαμένων δὲ πάντων Ἀθηναίων ἐπ᾽ αὐτὸν, καὶ τὸν Χάρητα μεταπεμψαμένων ἐκ τῆς Θυαμίας, ὁ μὲν λιμὴν αὖ ὁ τῶν Σικυωνίων πάλιν ὑπ᾽ αὐτῶν τε τῶν πολιτῶν καὶ τῶν Ἀρκάδων ἁλίσκεται· τοῖς δὲ Ἀθηναίοις οὐδεὶς τῶν συμμάχων ἐβοήθησεν, ἀλλ᾽ ἀνεχώρησαν, Θηβαίοις παρακαταθέμενοι τὸν Ὠρωπὸν μέχρι δίκης.

2 Καταμαθὼν δὲ ὁ Λυκομήδης μεμφομένους τοὺς Ἀθηναίους τοῖς συμμάχοις, ὅτι αὐτοὶ μὲν πολλὰ πράγματα εἶχον δι᾽ ἐκείνους, ἀντεβοήθησε δ᾽ αὐτοῖς οὐδεὶς, πείθει τοὺς μυρίους, πράττειν περὶ συμμαχίας πρὸς αὐτούς. τὸ μὲν οὖν πρῶτον ἐδυσχέραινόν τινες τῶν Ἀθηναίων, τὸ, Λακε-

§. 1. Ὠρωπός. Themiso et Theodorus, Euboeenses, vi occuparant Oropum, sociam Atheniensium civitatem, in confiniis Atticæ et Bœotiæ sitam. (Thucyd. viii. 95.) Qui ergo cives tum in exsilium ejecti erant, ii nunc patriam recuperant. Vide Wesseling ad Diodor. xv. 76. Morus. Breviter Diodorus l. c. Θεμίσων ὁ Ἐρετρίας τύραννος Ὠρωπὸν κατελάβετο· ταύτην δὲ τὴν πόλιν οὖσαν Ἀθηναίων, παραλόγως ἀπέλαβε. τῶν γὰρ Ἀθηναίων στρατευσάντων ἐπ᾽ αὐτὸν καὶ πολὺ ταῖς δυνάμεσιν ὑπερεχόντων, οἱ Θηβαῖοι βοηθήσαντες αὐτῷ καὶ παραλαβόντες ἐν παρακαταθήκῃ τὴν πόλιν, οὐκ ἀπέδωκαν. Demosthenes de Corona pag. 259. Themisonem et Theodorum simul nominat; ubi Ulpianus in Commentariis rem copiosius narrat. Causam capitis super Oropo erepta dixit Chabrias imperator, accusante Philostrato, ut narrat Demosthenes contra Midiam p. 535. ed. Reiske, ubi vide Scholiasten. Eandem Thebanorum iniquitatem tangit Isocrates ad Philipp. p. 180. ed. Wolf. ubi res post pugnam Leuctricam ab iis gestas breviter percurrit: ἠνώχλουν μὲν τὰς πόλεις τὰς ἐν Πελοποννήσῳ, Θετταλίαν δ᾽ ἐτόλμων καταδουλοῦσθαι, Μεγαρεῦσι δ᾽ ὁμόροις οὖσιν ἠπείλουν, τὴν δ᾽ ἡμετέραν πόλιν μέρος τι τῆς χώρας ἀπεστέρουν, Εὔβοιαν δ᾽ ἐπόρθουν, εἰς Βυζάντιον δὲ τριήρεις ἐξέπεμπον, ὡς καὶ γῆς καὶ θαλάττης ἄρξοντες. Quæ ille de imperio maris, a Thebanis captato, refert, confirmat et copiosius narrat Diodorus xv. 79. sed ordine rerum perturbato, quem ex Isocratis loco, a Wesselingio non annotato, constitues facile. Xenophon res mari gestas hoc tempore et multas Thebanorum, nescio an invidia motus, omisit.

μέχρι δίκης. Donec jure disceptari de possessione urbes posset. Ita Brodæus approbante Moro interpretatur.

§. 2. πράττειν περί. Ita supra vi. 4. 25. πράττειν περὶ τῶν σπονδῶν ἐκέλευον. Anabas. vii. 2. 12. Ξενοφῶν ἔπραττε περὶ πλοίων. Ibid. c. 2. §. 7. πρὸς Ἀρίσταρχον διεπράττετο τὰ αὐτὰ περὶ τοῦ στρατεύματος. Sic iterum vii. 4. 12.

δαιμονίοις ὄντας φίλους, γενέσθαι τοῖς ἐναντίοις αὐτῶν συμμάχους· ἐπεὶ δὲ λογιζόμενοι εὕρισκον οὐδὲν μεῖον Λακεδαιμονίοις, ἢ σφίσιν ἀγαθὸν, τὸ Ἀρκάδας μὴ προσδεῖσθαι Θηβαίων, οὕτω δὴ προσεδέχοντο τὴν τῶν Ἀρκάδων συμμαχίαν. Καὶ Λυκομήδης, ταῦτα πράττων, ἀπιὼν 3 Ἀθήνηθεν, δαιμονιώτατα ἀποθνήσκει. ὄντων γὰρ παμπόλλων πλοίων, ἐκλεξάμενος τούτων, ὃ ἐβούλετο, καὶ συνθέμενος τοίνυν, ἀποβιβάσαι, ὅποι αὐτὸς κελεύοι, εἵλετο ἐνταῦθα ἐκβῆναι, ἔνθα οἱ φυγάδες ἐτύγχανον ὄντες. κἀκεῖνος μὲν οὕτως ἀποθνήσκει, ἡ μέντοι συμμαχία οὕτως ἐπεραίνετο.

Εἰπόντος δὲ Δημοτίωνος ἐν τῷ δήμῳ τῶν Ἀθηναίων, 4 ὡς ἡ μὲν πρὸς τοὺς Ἀρκάδας φιλία καλῶς αὐτῷ δοκοίη πράττεσθαι, τοῖς μέντοι στρατηγοῖς προστάξαι ἔφη χρῆναι, ὅπως καὶ ἡ Κόρινθος σῶα ᾖ τῷ δήμῳ τῶν Ἀθηναίων· ἀκούσαντες ταῦτα οἱ Κορίνθιοι, πέμψαντες ταχὺ ἱκανοὺς φρουροὺς ἑαυτῶν πάντοσε, ὅπου ἐφρούρουν Ἀθηναῖοι, εἶπον αὐτοῖς ἀπιέναι, ὡς οὐδὲν ἔτι δεόμενοι φρουρῶν. οἱ δ᾽ ἐπείθοντο. ὡς δὲ συνῆλθον οἱ ἐκ τῶν φρουρίων Ἀθηναῖοι εἰς τὴν πόλιν, ἐκήρυξαν οἱ Κορίνθιοι, εἴ τις ἀδικοῖτο Ἀθηναίων, ἀπογράφεσθαι, ὡς ληψομένους τὰ δίκαια. Οὕτω 5 δὲ τούτων ἐχόντων, Χάρης ἀφικνεῖται μετὰ τοῦ ναυτικοῦ πρὸς

§. 3. δαιμονιώτατα. Morus in Indice δαιμονίως ἀποθ. ex h. l. interpretatur, deo modum ac genus mortis dirigente. Mihi brevitas auctoris, nimis obscura, displicet.

συνθέμενος τοίνυν. τοῖς ναύταις legendum censebat Vir doctus in Bibl. Critica ii. p. 105. quod placet. Nec enim τοίνυν locum hic habet suum.

οὕτως ἐπεραίνετο. In margine L. et Steph. est ὄντως, quod recepit Wels. Vir doctus in Bibl. Crit. Amstelod. vol. ii. p. 105. emendabat ὅμως. Quod equidem approbo.

§. 4. ἐκ τῶν φρουρίων. Male Cast. φρουρῶν.

εἴ τις ἀδικοῖτο—ληψομένους τὰ δίκαια. Sequitur statim: τοὺς ὁπλίτας τὰ δίκαια ποιήσαντες ἀπεπέμψαν. Interpretes omnes hæc intellexerunt de jure reddendo militibus; sed sunt accipienda de mercede debita. Ita Anabas. vii. 7. 14. τότε ἀπιέναι ὅταν τὰ δίκαια ἔχωσιν οἱ στρατιῶται· qui locus omni dubitatione vacat. De usuris Lysias p. 590. οὗτοι οὐδὲν ἔτι ὑμῖν τῶν δικαίων ἐποίουν· qui locus male est in Indice omissus. Ita Cicero Offic. i. 13. *justa* præbere, i. e. mercedem solvere; et Columella i. 8. 18. qui *justa reddere* dixit i. 8. 11.

τὰς Κεγχρέας. ἐπεὶ δ' ἔγνω τὰ πεπραγμένα, ἔλεξεν, ὅτι, ἀκούσας ἐπιβουλεύεσθαι, τῇ πόλει βοηθῶν παρείη. οἱ δ' ἐπαινέσαντες αὐτὸν, οὐδέν τι μᾶλλον ἐδέχοντο τὰς ναῦς εἰς τὸν λιμένα, ἀλλ' ἀποπλεῖν ἐκέλευον· καὶ τοὺς ὁπλίτας δὲ, τὰ δίκαια ποιήσαντες, ἀπέπεμψαν. ἐκ μὲν οὖν τῆς 6 Κορίνθου οἱ Ἀθηναῖοι οὕτως ἀπηλλάγησαν. Τοῖς μέντοι Ἀρκάσιν ἠναγκάζοντο πέμπειν τοὺς ἱππέας ἐπικούρους, διὰ τὴν συμμαχίαν, εἴ τις στρατεύοιτο ἐπὶ τὴν Ἀρκαδίαν· τῆς δὲ Λακωνικῆς οὐκ ἐπέβαινον ἐπὶ πολέμῳ.

Τοῖς δὲ Κορινθίοις ἐνθυμουμένοις, ὡς χαλεπῶς ἔχοι αὐτοὺς σωθῆναι, κεκρατημένους μὲν καὶ πρόσθεν κατὰ γῆν, προσγεγενημένων δ' αὐτοῖς Ἀθηναίων ἀνεπιτηδείων, ἔδοξεν ἀθροίζειν καὶ πεζοὺς, καὶ ἱππέας μισθοφόρους. ἡγούμενοι δὲ τούτων, ἅμα μὲν τὴν πόλιν ἐφύλαττον, ἅμα δὲ τοὺς πολεμίους κακῶς ἐποίουν· εἰς μέντοι Θήβας ἔπεμψαν 7 ἐπερησομένους, εἰ τύχοιεν ἂν εἰρήνης ἐλθόντες. ἐπεὶ δὲ οἱ Θηβαῖοι ἰέναι ἐκέλευον, ὡς ἐσομένης, ἐδεήθησαν οἱ Κορίνθιοι, ἐᾶσαι σφᾶς ἐλθεῖν καὶ ἐπὶ τοὺς συμμάχους, ὡς μετὰ μὲν τῶν βουλομένων ποιησόμενοι τὴν εἰρήνην, τοὺς δὲ τὸν πόλεμον αἱρησομένους ἐάσοντες πολεμεῖν. ἐφέντων δὲ καὶ ταῦτα πράττειν τῶν Θηβαίων, ἐλθόντες εἰς Λακεδαί- 8 μονα οἱ Κορίνθιοι εἶπον· Ἡμεῖς, ὦ ἄνδρες Λακεδαιμόνιοι, πρὸς ὑμᾶς πάρεσμεν, ὑμέτεροι φίλοι· καὶ ἀξιοῦμεν, εἰ μέν τινα ὁρᾶτε σωτηρίαν ὑμῖν, ἐὰν διακαρτερῶμεν πολεμοῦντες, διδάξαι καὶ ἡμᾶς· εἰ δὲ ἀπόρως γιγνώσκετε

§. 5. Κιγχρέας. Edd. A. J. C. Κεγχρέιας.

ὁπλίτας δέ. In Leonclav. καὶ pro δὲ, vitio operarum, quod tamen recepit Wels.

§. 6. κεκρατημένους. Margo Leoncl. κρατουμένους.

ἀνεπιτηδείων. Hanc lectionem L. Steph. recepit etiam Wels et Morus pro vulgato ἐπιτηδείων. Confirmat eam Morus loco Heſychii appoſito: ἐπιτήδειος· ὁ φίλος. ἀνεπιτήδειος· ὁ ἐχθρός.

§. 7. ὡς ἐσομένης. Ita ex editione Br. et Caſt. ſcripſi, ſuadente Leoncl. et Moro pro vulgato ἐσομένων.

τοὺς δὲ τὸν πόλεμον. Edd. A. J. Br. Caſtal. τοὺς τὸν πόλεμον. In Leoncl. et Steph. eſt τούς τι πόλεμον. Noſtrum dedit Morus. Sed in margine Leonclav. eſt: τοὺς τὸν πόλεμον αἱρουμένους.

ἔχοντα τὰ ὑμέτερα, εἰ μὲν καὶ ὑμῖν συμφέρει, ποιήσασθαι μεθ᾽ ἡμῶν τὴν εἰρήνην· (ὡς οὐδὲ μετ᾽ οὐδένων ἂν ἥδιον, ἢ μεθ᾽ ὑμῶν, σωθείημεν) εἰ μέντοι ὑμεῖς λογίζεσθε συμφέρειν ὑμῖν πολεμεῖν, δεόμεθα ὑμῶν, ἐᾶσαι ἡμᾶς εἰρήνην ποιήσασθαι. σωθέντες μὲν γὰρ, ἴσως ἂν αὖθις ἔτι ποτὲ ἐν καιρῷ ὑμῖν γενοίμεθα· ἐὰν δὲ νῦν ἀπολώμεθα, δηλονότι οὐδέποτε ἔτι χρήσιμοι ἐσόμεθα. Ἀκούσαντες δὲ ταῦ- 9 τα οἱ Λακεδαιμόνιοι, τοῖς τε Κορινθίοις συνεβούλευον τὴν εἰρήνην ποιήσασθαι, καὶ τῶν ἄλλων συμμάχων ἐπέτρεψαν, τοῖς μὴ βουλομένοις σὺν ἑαυτοῖς πολεμεῖν, ἀναπαύεσθαι. αὐτοὶ δ᾽ ἔφασαν πολεμοῦντες πράξειν, ὅ τι ἂν τῷ θεῷ φίλον ᾖ· ὑφήσεσθαι δὲ οὐδέποτε, ἣν παρὰ τῶν πατέρων παρέλαβον Μεσσήνην, ταύτης στερηθῆναι. Οἱ οὖν Κορίν- 10 θιοι, ἀκούσαντες ταῦτα, ἐπορεύοντο εἰς τὰς Θήβας ἐπὶ τὴν εἰρήνην. οἱ μέντοι Θηβαῖοι ἠξίουν, αὐτοὺς καὶ συμμαχίαν ὀμνύναι· οἱ δὲ ἀπεκρίναντο, ὅτι ἡ μὲν συμμαχία οὐκ εἰρήνη, ἀλλὰ πολέμου μεταλλαγὴ εἴη· εἰ δὲ βούλοιντο, παρεῖναι ἔφασαν, τὴν δικαίαν εἰρήνην ποιησόμενοι. ἀγασθέντες δὲ αὐτοὺς οἱ Θηβαῖοι, ὅτι, καίπερ ἐν κινδύνῳ ὄντες, οὐκ ἤθελον τοῖς εὐεργέταις εἰς πόλεμον καθίστασθαι, συνεχώρησαν αὐτοῖς, καὶ Φλιασίοις, καὶ τοῖς ἐλθοῦσι μετ᾽ αὐτῶν εἰς Θήβας, τὴν εἰρήνην, ἐφ᾽ ᾧ τε ἔχειν τὴν ἑαυτῶν ἑκάστους. καὶ ἐπὶ τούτοις ὠμόσθησαν οἱ ὅρκοι. Οἱ μὲν 11 δὴ Φλιάσιοι, ἐπεὶ οὕτως ἡ ξύμβασις ἐγένετο, εὐθὺς ἀπῆλθον ἐκ τῆς Θυαμίας· οἱ δὲ Ἀργεῖοι, ὀμόσαντες ἐπὶ τοῖς αὐτοῖς τούτοις εἰρήνην ποιήσασθαι, ἐπεὶ οὐκ ἠδύναντο καταπρᾶξαι, ὥστε τοὺς τῶν Φλιασίων φυγάδας μένειν ἐν τῷ

§. 8. *μετ᾽ οὐδένων.* Sic ſupra v. 3. 11. *οὐδένες ἤκουον.* Cf. Valckenair ad Herodot. p. 719.

*ἴσως ἂν αὖθις.* Ita cum L. St. W. ſcripſi inſerto *ἄν.* Phraſi eadem uſus eſt Xenoph. ſupra iii. 4. 9. *ἐν καιρῷ σοι εἶναι.* Andocides p. 72. ed. Reiſke: *καὶ ἐστὶν ὑμῖν χρῆσθαι τούτοις, ὅπου ἂν ἐν καιρῷ τι ὑμῖν γένηται.*

§. 11. *οὐκ ἠδύναντο.* Caſtal. *ἐδύναντο.*

Τρικαράνῳ, ὡς ἐν τῇ ἑαυτῶν πόλει ἔχοντες, παραλαβόντες ἐφρούρουν, φάσκοντες σφετέραν καὶ τὴν γῆν ταύτην εἶναι, ἣν ὀλίγῳ πρότερον, ὡς πολεμίαν οὖσαν, ἐδῄουν. καὶ δίκας τῶν Φλιασίων προσκαλουμένων, οὐκ ἐδίδοσαν.

12 Σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον τετελευτηκότος ἤδη τοῦ προτέρου Διονυσίου, ὁ υἱὸς αὐτοῦ πέμπει βοήθειαν τοῖς Λακεδαιμονίοις, δώδεκα τριήρεις, καὶ ἄρχοντα αὐτῶν Τιμοκράτην. οὗτος δ᾽ οὖν ἀφικόμενος, συνεξαιρεῖ αὐτοῖς Σελλασίαν· καὶ τοῦτο πράξας, ἀπέπλευσεν οἴκαδε.

Olymp. 103. 3/4. Μετὰ δὲ τοῦτο οὐ πολλῷ ὕστερον καταλαμβάνουσιν οἱ Ἠλεῖοι Λασίωνα, τὸ μὲν παλαιὸν ἑαυτῶν ὄντα, ἐν δὲ τῷ 13 παρόντι συντελοῦντα εἰς τὸ Ἀρκαδικόν· Οἱ μέντοι Ἀρκάδες οὐ παρωλιγώρησαν, ἀλλ᾽ εὐθὺς παραγγείλαντες ἐβοήθουν. ἀντεβοήθησαν δὲ καὶ οἱ τῶν Ἠλείων τετρακόσιοι, καὶ ἔτι τριακόσιοι. ἀντιστρατευομένων δὲ τὴν ἡμέραν ἐν ἐπιπεδεστέρῳ χωρίῳ τῶν Ἠλείων, τῆς νυκτὸς οἱ Ἀρκάδες ἀναβαίνουσιν ἐπὶ τὴν τοῦ ὑπὲρ τῶν Ἠλείων ὄρους κορυφήν· ἅμα

πόλει ἔχοντες. Leoncl. emendabat ὄντας, quod recepit Wels et approbavit Morus. Sed gravius vitium latere videtur. Unde enim παραλαβόντες? Tenebant jam diu caſtellum Argivi Tricaranum.

[ὡς ἐν τῇ ἑαυτῶν πόλει—Corr. ἔχοντας, quod ipſum voluiſſe videtur Leoncl. H. e. *eadem ibi conditione utentes, ac ſi eſſent in patria.* Seqq. παρ. ἐφρούρουν vertit Pirkheim. *ipſos in fidem receperunt, præſidioque juverunt.* Quoad ſenſum bene, opinor. Et civitates παραλαμβάνονται etiam ἑκοῦσαι, ut ipſe X. loquitur alibi. *F. A. Wolfius.*]

πολεμίαν. Junt. et Caſt. πολεμίων.

προσκαλουμένων. Margo L. St. et Welſ. προκαλουμένων. Vulgatum diligenter explicat et tuetur Morus.

§. 12. οὗτος δ᾽ οὖν. Margo L. οὗτος δ᾽ αὖ.

Λασίωνα. Edd. A. J. C. Λασιῶνα. De ea vide ſupra iii. 2. 21. Pluribus rem narrat Diodorus xv. 77. qui Laſionem Triphyliæ χωρίον ὀχυρὸν appellat. Prætexebant Elei exſules, qui in locum illum confugerant. In pugna ad Laſionem commiſſa ceciderunt plus quam 200. Elei milites; Arcades numero longe ſuperiores deinde ipſam Eleam invadunt. Ita Diodorus, qui addit, ab Athenienſibus Arcades ſubſidia petiiſſe: μετεπέμψαντο παρ᾽ Ἀθηναίων συμμαχίαν. De hac ſocietate belli Xenophon ſupra dixit §. 2. et 6.

§. 13. οἱ—τετρακόσιοι. Fuit Eleorum exercitus ex certo equitum et peditum numero conſtitutus. Οἱ τριακόσιοι videntur eſſe pedites, quia infra §. 16. dicitur: οἱ ἱππεῖς καὶ οἱ τριακόσιοι.

ἀντιστρατευομένων. Recte Morus emendat ἀντιστρατοπεδευομένων. Paulo poſt Edd. A. J. Br. Caſt. ἐπὶ πεδιστέρῳ habent omiſſo ἐν. Male.

[ἀντιστρατευομένων. Commendas conjecturam Mori, ἀντιστρατοπεδευομένων. At eodem modo στρατεύεσθαι alibi ſæpius legitur, ut iv. 7. 7. vii. 5. 8. Cf. vi. 2. 29. *F. A. Wolfius*]

δὲ τῇ ἡμέρᾳ κατέβαινον ἐπὶ τοὺς Ἠλείους. οἱ δὲ, ἰδόντες ἅμα μὲν ἐξ ὑπερδεξίου προσιόντας, ἅμα δὲ πολλαπλασίους, ἐκ πολλοῦ μὲν ἀπελθεῖν ᾐσχύνθησαν, ὁμόσε δὲ ἦλθον, καὶ εἰς χεῖρας δεξάμενοι ἔφυγον· καὶ πολλοὺς μὲν ἄνδρας, πολλὰ δὲ ὅπλα ἀπώλεσαν, κατὰ δυσχωρίας ἀποχωροῦντες.

Οἱ δὲ Ἀρκάδες, διαπραξάμενοι ταῦτα, ἐπορεύοντο ἐπὶ 14 τὰς τῶν Ἀκρωρείων πόλεις. λαβόντες δὲ ταύτας, πλὴν Θραύστου, ἀφικνοῦνται εἰς Ὀλυμπίαν· καὶ περισταυρώσαντες τὸν Κρόνειον, ἐνταῦθα ἐφρούρουν, καὶ ἐκράτουν τοῦ Ὀλυμπιακοῦ ὄρους. ἔλαβον δὲ καὶ Μαργανέας, ἐνδόντων τινῶν. οὕτω δὲ τούτων προκεχωρηκότων, οἱ μὲν Ἠλεῖοι αὖ παντάπασιν ἠθύμησαν· οἱ δὲ Ἀρκάδες ἔρχονται ἐπὶ τὴν πόλιν. καὶ μέχρι μὲν τῆς ἀγορᾶς ἦλθον· ἐκεῖ μέντοι ὑποστάντες, οἵ τε ἱππεῖς καὶ ἄλλοι τινὲς αὐτῶν, ἐκβάλλουσί τε αὐτοὺς, καὶ ἀπέκτειναν τινὰς, καὶ τρόπαιον ἐστήσαντο. Ἦν μὲν 15 οὖν καὶ πρότερον διαφορὰ ἐν τῇ Ἤλιδι. οἱ μὲν γὰρ περὶ Χάροπόν τε καὶ Θρασωνίδαν καὶ Ἀργεῖον εἰς δημοκρατίαν ἦγον τὴν πόλιν, οἱ δὲ περὶ Στάλκαν τε καὶ Ἱππίαν καὶ

ἐκ πολλοῦ. *E longinquo* recte interpretatur Morus.

§. 14. Ἀκρωρείων. De populo primus recte interpretatus est Morus. Supra iii. 2. 21. memorantur Ἀκρώρειοι. Stephan. Byz. urbem Triphyliæ appellat Acrocrios, etiam incolas ita appellari addens. Regio tota, quam populus iste, per diversas urbes dispertitus, occupabat, Ἀκρώρεια dicitur a Diodoro xiv. 17. populus ipse Ἀκρώρειοι. Ita Morus. Diodor. xv. 77. captas ab Eleis fuisse ait urbes Margana, Cronium, Cypariſſiam et Coryphasium.

Θραύστου. Comparavit Morus locum Θραιστὸς dictum a Diodoro xiv. 17.

Κρόνειον. Collis Saturno sacer. Alii Κρόνιον appellant, solenni variatione.

ἐπὶ τὴν πόλιν. Addendum hic censeo αὐτῶν, sc. Eleorum, et retrahendum ex sede aliena, quam occupavit post ἄλλοι τινές. In margine L. est: καὶ οἱ ἄλλοι αὐτῶν.

[Αὐτῶν post τινὲς fero. Ἡ πόλις autem simpliciter dicitur usitate *urbs* regionis *primaria*. F. A. Wolfius.]

§. 15. οἱ μὲν γάρ. Omittunt Junt. Castal. γάρ.—Hippias hic Eleus sine dubio est celeberrimus Sophista, qui legationes obiit ad Athenienses et Lacedæmonios, de quo Platonis et Xenophontis libri multa tradunt.

[καὶ Ἱππίαν. Quo auctore tam affirmate loquaris de Hippia Eleo, Sophista, doceri a Te velim. Novi quidem Hippiam superstitem Socratis, ut Gorgiam: sed priorem illum usque ad Olymp. 103. ætatem traxisse, num Tibi id probabile sit? *F. A. Wolfius.*]

Στρατόλαν εἰς ὀλιγαρχίαν. ἐπεὶ δὲ οἱ Ἀρκάδες, μεγάλην δύναμιν ἔχοντες, σύμμαχοι ἐδόκουν εἶναι τοῖς δημοκρατεῖσθαι βουλομένοις, ἐκ τούτου δὴ θρασύτεροι οἱ περὶ τὸν Χάροπον ἦσαν, καὶ συνθέμενοι τοῖς Ἀρκάσιν ἐπιβοηθεῖν, 16 καταλαμβάνουσι τὴν ἀκρόπολιν. Οἱ δὲ ἱππεῖς καὶ οἱ τριακόσιοι οὐκ ἠμέλησαν, ἀλλ᾽ εὐθὺς ἐχώρουν ἄνω, καὶ ἐκκρούουσιν αὐτούς· ὥστ᾽ ἔφυγον σὺν τῷ Ἀργείῳ καὶ Χαρόπῳ τῶν πολιτῶν περὶ τετρακοσίους. οὐ πολὺ δὲ ὕστερον οὗτοι, παραλαβόντες τῶν Ἀρκάδων τινὰς, καταλαμβάνουσι Πύλον. καὶ πολλοὶ μέντοι πρὸς αὐτοὺς ἐκ τῆς πόλεως ἀπήεσαν τοῦ δήμου, ἅτε χωρίον τε καλὸν, καὶ μεγάλην ῥώμην τὴν τῶν Ἀρκάδων σύμμαχον ἔχοντας. ἐνέβαλον δὲ ὕστερον καὶ εἰς τὴν χώραν τὴν τῶν Ἠλείων οἱ Ἀρκάδες, ὑπὸ τῶν φευγόντων ἀναπειθόμενοι, ὡς ἡ πόλις προσχωρήσοιτο. 17 Ἀλλὰ τότε μὲν οἱ Ἀχαιοὶ, φίλοι τοῖς Ἠλείοις γενόμενοι, τὴν πόλιν αὐτῶν διεφύλαξαν· ὥστε οἱ Ἀρκάδες, οὐδὲν ἄλλο πράξαντες, ἢ δῃώσαντες αὐτῶν τὴν χώραν, ἀπῆλθον. εὐθὺς μέντοι ἐκ τῆς Ἠλείας ἐξελθόντες, αἰσθόμενοι τοὺς Πελληνεῖς ἐν Ἤλιδι ὄντας, νυκτὸς μακροτάτην ὁδὸν ἐλθόντες καταλαμβάνουσιν αὐτῶν Ὄλουρον· ἤδη γὰρ πάλιν προσεκεχωρήκεσαν οἱ Πελληνεῖς—τὴν τῶν Λακεδαιμονίων 18 συμμαχίαν. Ἐπεὶ δ᾽ ᾔσθοντο τὰ περὶ Ὄλουρον, περιελθόντες αὖ καὶ οὗτοι, ὅποι ἐδύναντο, εἰς τὴν αὐτῶν πόλιν Πελλήνην εἰσῆλθον. καὶ ἐκ τούτου δὴ ἐπολέμουν τοῖς ἐν

§. 16. Πύλον. Eleam, diverſam a maritima Pylo Meſſeniæ, et ab Elide diſſitam ſtadiis 80, auctore Pauſania vi. pag. 509. Diodorus xiv. 17. ab Elide diſſitam eſſe ait ſtadiis fere 70.

σύμμαχον ἔχοντας. Ita ſcripſi auctore Moro pro vulgato ἔχοντες.

ὑπὸ τῶν φευγόντων. οἱ ὑπὸ τῶν φ. Edd. J. A. Bryl. Caſtal. Steph.

§. 17. Πελληνεῖς—τήν. Stephanus addidit εἰς, probarunt Leoncl. et Welf.

[οἱ Πελληνεῖς. Ultima hæc ſyllaba abſumſit voculam εἰς, ut jam optime Steph. conjecit. Mirarer eam textui non redditam, niſi plura, quæ a Te in notis probantur, viderem a typotheta prætermiſſa eſſe. Verbum προσχωρεῖν eadem vi ſic ſtruitur etiam a Thucydide. *F. A. Wolfius.*]

§. 18. εἰς τὴν αὐτῶν. Edd. A. J. C. αὐτῶν.

Ὀλούρῳ Ἀρκάσι τε καὶ τῷ ἑαυτῶν παντὶ δήμῳ, καὶ μάλα ὀλίγοι ὄντες· ὅμως δὲ οὐδὲ πρόσθεν ἐπαύσαντο, πρὶν ἐξεπολιόρκησαν τὴν Ὄλουρον.

19 Olymp. 104. $\frac{4}{1}$.

Οἱ δ᾽ αὖ Ἀρκάδες πάλιν ποιοῦνται ἄλλην στρατείαν εἰς τὴν Ἦλιν. μεταξὺ δὲ Κυλλήνης τε καὶ τῆς πόλεως στρατοπεδευομένοις αὐτοῖς ἐπιτίθενται οἱ Ἠλεῖοι, ὑποστάντες δὲ οἱ Ἀρκάδες ἐνίκησαν αὐτούς. καὶ Ἀνδρόμαχος μὲν ὁ Ἠλεῖος ὕπαρχος, ὅσπερ αἴτιος ἐδόκει εἶναι τοῦ συνάψαι τὴν μάχην, αὐτὸς αὑτὸν διέφθειρεν· οἱ δ᾽ ἄλλοι εἰς τὴν πόλιν ἀπεχώρησαν. ἀπέθανε δὲ ἐν ταύτῃ τῇ μάχῃ παραγενόμενος καὶ Σωκλείδας ὁ Σπαρτιάτης· ἤδη γὰρ τότε οἱ Λακεδαιμόνιοι τοῖς Ἠλείοις σύμμαχοι ἦσαν. 20 Πιεζόμενοι δὲ οἱ Ἠλεῖοι ἐν τῇ ἑαυτῶν, ἠξίουν καὶ τοὺς Λακεδαιμονίους, πέμποντες πρέσβεις, ἐπιστρατεύειν τοῖς Ἀρκάσι, νομίζοντες, οὕτως ἂν μάλιστα ἀποκαλεῖν τοὺς Ἀρκάδας, εἰ ἀμφοτέρωθεν πολεμοῖντο. καὶ ἐκ τούτου δὴ Ἀρχίδαμος στρατεύεται μετὰ τῶν πολιτῶν, καὶ καταλαμβάνει Κρῶμνον. κατα-

*παντὶ δήμῳ.* Arcades ſine dubio cives deprehenſos cogebant arma cum ſuis ſociare atque ita bellum inteſtinum facere. Ita occurrit Morus emendationi Leonclav. qui malebat *αὐτῶν*, ſcil. Arcadum, legere.

*Ὄλουρον.* Olurum Achaiæ urbem parvam nominat Stephanus Byz. ex Xenophontis libro ſexto et decimo, errore, ut videtur, librarii. Ita Morus.

§. 19. *εἶναι τοῦ συνάψαι.* Ita reſcripſi ex Editione Caſt. Vulgo deeſt ante infinitivum articulus *τοῦ*. Dubitare tamen cœpi, ubi infra 5. 17. legi *αἴτιοι μὲν ἐγένοντο σωθῆναι πάντα τὰ ἔξω.* In Memorab. iv. 4. 15. *οἵτινες αἰτιώτατοι ὦσι τοῦ τοῖς νόμοις πείθεσθαι.* Et infra c. 5. §. 18. *αἴτιος γεγενημένος τοῦ συνεστάναι Λακεδαιμονίους.* Ergo non dubitavi, articulum, in omnibus his locis lectum, addere et hic.

§. 20. *ἀποκαλεῖν.* Ita ex emendatione L. et Steph. poſui cum Welſio; vulgatum enim *ἀποβαλεῖν* alienum eſt.

*Κρῶμνον.* Auctore Plutarcho *περὶ δυσωπίας* p. 68. ed. Matthæi Archidamus Nicoſtratum Argivum ad prodendam ſibi urbem Cromnum inſtigare voluit; Ejus reſponſum refert Plutarchus. Idem tradit ille, tacito urbis nomine, in Apophthegm. p. 726. ed. Reiſke. De exitu obſeſſæ Cromni præclarus locus eſt Calliſthenis apud Athenæum x. p. 452: *ὡς Ἀρκάδων πολιορκούντων Κρῶμνον, (πολύχνιον δ᾽ ἐστὶν ἱδρυμένον πλησίον Μεγάλης πόλεως) Ἱππόδαμος ὁ Λάκων, εἷς ὢν τῶν πολιορκουμένων, διεκελεύετο τῷ παρὰ Λακεδαιμονίων πρὸς αὐτοὺς ἥκοντι κήρυκι, δηλῶν ἐν αἰνιγμῷ τὴν περὶ αὐτοὺς κατάστασιν, ἀπαγγελεῖν τῇ μητρὶ λύεσθαι τὸ γύναιον δέχ᾽ ἡμερῶν τὸ ἐν Ἀπολλωνίῳ δεδεμένον, ὡς οὐκ ἔτι λύσιμον ἐσόμενον ἐάν τι παρέλθωσιν καὶ διὰ ταύτης τῆς γνώμης ἐμήνυε σαφῶς τὸ μήνυμα. αὕτη γάρ ἐστι ἐν τῷ Ἀπολλωνίῳ παρὰ τὸν τοῦ Ἀπόλλωνος θρόνον διὰ γραφῆς ἀπομεμιμημένος λιμὸς ἔχων γυναικὸς μορφήν· φανερὸν οὖν ἐγένετο πᾶσιν, ὅτι δέκα ἡμέρας ἔτι καρτερῆσαι*

λιπὼν δ᾽ ἐν αὐτῷ Φρουρὰν, τῶν δώδεκα λόχων τρεῖς,
21 οὕτως ἐπ᾽ οἴκου ἀνεχώρησεν. Οἱ μέντοι Ἀρκάδες, ὥσπερ
ἔτυχον ἐκ τῆς εἰς Ἦλιν στρατείας συνειλεγμένοι, βοηθή-
σαντες περιεσταύρωσαν τὸν Κρῶμνον διπλῷ σταυρώματι, καὶ
ἐν ἀσφαλεῖ ὄντες. ἐπολιόρκουν τοὺς ἐν τῷ Κρώμνῳ. χαλε-
πῶς δὲ ἡ τῶν Λακεδαιμονίων πόλις φέρουσα, ἐπὶ τῇ πολι-
ορκίᾳ τῶν πολιτῶν ἐκπέμπει στρατιάν· ἡγεῖτο δὲ καὶ τότε
Ἀρχίδαμος. ἐλθὼν δὲ ἐδῄου καὶ τῆς Ἀρκαδίας ὅσα ἐδύ-
νατο, καὶ τῆς Σκιρίτιδος, καὶ πάντα ἐποίει, ὅπως, εἰ δύ-
ναιτο, ἀπαγάγοι τοὺς πολιορκοῦντας. οἱ δὲ Ἀρκάδες οὐδέν
22 τι μᾶλλον ἐκινοῦντο, ἀλλὰ ταῦτα πάντα παρεώρων. Κα-
τιδὼν δέ τινα λόφον ὁ Ἀρχίδαμος, δι᾽ οὗ τὸ ἔξω σταύρωμα
περιεβέβληντο οἱ Ἀρκάδες, ἐνόμισεν ἑλεῖν ἂν τοῦτον, καὶ, εἰ
τούτου κρατήσειεν, οὐκ ἂν δύνασθαι μένειν τοὺς ὑπὸ τοῦτον
πολιορκοῦντας. κύκλῳ δὲ περιάγοντος αὐτοῦ ἐπὶ τοῦτο τὸ
χωρίον, ὡς εἶδον οἱ προθέοντες πελτασταὶ τοῦ Ἀρχιδάμου
τοὺς Ἐπαρίτους ἔξω τοῦ σταυρώματος, ἐπιτίθενται αὐτοῖς, καὶ
ἱππεῖς συνεμβάλλειν ἐπειρῶντο. οἱ δ᾽ οὐκ ἐνέκλιναν, ἀλλὰ
συντεταγμένοι ἡσυχίαν εἶχον. οἱ δ᾽ αὖ πάλιν ἐνέβαλον.
ἐπεὶ δὲ οὐδὲ τότε ἐνέκλιναν, ἀλλὰ καὶ ἐπῄεσαν, ἤδη οὔσης
πολλῆς κραυγῆς, ἐβοήθει δὲ καὶ αὐτὸς Ἀρχίδαμος, ἐκτρα-
πόμενος κατὰ τὴν ἐπὶ Κρῶμνον φέρουσαν ἁμαξιτὸν, εἰς
23 δύο ἔχων, ὥσπερ ἐτύγχανεν ἄγων. Ὡς δ᾽ ἐπλησία-
σαν ἀλλήλοις, οἱ μὲν σὺν τῷ Ἀρχιδάμῳ κατὰ κέρας,

δύνανται οἱ πολιορκούμενοι διὰ τὸν λιμόν. Συνέντες οὖν οἱ Λάκωνες τὸ λεχθὲν ἐβοήθησαν κατὰ κράτος τοῖς ἐν τῇ Κρώμνῳ.

§. 22. ἐνόμισεν ἑλεῖν ἄν. In Edd. A. J. C. Br. deeſt ἄν. Caſtal. ἐνόμιζεν. Deinde cum L. et Stephan. vulgatam ſcripturam τοῦτο et ὑπὸ τοῦτο mutavi, quoniam hæc omnia ad τὸν λόφον referuntur.

Ἐπαρίτους. De his vide infra ad §. 33.

οὐκ ἐνέκλιναν. A. J. Br. Caſtal. ἀνέκλιναν. Verba, quæ deinceps ſequuntur, ἀλλὰ συντεταγμένοι uſque ad οὐδὲ τότε ἐνέκλιναν primus Steph. inſeruit orationi, quem ſecuti ſunt L. et Wels.

ἐβοήθει δή. Ita recte Leoncl. pro vulgato δέ.

§. 23. κατὰ κέρας. Supra vi. 5. 16. eſt *a latere*; quæ tamen ſignificatio hic locum non habet, ut addita ἅτε καθ᾽ ὁδὸν πορευόμενοι arguunt. Dubitavit etiam Morus in Indice, ubi h. l.

ἅτε καθ' ὁδὸν πορευόμενοι, οἱ δὲ Ἀρκάδες [ἀθρόοι] συνασπιδοῦντες, ἐν τούτῳ οὐκέτι ἐδύναντο οἱ Λακεδαιμόνιοι ἀντέχειν τῷ τῶν Ἀρκάδων πλήθει, ἀλλὰ ταχὺ μὲν ὁ Ἀρχίδαμος ἐτέτρωτο τὸν μηρὸν διαμπὰξ, ταχὺ δ' οἱ μαχόμενοι πρὸ αὐτοῦ ἀπέθνησκον, Πολυαινίδας τε καὶ Χίλων, ὁ τὴν ἀδελφὴν τοῦ Ἀρχιδάμου ἔχων. καὶ οἱ πάντες δὲ αὐτῶν τότε ἀπέθανον οὐκ ἔλαττον τῶν τριάκοντα. Ὡς δὲ κατὰ 24 τὴν ὁδὸν ἀναχωροῦντες εἰς τὴν εὐρυχωρίαν ἐξῆλθον, ἐνταῦθα δὴ Λακεδαιμόνιοι ἀντιπαρετάξαντο. καὶ μὴν οἱ Ἀρκάδες, ὥσπερ εἶχον, συντεταγμένοι ἔστησαν, καὶ πλήθει μὲν ἐλείποντο, εὐθυμότερον δὲ πολὺ εἶχον, ἐπεληλυθότες δὴ ἀποχωροῦσι, καὶ ἄνδρας ἀπεκτονότες. οἱ δὲ Λακεδαιμόνιοι μάλα ἀθύμως εἶχον, τετρωμένον μὲν ὁρῶντες τὸν Ἀρχίδαμον, ἀκηκοότες δὲ τὰ ὀνόματα τῶν τεθνηκότων, ἀνδρῶν τε ἀγαθῶν, καὶ σχεδὸν τῶν ἐπιφανεστάτων. Ὡς 25 δὲ, πλησίον ὄντων, ἀναβοήσας τὶς τῶν πρεσβυτέρων εἶπε· τί δεῖ ἡμᾶς, ὦ ἄνδρες, μάχεσθαι, ἀλλ' οὐ σπεισαμένους διαλυθῆναι; ἄσμενοι δὴ ἀκούσαντες, ἐσπείσαντο. καὶ οἱ μὲν Λακεδαιμόνιοι τοὺς νεκροὺς ἀνελόμενοι ἀπῆλθον, οἱ δ' Ἀρκάδες ἐπαναχωρήσαντες, ἔνθα τὸ πρῶτον ἤρξαντο ἐπιέναι, τρόπαιον ἐστήσαντο.

laudaverat. Res hæc eſt: Duxerat ſcilicet Archidamus copias ſuas per anguſtam viam, ubi bini milites in agmine incedebant, quod græce dicitur: εἰς δύω ἔχων; contra Arcades ex vallo conferti prorumpebant, et ex loco ampliore Archidamum, anguſtiis laborantem et paucos tantum milites opponentem, facile vincebant. Quare κατὰ κέρας longe aliud quid ſignificat. In Anabaſi iv. 6. 6. ἐπὶ κέρας ἄγειν ſignificat agmen longum, cujus frons ſeu latitudo multo eſt minor altitudine. In Hipparch. iv. 3. ἣν διὰ στενῶν ὁδῶν ἐλαύνῃς·—εἰς κέρας ἡγητέον· ἢν δὲ πλατείαις ἐπιτυγχάνῃς ὁδοῖς—πλατυντέον τῆς φυλῆς τὸ μέτωπον. In Cyrop. i. 6. 43. κατὰ κέρας ἄγειν idem dicitur et opponitur ἐπὶ φάλαγγος ἄγειν. Sic et h. l. Verbum συνασπιδοῦντες ſupra iii. 5. adfuit, ubi ſimpliciter ſocietatem belli et armorum ſignificabat. Additur hic ἀθρόοι, ut reſpondeat verbis κατὰ κέρας. Morus vocem ἀθρόοι velut interpretamentum verbi συνασπιδοῦντες delendam cenſebat.

μαχόμενοι. Caſtal. μαχούμενοι.

§. 24. δὴ ἀποχωροῦσι. A. J. Bryl. Caſtal. δέ.

§. 25. σπεισαμένους. Margo Leoncl. habet σπεισομένους.

26 Ὡς δὲ οἱ Ἀρκάδες περὶ τὸν Κρῶμνον ἦσαν, οἱ ἐκ τῆς πόλεως Ἠλεῖοι, πρῶτον μὲν ἰόντες ἐπὶ τὴν Πύλον, ἐπιτυγχάνουσι τοῖς Πυλίοις, ἀποκεκρουσμένοις ἀπὸ τῶν Θαλαμῶν. καὶ προσελαύνοντες οἱ ἱππεῖς τῶν Ἠλείων, ὡς εἶδον αὐτοὺς, οὐκ ἠμέλησαν, ἀλλ᾽ εὐθὺς ἐμβάλλουσι, καὶ τοὺς μὲν ἀποκτιννύουσιν, οἱ δέ τινες αὐτῶν καταφεύγουσιν ἐπὶ γήλοφον. ἐπεὶ μέντοι ἦλθον οἱ πεζοὶ, ἐκκόπτουσι καὶ τοὺς ἐπὶ τῷ γηλόφῳ, καὶ τοὺς μὲν αὐτῶν ἀπέκτειναν, τοὺς δὲ καὶ ζῶντας ἔλαβον, ἐγγὺς διακοσίων. καὶ ὅσοι μὲν ξένοι ἦσαν αὐτῶν, ἀπέδοντο· ὅσοι δὲ φυγάδες, ἀπέσφαττον. μετὰ δὲ ταῦτα τούς τε Πυλίους, ὡς οὐδεὶς αὐτοῖς ἐβοήθει, σὺν αὐτῷ τῷ χωρίῳ αἱροῦσι, καὶ τοὺς Μαργανέας ἀναλαμβάνουσι.

27 Καὶ μὴν οἱ Λακεδαιμόνιοι, ὕστερον αὖ ἐλθόντες νυκτὸς ἐπὶ τὸν Κρῶμνον, ἐπικρατοῦσι τοῦ σταυρώματος, καὶ τούς τε Ἀργείους καὶ τοὺς πολιορκουμένους τῶν Λακεδαιμονίων εὐθὺς ἐξεκάλουν. ὅσοι μὲν οὖν ἐγγύτατά τε ἐτύγχανον ὄντες καὶ ὠξυλάβησαν, ἐξῆλθον· ὁπόσους δὲ ἔφθασαν πολλοὶ τῶν Ἀρκάδων συμβοηθήσαντες, ἀπεκλείσθησαν ἔνδον, καὶ ληφθέντες διενεμήθησαν· καὶ ἓν μέρος ἔλαβον Ἀργεῖοι, ἓν δὲ Θηβαῖοι, ἓν δὲ Ἀρκάδες, ἓν δὲ Μεσσήνιοι. οἱ δὲ σύμπαντες ληφθέντες Σπαρτιατῶν τε καὶ περιοίκων πλέονες τῶν ἑκατὸν ἐγένοντο.

§. 26. *ἐκ τῆς πόλεως Ἠλεῖοι.* Qui antea in urbem pulſi fugerant. Vide ſupra §. 19.

*Πύλον.* In quam nuper Elei exſules cum Arcadibus ſe contulerant; vide ſupra §. 28. Thalamas Meſſeniæ oppidum ex Stephano Byz. affert Morus, et laudat ſimul Polybium iv. 75. Sed ex eo loco non ſolum ſitus a natura munitiſſimus cognoſcitur, ſed diſcimus etiam Eleorum fuiſſe caſtellum.

*ἀποκεκρουσμένοις.* Edd. veteres *ἀποκεκρουμένοις.*

*τοὺς δὲ καί.* In L. St. Welſ. omittitur *καί.* Paulo antea margo Leoncl. *λόφῳ* habet.

§. 27. *τούς τε Ἀργείους.* Partem aliquam Argivorum, Lacedæmoniis faventem, intelligi neceſſe eſt; alii enim cum Arcadibus faciebant et captorum hoſtium quartam partem ſortiti ſunt, ut deinceps narratur. Palmerius vero p. 76. Exercit. legere jubet: *ἐπικρατοῦσι τοῦ σταυρώματος τοῦ κατὰ τοὺς Ἀργείους*, tenebant eam valli partem, quam Argivi cuſtodiebant. Quam equidem emendationem, a Moro omiſſam, approbo.

*πλέονες.* Caſtal. *πλείονες.*

Ἐπεὶ γε μὴν οἱ Ἀρκάδες ἐσχόλασαν ἀπὸ τοῦ Κρώμνου, 28 πάλιν δὴ περὶ τοὺς Ἠλείους εἶχον, καὶ τήν τε Ὀλυμπίαν ἐῤῥωμενέστερον ἐφρούρουν, καὶ ἐπιόντος Ὀλυμπιακοῦ ἔτους, παρεσκευάζοντο ποιεῖν τὰ Ὀλύμπια σὺν τοῖς Πισάταις, τοῖς πρώτοις φάσκουσι προστῆναι τοῦ ἱεροῦ. ἐπεὶ δὲ ὅ τε μὴν ἧκεν, ᾧ τὰ Ὀλύμπια γίγνεται, αἵ τε ἡμέραι, ἐν αἷς ἡ πανήγυρις ἀθροίζεται, ἐνταῦθα δὴ οἱ Ἠλεῖοι ἐκ τοῦ φανεροῦ συσκευασάμενοι, καὶ παρακαλέσαντες τοὺς Ἀχαιοὺς, ἐπορεύοντο τὴν Ὀλυμπιακὴν ὁδόν. Οἱ δὲ Ἀρκάδες ἐκεί- 29 νους μὲν οὐκ ἄν ποτε ᾤοντο ἐλθεῖν ἐπὶ σφᾶς, αὐτοὶ δὲ σὺν Πισάταις διετίθεσαν τὴν πανήγυριν. καὶ τὴν μὲν ἱπποδρομίαν ἤδη ἐπεποιήκεσαν, καὶ τὰ δρομικὰ τοῦ πεντάθλου· οἱ δ᾽ εἰς πάλην ἀφικόμενοι οὐκέτι ἐν τῷ δρόμῳ, ἀλλὰ μεταξὺ τοῦ δρόμου καὶ τοῦ βωμοῦ ἐπάλαιον. οἱ γὰρ Ἠλεῖοι παρῆσαν ἤδη σὺν τοῖς ὅπλοις εἰς τὸ τέμενος. οἱ δ᾽ Ἀρκάδες ποῤῥωτέρω μὲν οὐκ ἀπήντησαν, ἐπὶ δὲ τοῦ Κλαδάου ποταμοῦ παρετάξαντο, ὃς παρὰ τὴν Ἄλτιν καταῤῥέων εἰς τὸν Ἀλφειὸν ἐμβάλλει. καὶ σύμμαχοι δὲ παρῆσαν αὐτοῖς, ὁπλῖται μὲν Ἀργείων εἰς δισχιλίους, Ἀθηναίων δὲ ἱππεῖς περὶ τετρακοσίους. Καὶ μὴν οἱ Ἠλεῖοι τἀπὶ θάτερα τοῦ 30 ποταμοῦ παρετάξαντο, σφαγιασάμενοι δὲ εὐθὺς ἐχώρουν.

§. 28. φάσκουσι προστῆναι. Rem brevius narrat Diodor. xv. 78. Hinc vero evenit, ut Elei hanc Olympiadem, in qua facta erant omnia vi, et Pisatæ atque Arcades ludis præfuerant, ne numerarent quidem. Pausanias vi. 22. Ἀνολυμπιάδας hanc cum 10. et 34. fuisse appellatas ab Eleis, tradit. Mensis erat Atheniensium Hecatombæon.

§. 29. ἐν τῷ δρόμῳ. Junt. Ald. Cast. ἐν δρόμῳ. Est pro stadio. Ὁ βωμὸς est altare Jovis Olympii ex cineribus victimarum accumulatus, uti ferebat fama. Fuit extra lucum sacrum, ut sequentia docere videntur.

τὸ τέμενος. Articulum omisit J. Cast.

Κλαδάου. Apud Pausaniam Κλάδεος appellatur.

τὴν Ἄλτιν. In Ald. est Ἄλτην. Sic etiam L. St. W. Αἴτην est in margine L. et W. Veram scripturam Brodæus exhibuit et defendit Koen ad Gregor. p. 99. Est lucus sacer, in quo ludi fiebant, quem paulo antea dixit Xenophon τὸ τέμενος. Pindarus iii. 30. ἄλσος vocat et διὸς αἴτει πανδόκῳ addit, in qua voce Ἄλτιν latere merito suspicatur Heynius.

ἱππεῖς. Vocem hanc omisit A. Junt. Castal. De equitibus, Atheniensibus subsidio missis Arcadibus, vide supra §. 6. et notam ad §. 12.

καὶ τὸν πρόσθεν χρόνον εἰς τὰ πολεμικὰ καταφρονούμενοι μὲν ὑπ' Ἀρκάδων καὶ Ἀργείων, καταφρονούμενοι δὲ ὑπὸ Ἀχαιῶν καὶ Ἀθηναίων, ὅμως ἐκείνῃ τῇ ἡμέρᾳ τῶν μὲν συμμάχων, ὡς ἀλκιμώτατοι ὄντες, ἡγοῦντο· τοὺς δ' Ἀρκάδας (τούτοις γὰρ πρώτοις συνέβαλον) καὶ εὐθὺς ἐτρέψαντο, καὶ ἐπιβοηθήσαντας δὲ τοὺς Ἀργείους δεξάμενοι, καὶ
31 τούτων ἐκράτησαν. Ἐπεὶ μέντοι κατεδίωξαν εἰς τὸ μεταξὺ τοῦ βουλευτηρίου καὶ τοῦ τῆς Ἑστίας ἱεροῦ, καὶ τοῦ πρὸς ταῦτα προσήκοντος θεάτρου, ἐμάχοντο μὲν οὐδὲν ἧττον, καὶ ἐώθουν πρὸς τὸν βωμόν· ἀπὸ μέντοι τῶν στοῶν τε καὶ τοῦ βουλευτηρίου καὶ τοῦ μεγάλου ναοῦ βαλλόμενοι, καὶ ἐν τῷ ἰσοπέδῳ μαχόμενοι, ἀποθνήσκουσιν ἄλλοι τε τῶν Ἠλείων, καὶ αὐτὸς ὁ τῶν τριακοσίων ἄρχων Στρατόλας. τούτων δὲ πρα-
32 χθέντων, ἀπεχώρησαν εἰς τὸ αὐτῶν στρατόπεδον. Οἱ μέντοι Ἀρκάδες, καὶ οἱ μετ' αὐτῶν, οὕτως ἐπεφόβηντο τὴν ἐπιοῦσαν ἡμέραν, ὥστε οὐδὲ ἀνεπαύσαντο τῆς νυκτὸς ἐκκόπτοντες τὰ διαπεπονημένα σκηνώματα, καὶ ἀποσταυροῦντες. οἱ δ' αὖ Ἠλεῖοι, ἐπεὶ τῇ ὑστεραίᾳ προσιόντες εἶδον καρτερὸν τὸ τεῖχος, καὶ ἐπὶ τῶν ναῶν πολλοὺς ἀναβεβηκότας, ἀπῆλθον εἰς τὸ ἄστυ, τοιοῦτοι γενόμενοι, οἵους τὴν ἀρετὴν θεὸς μὲν ἂν ἐμπνεύσας δύναιτο καὶ ἐν ἡμέρᾳ ἀποδεῖξαι, ἄνθρωποι δ' οὐδ' ἂν ἐν πολλῷ χρόνῳ τοὺς μὴ ὄντας ἀλκίμους ποιήσειαν.

33 Χρωμένων δὲ τοῖς ἱεροῖς χρήμασι τῶν ἐν τοῖς Ἀρκάσιν ἀρχόντων, καὶ ἀπὸ τούτων τοὺς Ἐπαρίτους τρεφόντων, πρῶ-

Olymp. 104. $\frac{1}{2}$.

§. 32. μὲν ἂν ἐμπνεύσας. Edd. A. J. Castal. omittunt ἄν. Xenophon hanc subitaneam Eleis fortitudinem ab ipso Jove et reliquis Diis Olympicis inspiratam fuisse monet, pro quorum aris pugnarint. Aristides Eleusin. Orat. p. 452. τὴν δ' ἐπ' Ἀλφειῷ μάχην σιωπῶ· πλὴν ὅσα καὶ ταύτῃ σύμβολον οὐ φαῦλον ἐπέστη παρὰ τοῦ Διός, ἡ τῶν ἀποστερουμένων τόλμα καὶ νίκη.

§. 33. Ἐπαρίτους. Epariti hic et supra §. 22. atque infra §. 36. sunt in exercitu Arcadum milites stipendiarii et mercenarii. Infra cap. 5. 3. legati etiam ex Eparitis mittuntur Lacedæmonem ab Arcadibus. Hesychius: Ἐπαρόητοι· (pro Ἐπάριτοι) τάγμα Ἀρκαδικὸν μαχιμώτατον, καὶ οἱ παρὰ Ἀρκάσι δημόσιοι φύλακες. Stephan. Byz. hunc Xenophontis locum laudans, Ἐπαρί-

τοι Μαντινεῖς ἀπεψηφίσαντο, τοῖς ἱεροῖς χρήμασι μὴ χρῆσθαι. καὶ αὐτοὶ τὸ γιγνόμενον μέρος εἰς τοὺς Ἐπαρίτους ἐκ τῆς πόλεως ἐκπορίσαντες, ἀπέπεμψαν τοῖς ἄρχουσιν. οἱ δὲ ἄρχοντες, φάσκοντες, αὐτοὺς λυμαίνεσθαι τὸ Ἀρκαδικὸν, ἀνεκαλοῦντο εἰς τοὺς μυρίους τοὺς προστάτας αὐτῶν· καὶ ἐπεὶ οὐχ ὑπήκουον, κατεδίκασαν αὐτῶν, καὶ τοὺς Ἐπαρίτους ἔπεμπον, ὡς ἄξοντας τοὺς κατακεκριμένους. οἱ μὲν οὖν Μαντινεῖς, κλείσαντες τὰς πύλας, οὐκ ἐδέχοντο αὐτοὺς εἴσω. Ἐκ δὲ τούτου τάχα δὴ καὶ ἄλλοι τινὲς ἔλεγον ἐν τοῖς μυρίοις, ὡς οὐ χρὴ τοῖς ἱεροῖς χρήμασι χρῆσθαι, οὐδὲ καταλιπεῖν εἰς τὸν ἀεὶ χρόνον τοῖς παισὶν ἔγκλημα τοῦτο εἰς τοὺς θεούς. ὡς δὲ καὶ ἐν τῷ κοινῷ ἀπέδοξε μηκέτι χρῆσθαι τοῖς ἱεροῖς χρήμασι, ταχὺ δὴ οἱ μὲν οὐκ ἂν δυνάμενοι ἄνευ μισθοῦ τῶν Ἐπαρίτων εἶναι, διεχέοντο· οἱ δὲ δυνάμενοι, παρακελευσάμενοι αὐτοῖς, καθίσαντο εἰς τοὺς Ἐπαρίτους, ὅπως μὴ αὐτοὶ ἐπ᾽ ἐκείνοις, ἀλλ᾽ ἐκεῖνοι ἐπὶ σφίσιν εἶεν. γνόντες δὲ οἱ τῶν ἀρχόντων διακεχειρικότες τὰ ἱερὰ χρήματα, ὅτι, εἰ δώσοιεν εὐθύνας, κινδυνεύσειαν ἀπολέσθαι, πέμπουσιν εἰς Θήβας, καὶ διδάσκουσι τοὺς Θηβαίους, ὡς, εἰ μὴ στρατεύσειαν, κινδυνεύσαιεν οἱ Ἀρκάδες πάλιν λακωνίσαι. Καὶ οἱ μὲν παρεσκευάζοντο, ὡς στρατευσόμενοι· οἱ γὰρ τὰ κράτιστα τῇ Πελοποννήσῳ βου-

34 (margin, at "ἔλεγον")

35 (margin, at "παρεσκευάζοντο")

τας appellat, et ἔθνος Ἀρκαδίας eſſe dicit, nomine ab urbe Ἔπαρις ducto, quam tamen alibi nominatam legiſſe ſe ipſe negat. Cohortem potius aliquam arcadicam fuiſſe cenſet Morus. Certiora afferre non poſſum. Comparari poſſe videntur cum Eleorum τριακοσίοις. Cives fuiſſe, ex civitatibus omnibus collectos, apparet ex §. 34.

ἀπεψηφίσαντο. Junt. Caſtal. ἐπεψηφίσαντο. Male. Ita poſtea dicitur etiam ἀπέδοξε μηκέτι χρῆσθαι. Cæterum Diodorus xv. 82. hæc habet: τῶν δὲ Μαντινέων ἀναλαβόντων εἰς τοὺς ἰδίους βίους οὐκ ὀλίγα τῶν ἀναθημάτων ἔσπευδον οἱ παρανομήσαντες διακατέχειν τὸν πρὸς Ἠλείους πόλεμον ἵνα μὴ δῶσιν ἐν εἰρήνῃ λόγον τῶν ἀναλωθέντων.

§. 34. εἰς τοὺς θεούς. Margo Leoncl. πρὸς τοὺς θεούς.

διακεχειρικότες. In Edd. A. J. C. διακεχειρηκότες. In Œcon. xiv. 6. τὰ διαχειριζόμενα ſunt res, quæ adminiſtrantur a ſervis. In Anabaſ. i. 9. 17. eſt πολλὰ δικαίως αὐτῷ διεχειρίζετο. In Cyrop. i. 4. 25. ἀνδρὸς ἔργα διαχειριζόμενον pro vulgato διαπραττόμενον ex Codice reſtituit Zeunius.

λευόμενοι ἔπεισαν τὸ κοινὸν τῶν Ἀρκάδων, πέμψαντας πρέσβεις εἰπεῖν τοῖς Θηβαίοις, μὴ ἰέναι σὺν ὅπλοις εἰς τὴν Ἀρκαδίαν, εἰ μή τι καλοῖεν. καὶ ἅμα μὲν ταῦτα πρὸς τοὺς Θηβαίους ἔλεγον, ἅμα δὲ ἐλογίζοντο, ὅτι πολέμου οὐδὲν δέοιντο. τοῦ τε γὰρ ἱεροῦ τοῦ Διὸς προεστάναι οὐδὲν προσδεῖσθαι ἐνόμιζον, ἀλλ᾽ ἀποδιδόντες ἂν καὶ δικαιότερα καὶ ὁσιώτερα ποιεῖν, καὶ τῷ θεῷ [οἴεσθαι] μᾶλλον ἂν οὕτω χαρίζεσθαι. βουλομένων δὲ ταῦτα καὶ τῶν Ἠλείων, ἔδοξεν ἀμφοτέροις εἰρήνην ποιήσασθαι· καὶ ἐγένοντο σπονδαί.

36 Γενομένων δὲ τῶν ὅρκων, καὶ ὀμοσάντων τῶν τε ἄλλων ἁπάντων, καὶ τῶν Τεγεατῶν, καὶ αὐτοῦ τοῦ Θηβαίου, ὃς ἐτύγχανεν ἐν τῇ Τεγέᾳ ἔχων ὁπλίτας τριακοσίους τῶν Βοιωτῶν, οἱ μὲν ἄλλοι Ἀρκάδες [ἐν τῇ Τεγέᾳ] αὐτοῦ καταμένοντες, ἐδειπνοποιοῦντό τε καὶ εὐθυμοῦντο, καὶ σπονδὰς καὶ παιᾶνας, ὡς εἰρήνης γεγενημένης, ἐποιοῦντο· οἱ δὲ Θηβαῖοι, καὶ τῶν ἀρχόντων οἱ φοβούμενοι τὰς εὐθύνας, σύν τε τοῖς Βοιωτοῖς καὶ τοῖς ὁμογνώμοσι τῶν Ἐπαρίτων, κλείσαντες τὰς πύλας τοῦ τῶν Τεγεατῶν τείχους, πέμποντες ἐπὶ τοὺς συσκηνοῦντας, συνελάμβανον τοὺς βελτίστους. Ἅτε

§. 35. [οἴεσθαι]. Recte inclusum damnavit Morus.

[Οἴεσθαι, ita coeat cum reliquis, si ex verbo ἐνόμιζον aliud sumseris, v. c. ἔφασαν. Jam erit ἔφασαν οἴεσθαι οὕτω μᾶλλον ἂν χαρίζεσθαι τῷ θεῷ, *aiebant se putare* etc. Ut iii. 2. 12. est, οὕτως ἂν ἔφασαν τάχιστα νομίζειν αὐτὸν συγχωρήσειν etc. *F. A. Wolfius.*]

§. 36. Ἀρκάδες. Edd. A. J. Br. Cast. Ἀκαρνᾶνες. Male. Sequentia verba ἐν τῇ Τεγέᾳ velut interpretationem verbi αὐτοῦ damnat Morus, sed jam antea defenderat Valckenair ad Herodot. p. 339. apposito etiam latino exemplo, ubi *indidem Thèbis* dicitur. Cæterum Diodor. xv. 82. rem ita narrat. Cum duces, donariis et pecuniis sacris abusi, timerent pacem et sacrilegii pœnam, bellum protrahere satagebant, et, factione Arcadum excitata, pacem procrastinabant. Tegeatæ, diversas a Mantinensibus partes secuti, Bœotorum auxilia duce Epaminonda advocabant; Mantinenses contra subsidium petebant ab Atheniensibus et Lacedæmoniis. Dum vero Lacedæmonii regionem Tegeatarum vastabant, Epaminondas cum auxiliis suis versus Mantineam accedebat.—Vulgatam lectionem nunc video etiam recte defendi a viro docto Kœppen.

καταμένοντες. Margo Leonclav. ἐπικαταμείναντες habet.

ὁ δὲ Θηβαῖος. Scilicet Harmostes Thebanus. Vide suprà cap. 1. 31. Ita emendavit Leonclav. vulgatum οἱ Θηβαῖοι.

ἅτε δή. Morus emendabat δέ. E-

δὴ ἐκ πασῶν τῶν πόλεων παρόντων τῶν Ἀρκάδων, καὶ πάντων εἰρήνην βουλομένων ἔχειν, πολλοὺς ἔδει τοὺς συλλαμβανομένους εἶναι· ὥστε ταχὺ μὲν αὐτοῖς τὸ δεσμωτήριον μεστὸν ἦν, ταχὺ δὲ ἡ δημοσία οἰκία. Ὡς δὲ πολλοὶ οἱ 37 εἰργμένοι ἦσαν, πολλοὶ δὲ κατὰ τοῦ τείχους ἐκπεπηδηκότες, ἦσαν δὲ οἳ καὶ διὰ τῶν πυλῶν ἀφεῖντο, (οὐδεὶς γὰρ οὐδενὶ ὠργίζετο, ὅστις μὴ ᾤετο ἀπολεῖσθαι) ἀπορῆσαι δὴ μάλιστα ἐποίησε τόν τε Θηβαῖον, καὶ τοὺς μετ' αὐτοῦ ταῦτα πράττοντας, ὅτι Μαντινέας, οὓς μάλιστα ἐβούλοντο λαβεῖν, ὀλίγους τινὰς πάνυ εἶχον· διὰ γὰρ τὸ ἐγγὺς τὴν πόλιν εἶναι, σχεδὸν πάντες ᾤχοντο οἴκαδε. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, 38 καὶ τὰ πεπραγμένα ἐπύθοντο οἱ Μαντινεῖς, εὐθὺς πέμποντες εἰς τὰς ἄλλας Ἀρκαδικὰς πόλεις, προηγόρευον ἐν τοῖς ὅπλοις εἶναι, καὶ φυλάττειν τὰς πόλεις. καὶ αὐτοὶ δὲ οὕτως ἐποίουν, καὶ ἅμα πέμψαντες εἰς τὴν Τέγεαν, ἀπῄτουν, ὅσους ἔχοιεν ἄνδρας Μαντινεῖς· καὶ τῶν ἄλλων δὲ Ἀρκάδων οὐδένα ἀξιοῦν ἔφασαν οὔτε δεδέσθαι, οὔτε ἀποθνήσκειν πρὸ δίκης. καὶ εἴ τινες ἐπῃτιῶντο, καὶ ἔλεγον ἀπαγγέλλοντες, ὅτι ἡ τῶν Μαντινέων πόλις ἐγγυῷτο, ἦ μὴν παρέξειν εἰς τὸ κοινὸν τῶν Ἀρκάδων, ὁπόσους τις προσκαλοῖτο. Ἀκούων οὖν ὁ Θηβαῖος, ἠπόρει τε, ὅ τι 39 χρήσαιτο τῷ πράγματι, καὶ ἀφίησι πάντας τοὺς ἄνδρας. καὶ τῇ ὑστεραίᾳ συγκαλέσας τῶν Ἀρκάδων, ὁπόσοι γε δὴ

quidem vulgatam ſequor, etſi δὲ jam reperio in margine Leonclavii.

*δημοσία οἰκία.* Aliis uſibus forte dicata alio tempore.

[*δημοσία οἰκία.* Eſſe genus carceris vel cuſtodiæ, manifeſtum eſt. Lacedæmonii *δημόσιον, τὸ*, carcerem vocabant, ut eſt in fœdere apud Thucyd. v. 18. *Ex Addendis.*]

§. 37. *τόν τε Θηβαῖον.* Omittunt *τε* J. A. Caſt.

*ἐβούλοντο.* Caſt. *ἐβούλετο.*

§. 38. *ἀξιοῦν ἔφασαν.* Languidam vulgatam lectionem *ἀξιοῦντες ἦσαν* poſtpoſui ei, quam St. L. et Wels ediderunt.

*καὶ εἴ τινες ἐπῃτιῶντο, ἔλεγον.* Ita auctore Leoncl. ſcripſi pro vulgata lectione: *καί τινες ἐπαιτιῶντο.* In Caſtal. recte eſt *ἐπῃτιῶντο.* Stephani lectionem *οἱ δέ τινες* Leonclavius emendabat ſic: *εἰ δέ τινας ἐπῃτιῶντο, ἔλεγον* etc.

*προσκαλοῖτο.* Scil. *εἰς δίκην.* Igitur non eſt opus conjectura V. D. in Bibl. Crit. Amſtel. qui *προκαλοῖτο* emendabat.

συνελθεῖν ἠθέλησαν, ἀπελογεῖτο, ὡς ἐξαπατηθείη. ἀκοῦσαι γὰρ ἔφη, ὅτι Λακεδαιμόνιοί τε εἶεν σὺν τοῖς ὅπλοις ἐπὶ τοῖς ὁρίοις, προδιδόναι τε αὐτοῖς μέλλοιεν τὴν Τέγεαν τῶν Ἀρκάδων τινές. οἱ δ' ἀκούσαντες, ἐκεῖνον μὲν, καίπερ γιγνώσκοντες, ὅτι ἐψεύδετο περὶ σφῶν, ἀφίεσαν· πέμψαντες δ' εἰς Θήβας πρέσβεις, κατηγόρουν αὐτοῦ, ὡς δεῖν
40 ἀποθανεῖν. Τὸν δ' Ἐπαμινώνδαν ἔφασαν (καὶ γὰρ στρατηγῶν τότε ἐτύγχανε) λέγειν, ὡς πολὺ ὀρθότερον ποιήσειεν, ὅτε συνελάμβανε τοὺς ἄνδρας, ἢ ὅτε ἀφῆκε. τὸ γὰρ, ἡμῶν δι' ὑμᾶς εἰς πόλεμον καταστάντων, ὑμᾶς ἄνευ τῆς ἡμετέρας γνώμης εἰρήνην ποιεῖσθαι, πῶς οὐκ ἂν δικαίως προδοσίαν τις ὑμῶν τοῦτο κατηγοροίη; εὖ δ' ἴστε, ἔφη, ὅτι ἡμεῖς καὶ στρατευσόμεθα εἰς τὴν Ἀρκαδίαν, καὶ σὺν τοῖς τὰ ἡμέτερα φρονοῦσι πολεμήσομεν.

## ΚΕΦ. Ε.

ὩΣ δὲ ταῦτα ἀπηγγέλθη πρός τε τὸ κοινὸν τῶν Ἀρκάδων καὶ τὰς πόλεις, ἐκ τούτου ἀνελογίζοντο Μαντινεῖς τε, καὶ τῶν ἄλλων Ἀρκάδων οἱ κηδόμενοι τῆς Πελοποννήσου, ὡσαύτως δὲ καὶ Ἠλεῖοι καὶ Ἀχαιοὶ, ὅτι οἱ Θηβαῖοι δῆλοι εἶεν ὡς ἀσθενεστάτην βουλόμενοι τὴν Πελοπόννησον εἶ-
2 ναι, ὅπως ὡς ῥᾷστα αὐτὴν καταδουλώσαιντο. Τί γὰρ δὴ πολεμεῖν ἡμᾶς βούλονται, ἢ ἵνα ἡμεῖς μὲν ἀλλήλους κακῶς ποιῶμεν, ἐκείνων δ' ἀμφότεροι δεώμεθα; ἢ τί, λεγόντων ἡμῶν, ὅτι οὐ δεόμεθα αὐτῶν ἐν τῷ παρόντι, παρασκευάζονται ὡς ἐξιόντες; οὐ δῆλον, ὡς ἐπὶ τὸ κακόν τι ἡμᾶς
3 ἐργάζεσθαι στρατεύειν παρασκευάζονται; Ἔπεμπον δὲ καὶ

§. 39. ἐκεῖνον—ἀφίεσαν. In Edd. A. J. Br. Castal. est ἐκεῖνοι ἀπῄεσαν.
ὡς δεῖν. Castalio ὡς δεῖ.
§. 40. πόλεμον καταστάντων. Hoc cum Steph. posui pro vulgata lectione, quam sensus respuit, καταστησάντων. Ita καταστῆναι εἰς ἀπορίαν est in Œcon. ii. 7.
§. 1. καὶ τὰς πόλεις. Margo Leoncl. καὶ κατὰ πόλεις.
ὅτι οἱ Θηβαῖοι. Articulum omisit A. J. Cast.

Ἀθήναζε, βοηθεῖν κελεύοντες· ἔπεμψαν δὲ καὶ εἰς Λακεδαίμονα πρέσβεις ἀπὸ τῶν Ἐπαρίτων, παρακαλοῦντες Λακεδαιμονίους, εἰ βούλοιντο κοινῇ διακωλύειν, ἄν τινες ἴωσι καταδουλωσόμενοι τὴν Πελοπόννησον. περὶ μέντοι ἡγεμονίας αὐτόθεν διεπράττοντο, ὅπως ἐν τῇ ἑαυτῶν ἕκαστοι ἡγήσοιντο.

4 Ἐν ὅσῳ δὲ ταῦτ' ἐπράττετο, Ἐπαμινώνδας ἐξῄει, Βοιωτοὺς ἔχων πάντας, καὶ Εὐβοέας, καὶ Θετταλῶν πολλοὺς (Olymp. 104. 2/1.) παρά τε Ἀλεξάνδρου καὶ τῶν ἐναντίων αὐτῷ. Φωκεῖς μέντοι οὐκ ἠκολούθουν, λέγοντες, ὅτι συνθῆκαι σφίσιν αὐτοῖς εἶεν, εἴ τις ἐπὶ Θήβας ἴοι, βοηθεῖν· ἐπ' ἄλλους δὲ στρατεύειν, οὐκ εἶναι ἐν ταῖς συνθήκαις. 5 Ὁ μέντοι Ἐπαμινώνδας ἐλογίζετο, καὶ ἐν Πελοποννήσῳ σφίσιν ὑπάρχειν Ἀργείους τε καὶ Μεσσηνίους, καὶ Ἀρκάδων τοὺς τὰ σφέτερα φρονοῦντας. ἦσαν δὲ οὗτοι Τεγεᾶται, καὶ Μεγαλοπολῖται, καὶ Ἀσεᾶται, καὶ Παλαντιεῖς, καὶ εἴ τινες δὴ πόλεις, διὰ τὸ σμικραί τε εἶναι καὶ ἐν μέσαις ταύταις οἰκεῖν, ἠναγκάζοντο. 6 Ἐξῆλθε μὲν δὴ ὁ Ἐπαμινώνδας διὰ ταχέων· ἐπεὶ δὲ ἐγένετο ἐν Νεμέᾳ, ἐνταῦθα διέτριβε, νομίζων τοὺς Ἀθηναίους παριόντας λήψεσθαι, καὶ οἰόμενος, μέγα ἂν τοῦτο γενέσθαι τοῖς μὲν σφετέροις συμμάχοις,

§. 3. ἔπεμψαν δέ. Margo Leonclav. ἐπορεύθησαν.

αὐτόθεν. Statim ab initio.

§. 4. Ἀλεξάνδρου. Pheræorum tyranno, de quo ſupra vi. 4. 34. Eum, acerrimum antea Thebanorum hoſtem, tandem vero a Pelopida victum, coegerant Thebani promittere, ſe duces Thebanos ad quodlibet bellum ſecuturum eſſe. Plutarch. Pelop. c. 35. Morus.

ἐναντίων. Sunt eæ civitates, quas oppreſſas nuper ab Alexandro, Thebani, victo eo, libertati reſtituerant. Vide Plutarchum ibid. Morus.

§. 5. Μεσσηνίους. Cauſam aperit Plutarch. Pelop. c. 24. τὴν δὲ Μεσσηνίαν χώραν νεμομένων Σπαρτιατῶν ἀποτεμόμενοι τοὺς παλαιοὺς Μεσσηνίους ἐκάλουν καὶ κατῆγον Ἰθώμην συνοικίσαντες. Ithomen non nominat, ſed urbem Meſſenem, cum antea urbs Meſſene nulla eſſet, ſed regio tantum. Diodor. xv. 66.

Ἀσεᾶται. Ita Steph. et Palmerius ſcripſerunt pro vulgato Ἀσθιάται. Supra adfuit Ἀσέα vi. 5.

Παλαντιεῖς. Ita Palmerius Exercit. p. 76. ſcripſit pro vulgato Παλαντεῖς. Nomen eſt Παλάντιον apud Pauſaniam viii. 27.

§. 6. ἐξῆλθε μὲν δή. Leoncl. St. W. μέντοι. Articulum ante Epaminondæ nomen omiſit Caſtal.

νομίζων. Margo Leoncl. ἐλπίζων, et deinde λογιζόμενος pro οἰόμενος.

εἰς τὸ ἐπιῤῥῶσαι αὐτοὺς, τοῖς δὲ ἐναντίοις, εἰς τὸ εἰς ἀθυμίαν ἐμπεσεῖν· ὡς δὲ συνελόντι εἰπεῖν, πᾶν ἀγαθὸν εἶναι 7 Θηβαίοις, ὅ τι ἐλάττοιντο Ἀθηναῖοι. Ἐν δὲ τῇ διατριβῇ αὐτοῦ ταύτῃ συνήεσαν πάντες οἱ ὁμοφρονοῦντες εἰς τὴν Μαντίνειαν. Ἐπεὶ μέντοι ὁ Ἐπαμινώνδας ἤκουσε, τοὺς Ἀθηναίους τὸ μὲν κατὰ γῆν πορεύεσθαι ἀπεγνωκέναι, κατὰ θάλατταν δὲ παρασκευάζεσθαι, ὡς διὰ Λακεδαίμονος βοηθήσοντας τοῖς Ἀρκάσιν, οὕτω δὴ ἀφορμήσας ἐκ τῆς 8 Νεμέας, ἀφικνεῖται εἰς τὴν Τέγεαν. Εὐτυχῆ μὲν οὖν ἔγωγε οὐκ ἂν φήσαιμι τὴν στρατείαν αὐτῷ γενέσθαι· ὅσα μέντοι προνοίας ἔργα καὶ τόλμης ἐστὶν, οὐδέν μοι δοκεῖ ὁ ἀνὴρ ἐλλιπεῖν. πρῶτον μὲν γὰρ ἔγωγε ἐπαινῶ αὐτοῦ, ὅτι τὸ στρατόπεδον ἐν τῷ τείχει τῶν Τεγεατῶν ἐποιήσατο, ἔνθ' ἐν ἀσφαλεστέρῳ τε ἦν, ἢ εἰ ἔξω ἐστρατοπεδεύσατο, καὶ τοῖς πολεμίοις ἐν ἀδηλοτέρῳ, ὅ τι πράττοιτο. καὶ παρασκευάζεσθαι δὲ, εἴ του ἐδεῖτο, ἐν τῇ πόλει ὄντι εὐπορώτερον ἦν. τῶν δὲ ἑτέρων ἔξω στρατευομένων, ἐξῆν ὁρᾷν, εἴτε τι ὀρθῶς ἐπράττετο, εἴτε τι ἡμάρτανον. καὶ μὴν οἰόμενος κρείττων τῶν ἀντιπάλων εἶναι, ὁπότε ὁρῴη χωρίοις πλεονεκτοῦντας αὐτοὺς, οὐκ 9 ἐξήγετο ἐπιτίθεσθαι. Ὁρῶν δὲ οὔτε πόλιν προσχωροῦσαν αὐτῷ οὐδεμίαν, τόν τε χρόνον ἐξήκοντα, ἐνόμισε πρακτέον τι εἶναι· εἰ δὲ μὴ, ἀντὶ τῆς πρόσθεν εὐκλείας πολλὴν

*εἰς τὸ εἰς ἀθυμίαν ἐμπεσεῖν.* In Edd. A. J. Br. Caſt. eſt ſcriptum *εἰς τὸ ἀθυμίαν ἐμπεσεῖν* omiſſo altero *εἰς.* Hanc lectionem ſecutus Zeunius in margine libri emendaverat *ἐμποιῆσαι.* Quam conjecturam probo.

§. 7. *τὸ μὲν—ἀπεγνωκέναι.* In Anab. i. 7. 19. eſt *ἀπεγνωκέναι τοῦ μαχεῖσθαι.* Sed Diodorus xv. 53. *τὸ μὲν ταύτῃ ποιεῖσθαι τὴν διέξοδον ἀπέγνω.* Ita ſæpius idem variavit caſum genitivum et accuſativum.

*διὰ Λακεδαίμονος.* I. e. per Laconicam.

*οὕτω δή.* Ita recte Caſtal. et margo Leoncl. Vulgo *οὕτω δέ.*

§. 8. *στρατείαν.* Margo Leonclav. *στρατηγείαν.* Recte puto. Diodorus xv. 83. de hac ipſa expeditione ita ſcribit: *συνετωτέραν δὲ στρατηγίαν τὴν τοῦ Λακεδαιμονίου ἡγήσαιτο.*

*ὁ ἀνὴρ ἐλλιπεῖν.* Articulum reſtituit Leoncl. Vulgatum autem antea *ἐλλείπειν* emendavit Morus.

*ἢ εἰ ἔξω.* Ita recte Br. Caſtal. Vulgo deeſt *ἤ.*

*εὐπορώτερον ἦν.* Poſtremum verbum omiſit A. J. Caſt.

§. 9. *χρόνον ἐξήκοντα.* Imperii ſcilicet ſui. Vide infra §. 18. In margine Leoncl. eſt *προβαίνοντα.*

ἀδοξίαν προσεδέχετο. ἐπεὶ οὖν κατεμάνθανε περὶ μὲν Μαντίνειαν τοὺς ἀντιπάλους πεφυλαγμένους, μεταπεμπομένους δὲ Ἀγησίλαόν τε καὶ πάντας τοὺς Λακεδαιμονίους, καὶ ᾔσθετο ἐξεστρατευμένον τὸν Ἀγησίλαον, καὶ ὄντα ἤδη ἐν Πελλήνῃ, δειπνοποιησάμενος, παραγγείλας, ἡγεῖτο τῷ στρατεύματι εὐθὺς ἐπὶ Σπάρτῃ. Καὶ εἰ μὴ Κρὴς, θείᾳ 10 τινὶ μοίρᾳ προσελθὼν, ἐξήγγειλε τῷ Ἀγησιλάῳ προσιὸν τὸ στράτευμα, ἔλαβεν ἂν τὴν πόλιν ὥσπερ νεοττιὰν, παντάπασιν ἔρημον τῶν ἀμυνουμένων. ἐπεὶ μέντοι, προπυθόμενος ταῦτα Ἀγησίλαος, ἔφθη εἰς τὴν πόλιν ἀπελθὼν, διαταξάμενοι οἱ Σπαρτιᾶται ἐφύλαττον, καὶ μάλα ὀλίγοι ὄντες· οἵ τε γὰρ ἱππεῖς αὐτοῖς πάντες ἐν Ἀρκαδίᾳ ἀπῄεσαν, καὶ τὸ ξενικὸν, καὶ τῶν λόχων δέκα ὄντων οἱ τρεῖς.

τοὺς ἀντιπάλους. Ita recte L. St. W. pro vulgato ἄλλους.

Πελλήνῃ. Pellenem Achaiae oppidum non esse, multis argumentis vicit Morus, et censuit intelligi Pellanam dorice dictam a Pausania Gr. iii. 20, 21. in Laconica, in via, ad Arcadiam ducente, sitam et a Sparta ultra 50. stadia distantem. Plutarchus Agesil. cap. 34. laudato hoc ipso Xenophontis loco et Callisthene refert Agesilaum tum fuisse in itinere versus Mantineam; Polybius l. c. ad Mantineam eum fuisse narrat. Quae quidem testimonia demonstrant, intelligi oppidum aliquod Arcadiae ipsius aut in via ad Mantineam situm, quale est Pellana, a Pausania nominata aliquoties. Hucusque Morus, qui breviore multo disputatione defungi poterat, si Pellenem Laconicae, ab Arcadibus oppugnatae, apud Diodorum xv. 67. memoria illi suggessisset. In vulgatis Diodori libris scribitur Παλλήνη. Refert scil. Diodorus, Epaminondam, cum non longe abesset a Mantinea, audivisse, Lacedaemonios agrum Tegeatarum vastare; igitur statim statuisse Spartam ipsam aggredi, atque ita noctu iter ingressum esse. Hactenus consentiunt Xenophon eumque secutus Plutarchus Agesil. cap. 34. Sed deinceps Diodorus Agin regem nominat; et Agesilaum pro Archidamo; nisi is est librarii error, nimis ineptus pro Diodori eruditione. Denique Plutarch. de Gloria Athen. p. 364. ed. Reiske noctu quidem profectum Epaminondam esse consentit, sed antea hostes instructos ante Mantineam ad pugnam provocasse, quam illi, subsidia Atheniensium expectantes, detrectaverint.—Nunc demum video Palmerium jam olim in Exercit. p. 76. recte admonuisse, de Laconica Pellene esse sermonem, nec hujus observationis meminisse Morum.

καὶ—παραγγείλας. Copulam καὶ auctore Moro addidi. Polybius haec ipsa narrans ix. 8. dicit δειπνοποιήσασθαι παραγγείλας. Noctu profectum a Tegea tradunt Diodorus et Plutarchus. Forte aliquot verba h. l. exciderunt.

§. 10. Κρής. Hunc locum respicit Plutarchus Ages. c. 34. Plures nuncios Cretenses ex numero hemerodromorum fuisse, tradit Diodor. xv. 82.

ἐν Ἀρκαδίᾳ ἀπῄεσαν. Forte ἀπῆσαν. Portus tamen dictum putabat pro ἀπῄεσαν εἰς Ἀρκαδίαν.

οἱ τρεῖς. In margine St. L. W. est δώδεκα ὄντων οἱ τρεῖς. In articulo, addito numero, vim peculiarem inesse

11 Ἐπεὶ δὲ ἐγένετο Ἐπαμινώνδας ἐν τῇ πόλει τῶν Σπαρτιατῶν, ὅπου μὲν ἔμελλον ἔν τε ἰσοπέδῳ μαχεῖσθαι, καὶ ἀπὸ τῶν οἰκιῶν βληθήσεσθαι, οὐκ εἰσῄει ταύτῃ, οὐδὲ ὅπου γε μηδὲν πλέον μαχεῖσθαι τῶν ὀλίγων πολλοὶ ὄντες· ἔνθεν δὲ πλεονεκτεῖν ἂν ἐνόμιζε, τοῦτο λαβὼν τὸ χωρίον 12 κατέβαινε, καὶ οὐκ ἀνέβαινεν εἰς τὴν πόλιν. Τό τε γεμὴν ἐντεῦθεν γενόμενον, ἔξεστι μὲν τὸ θεῖον αἰτιᾶσθαι, ἔξεστι δὲ λέγειν, ὡς τοῖς ἀπονενοημένοις οὐδεὶς ἂν ὑποσταίη. Ἐπεὶ γὰρ ἡγεῖτο Ἀρχίδαμος, οὐδὲ ἑκατὸν ἔχων ἄνδρας, καὶ διαβὰς, ὅπερ ἐδόκει τι ἔχειν κώλυμα, ἐπορεύετο ἐπὶ τοὺς ἀντιπάλους, ἐνταῦθα δὴ οἱ πῦρ πνέοντες, οἱ νενικηκότες τοὺς Λακεδαιμονίους, οἱ τῷ παντὶ πλέονες, καὶ πρὸς τούτοις ὑπερδέξια χωρία ἔχοντες, οὐκ ἐδέξαντο τοὺς περὶ τὸν Ἀρ-13 χίδαμον, ἀλλ' ἐγκλίνουσι. Καὶ οἱ μὲν πρῶτοι τῶν Ἐπαμινώνδου ἀποθνήσκουσιν· ἐπεὶ μέντοι ἀγαλλόμενοι τῇ νίκῃ ἐδίωξαν οἱ ἔνδοθεν πορρωτέρω τοῦ καιροῦ, οὗτοι αὖ ἀποθνήσκουσι· περιεγέγραπτο γὰρ, ὡς ἔοικεν, ὑπὸ τοῦ θείου, μέχρις ὅσου ἡ νίκη ἐδέδοτο αὐτοῖς. Καὶ ὁ μὲν δὴ Ἀρχί-

putabat Morus, ut certæ aliquæ cohortes ſignificentur, quæ alias ſtationem perpetuam habere ſolerent.

§. 11. ἐν τῇ πόλει. Ad urbem, prope urbem. Morus. Polybius ix. 8. Epaminondam, ait, primo impetu urbis partem aliquam cepiſſe et ad forum uſque penetraſſe; ſed elapſo ad Ageſilaum transfuga et adpropinquante exercitu Ageſilai coactum fuiſſe, re infecta redire. Attigit eam rem Polyænus ii. 2. 10. Diodorus xv. 83. tradit, pueros et ſenes juſſos fuiſſe e muris lapides conjicere in hoſtes.

πλέον. Ita cum Leoncl. ſcripſi pro vulgato πλείονες. Magis tamen arridet emendatio V. D. in Bibl. Critica Amſtelod. qui legit: πλέον ἔμελλον ἔχειν. Cæterum in hac narrationis brevitate, in qua manifeſtum inprimis eſt ſtudium Xenophontis in Lacedæmonios, difficile eſt abſque accurata locorum notitia, recte omnia intelligere. Hoc tamen in univerſum tenendum, καταβαίνειν ſignificare deſcenſum in locum planum, ἀναβαίνειν aſcenſum in editum et montuoſum.

§. 12. ὑποσταίη. Eadem notione cum dativo jungitur Anabaſi iii. 2. 7.

ἐπορεύετο. In margine L. St. additur: πρὸς ὄρθιον ἐπορεύετο. Cæterum Plutarchus Ageſ. c. 34. ita refert hac de re: ἐν πρώτοις ὁ Ἀρχίδαμος ἠγωνίζετο ὑπερηφάνως, ἐπὶ τὰ θλιβόμενα τῆς μάχης διαθέων διὰ τῶν στενωπῶν, καὶ πανταχοῦ ἀντερείδων τοῖς πολεμίοις.

§. 13. οἱ μὲν πρῶτοι. Juſtinus vi. 7. In eo prælio duo duces hoſtium cecidere; deinde ipſum Epaminondam graviter vulneratum fuiſſe refert.

πορρωτέρω τοῦ καιροῦ. Anabaſ. iv. 3. 24. προσωτέρω τοῦ καιροῦ. Male igitur in J. Caſt. deeſt articulus.

δᾶμος τρόπαιόν τε ἵστατο, ἔνθα ἐπεκράτησε, καὶ τοὺς ἐνταῦθα πεσόντας τῶν πολεμίων ὑποσπόνδους ἀπεδίδου. Ὁ 14 δ' Ἐπαμινώνδας λογιζόμενος, ὅτι οἱ Ἀρκάδες βοηθήσαιεν εἰς τὴν Λακεδαίμονα, ἐκείνοις μὲν οὐκ ἐβούλετο καὶ πᾶσι Λακεδαιμονίοις ὁμοῦ γενομένοις μάχεσθαι, ἄλλως τε καὶ εὐτυχηκόσι, τῶν δὲ ἀποτετυχηκότων· πάλιν δὲ πορευθεὶς ὡς ἐδύνατο τάχιστα εἰς τὴν Τέγεαν, τοὺς μὲν ὁπλίτας ἀνέπαυσε, τοὺς δὲ ἱππέας ἔπεμψεν εἰς τὴν Μαντίνειαν, δεηθεὶς αὐτῶν προσκαρτερῆσαι, καὶ διδάσκων, ὡς πάντα μὲν εἰκὸς ἔξω εἶναι τὰ τῶν Μαντινέων βοσκήματα, πάντας δὲ τοὺς ἀνθρώπους, ἄλλως τε καὶ σίτου συγκομιδῆς οὔσης. Καὶ οἱ μὲν ᾤχοντο· οἱ δ' Ἀθηναῖοι ἱππεῖς, 15 ὁρμηθέντες ἐξ Ἐλευσῖνος, ἐδειπνοποιήσαντο μὲν ἐν Ἰσθμῷ· διελθόντες δὲ καὶ τὰς Κλεωνὰς, ἐτύγχανον προσιόντες εἰς

ἐπεκράτησε. J. Cast. ἀπεκράτησε. Eædem Edd. deinde καὶ ὑποσπόνδους ἀπεδίδου habent.

§. 14. πάλιν δὲ πορευθείς. Cum audivisset, Mantinenses advenire, auxilium laturos, copias paululum a Sparta abductos cœnare jussit, equitibus tantum aliquot in castris relictis, qui ignes ad matutinam usque vigiliam alerent; ipse noctu cum exercitu properat ad Mantineam, quam defensore vacuam opprimere volebat. Ita Diodor. xv. 84. Contra Plutarchus de Gloria Atheniens. pag. 364. ita de Epaminonda loquitur: ὑπέδειξε μὲν ὡς αὖθις ἐπὶ λεηλασίαν καὶ φθορὰν τῆς χώρας τρεψόμενος, ἐξαπατήσας δὲ καὶ κατακοιμίσας οὕτω τοὺς πολεμίους ἀνέζευξε νυκτὸς, Mantinenses tum auxilia voluisse submittere Lacedæmoniis, cum ante urbem subito adesset Epaminondas. De Epaminondæ nocturna in Spartam expeditione quædam habet Polyænus ii. 3. 10. quæ alibi haud reperias. Ille scil. Agesilaum, ait, comperto ex transfugis Epaminondæ consilio, antevertisse hostem cum exercitu, eumque excepisse firmo animo: οἱ δὲ προσπεσόντες ἐξώσθησαν μετὰ βίας ὑπὸ τῶν Λακεδαιμονίων· ὡς δ' ἐν ἰσχυρῷ κινδύνῳ ταραχωδῶς ἐμπεσόντες, καὶ διὰ νυκτὸς φεύγειν βιασθέντες ἀπέβαλλον πολλοὶ τὰς ἀσπίδας etc. Aliunde rem eandem narrat Frontinus iii. 11. 5. Epaminondas, inquit, apud Mantineam, cum Lacedæmonios in subsidium hosti venisse animadverteret, ratus, posse Lacedæmonem occupari, si clam illo profectus esset, nocte crebros ignes fieri jussit, ut specie remanendi occultaret profectionem; sed a transfuga proditus, assecuto exercitu Lacedæmoniorum, itinere quidem, quo Spartam petebat, destitit: idem tamen consilium convertit ad Mantineenses; æque enim, ignibus factis, Lacedæmonios, quasi maneret, frustratus, per quadraginta millia passuum Mantineam revertitur, eamque auxilio destitutam occupavit.—Quem locum ex reliquorum narratione interpretaberis.

§. 15. Κλεωνάς. Oppidulum inter Corinthum et Argos situm, de quo Pausanias ii. 15. Hanc equitum Atheniensium pugnam cum Thebanis pinxerat Euphranor, auctore Plutarcho de Gloria Atheniensium. Eandem picturam memorat Pausanias Attic. 1. pag. 9. Plinius xxxv. sect. 40. inter Euphranoris opera equestre prælium commemorans, hoc ipsum

τὴν Μαντίνειαν, καὶ καταστρατοπεδευσάμενοι ἐντὸς τείχους ἐν ταῖς οἰκίαις. ἐπεὶ δὲ δῆλοι ἦσαν προσελαύνοντες οἱ πολέμιοι, ἐδέοντο οἱ Μαντινεῖς τῶν Ἀθηναίων ἱππέων βοηθῆσαι, εἴ τι δύναιντο· ἔξω γὰρ εἶναι καὶ τὰ βοσκήματα πάντα, καὶ τοὺς ἐργάτας, πολλοὺς δὲ καὶ παῖδας καὶ γεραιτέρους τῶν ἐλευθέρων· ἀκούσαντες δὲ ταῦτα οἱ Ἀθηναῖοι ἐκβοηθοῦσιν, ἔτι ὄντες ἀνάριστοι, καὶ αὐτοὶ καὶ οἱ ἵπποι. 16 Ἐνταῦθα δὴ τούτων αὖ τὴν ἀρετὴν τίς οὐκ ἂν ἀγασθείη; οἳ καὶ πολὺ πλείονας ὁρῶντες τοὺς πολεμίους, καὶ δυστυχήματος γεγενημένου ἐν Κορίνθῳ τοῖς ἱππεῦσιν, οὐδὲν τούτου ἐπελογίσαντο, οὐδὲ ὅτι καὶ Θηβαίοις ἅμα καὶ Θετ-

intelligit, et ipſum artificem Olymp. 104. eminuiſſe longe ante omnes tradit, qua ipſa hæc pugna accidit. Locus Pauſaniæ ita habet: *ἐν δὲ τῇ γραφῇ τῶν ἱππέων ἐστὶ μάχη, ἐν ᾗ γνωριμώτατοι Γρύλλος τε ὁ Ξενοφῶντος ἐν τοῖς Ἀθηναίοις καὶ κατὰ τὴν ἵππον τὴν Βοιωτίαν Ἐπαμινώνδας ὁ Θηβαῖος.* Iterum ille ix. p. 741. *καὶ Ἀθήνησιν ἐν ἵππων μάχῃ τὸν Ἐπαμινώνδαν ὁ ἀνὴρ οὗτος γέγραπται φονεύων Γρύλλος ὁ Ξενοφῶντος*, ubi dubito, num verbum *γέγραπται pictus* an *adſcriptus eſt* interpreter. Mirum enim mihi accidit, Pauſaniam Grylli faciem in pictura agnoviſſe. Forte igitur nomen fuit adſcriptum. Cæterum ex Pauſaniæ narratione apparet, non velitationem equitum Athenienſium cum Thebanis ante ipſam magnam pugnam, ſed hanc, duce Epaminonda commiſſam, cum equitibus pictam fuiſſe ab Euphranore.

[*Κλεωνάς.* Polyb. xii. p. 108. ubi Epaminondæ hanc expeditionem aliunde narrat, monet, Thebanos, noctu profectos, verſus meridiem adveniſſe in agrum Mantineenſem; qui cum primo agmine attigiſſent jam templum Neptuni ſeptem ſtadiis ab urbe diſſitum, eodem ſimul tempore Athenienſium auxilia apparuiſſe ſubito in monte, urbi imminente, eaque rogatu civium obviam iſſe Thebanis. *Ex Addendis.*]

*ἐντὸς τείχους.* Leoncl. emendabat *ἐντὸς τοῦ τείχους.* Cum adeſſet Epaminondas, ſubito Athenienſium auxilia militum 6000 (*στρατιῶται*) duce Hegelocho adveniunt, quorum quoſdam in urbis præſidio collocavit, reliquos ad pugnam produxit. Equites Athenienſes tamen deinceps commemorat Diodorus; et ſubſidia illa adveniſſe, ait, *ἐπὶ θάτερα τῆς Μαντινείας*, ergo a dextra Thebanorum. Cæterum Diodorus victoriam equitum Athenienſium ante ipſam pugnam nullam commemorat. Plutarchus autem plane cum Xenophonte facit.

*ἀνάριστοι.* Plutarch. de Gloria Athenienſ. p. 365. *ἐν τούτῳ δὲ Ἀθηναῖοι κατέβαινον ἀπὸ τῶν ἄκρων εἰς τὴν Μαντινικὴν, οὐκ εἰδότες τὴν ῥοπὴν—ἀλλ' ὁδῷ πορευόμενοι καθ' ἡσυχίαν· ὡς δέ τις αὐτῶν ἐκδραμὼν ἀπήγγειλε τὸν κίνδυνον, ὀλίγοι μὲν ὄντες ὡς πρὸς τὸ πλῆθος τῶν πολεμίων, ἐξ ὁδοῦ δὲ κεκμηκότες, οὐδενὸς δὲ τῶν ἄλλων συμμάχων παρόντος, ὅμως εὐθὺς εἰς τάξιν καθίσαντο τοῖς πλείστοις· οἱ δ' ἱππεῖς διασκευασάμενοι καὶ προσεξελάσαντες ὑπὸ τὰς πύλας αὐτὰς καὶ τὸ τεῖχος ἔθεντο καρτερὰν ἱππομαχίαν καὶ κρατήσαντες ἐκ τῶν χειρῶν τοῦ Ἐπαμινώνδα ἀφείλοντο τὴν Μαντίνειαν.*

§. 16. *ἐν Κορίνθῳ.* Reſpicit, puto, caſum ſupra c. i. 5. 6. aut §. 29. memoratum, ubi Athenienſes ex caſtello Corinthiorum, Onio, dejecti obiter memorantur.

*Θηβαίοις—Θεσσαλοῖς.* Diodorus ipſius pugnæ Mantinenſis initium factum eſſe, ait, ab equitibus in corni-

ταλοῖς, τοῖς κρατίστοις ἱππεῦσιν εἶναι δοκοῦσιν, ἔμελλον μάχεσθαι· ἀλλ' αἰσχυνόμενοι, εἰ παρόντες μηδὲν ὠφελήσειαν τοὺς συμμάχους, ὡς εἶδον τάχιστα τοὺς πολεμίους, συνέρραξαν, ἐρῶντες ἀνασώσασθαι τὴν πατρῴαν δόξαν. Καὶ μαχόμενοι, αἴτιοι μὲν ἐγένοντο σωθῆναι πάντα τὰ 17 ἔξω τοῖς Μαντινεῦσιν· αὐτῶν δ' ἀπέθανον ἄνδρες ἀγαθοί, καὶ ἀπέκτειναν δὲ δηλονότι τοιούτους· οὐδὲν γὰρ οὕτω βραχὺ ὅπλον ἑκάτεροι εἶχον, ᾧ οὐκ ἐξικνοῦντο ἀλλήλων, καὶ τοὺς μὲν φίλους νεκροὺς ἀνείλοντο, τῶν δὲ πολεμίων ἦν οὓς ὑποσπόνδους ἀπέδοσαν. Ὁ δ' αὖ Ἐπαμινώνδας, ἐνθυμού- 18 μενος, ὅτι ὀλίγων μὲν ἡμερῶν ἀνάγκη ἔσοιτο ἀπιέναι, διὰ τὸ ἐξήκειν τῇ στρατείᾳ τὸν χρόνον· εἰ δὲ καταλείψει ἐρήμους, οἷς ἦλθε σύμμαχος, ἐκεῖνοι πολιορκήσοιντο ὑπὸ τῶν ἀντιπάλων, αὐτὸς δὲ λελυμασμένος παντάπασι τῇ ἑαυτοῦ δόξῃ ἔσοιτο, ἡττημένος μὲν ἐν Λακεδαίμονι σὺν πολλῷ ὁπλιτικῷ ὑπ' ὀλίγων, ἡττημένος δὲ ἐν Μαντινείᾳ ἱππομαχίᾳ, αἴτιος δὲ γεγενημένος διὰ τὴν ἐς Πελοπόννησον στρατείαν τοῦ συνεστάναι Λακεδαιμονίους, καὶ Ἀρκάδας, καὶ Ἀχαιοὺς, καὶ Ἠλείους, καὶ Ἀθηναίους· ὥστε οὐκ ἐδόκει αὐτῷ δυνατὸν εἶναι ἀμαχεὶ παρελθεῖν, λογιζομένῳ,

bus utriusque exercitus collocatis; equites Athenienses Thessalis et Thebanis non tam virtute, animo et peritia cessisse quam superatos fuisse multitudine militum levis armaturæ et acie, multo prudentius ab hostibus structa, xv. 85.

§. 17. αἴτιοι—σωθῆναι. Vide supra ad cap. 4. §. 19. ubi docui, legendum esse τοῦ σωθῆναι.

§. 18. στρατείᾳ. Morus emendabat στρατηγίᾳ, imperii sui tempus. Timebat enim Epaminondas, ne iterum sibi accideret, quod antea, cum ultra tempus legibus definitum imperium retinuisset, eamque ob rem in judicium vocatus esset, auctore Plutarcho.

καταλείψει. Budæus Comment. Gr. L. pag. 170. et 346. emendabat καταλείψοι. Recte. Deinde τῶν ante ἀντιπάλων omisit Castal.

Ἀχαιούς. Diodorus xv. 85. aciem et numerum sociorum, qui cum Lacedæmoniis stabant, ita enarrat; In dextro cornu cum Lacedæmoniis stabant Mantinenses et reliqui Arcades; post eos Elei, Achæi; in sinistro Athenienses soli stabant. In adverso exercitu Thebani cum Arcadum robore et Tegeatis sinistrum cornu obtinebant, dextrum Argivi; medium locum occupabant Locri, Eubœenses, Sicyonii, Messenii, Malienses, Ænianes et Thessali. Xenophon Athenienses equites in sinistro cornu constitisse assentitur §. 24.

ὅτι, εἰ μὲν νικῴη, πάντα ταῦτα ἀναλύσοιτο· εἰ δὲ ἀποθάνοι, καλὴν τὴν τελευτὴν ἡγήσατο ἔσεσθαι, πειρωμένῳ
19 τῇ πατρίδι ἀρχὴν Πελοποννήσου καταλιπεῖν. Τὸ μὲν οὖν αὐτὸν τοιαῦτα διανοεῖσθαι οὐ πάνυ μοι δοκεῖ θαυμαστὸν εἶναι· φιλοτίμων γὰρ ἀνδρῶν τὰ τοιαῦτα διανοήματα· τὸ μέντοι στράτευμα παρεσκευακέναι, ὡς πόνων τε μηδένα ἀποκάμνειν, μήτε νυκτὸς, μήτε ἡμέρας, κινδύνου τε μηδενὸς ἀφίστασθαι, σπάνιά τε τὰ ἐπιτήδεια ἔχοντας ὅμως πείθεσθαι ἐθέλειν, ταῦτά μοι δοκεῖ θαυμαστότερα εἶναι.
20 Καὶ γὰρ ὅτε τὸ τελευταῖον παρήγγειλεν αὐτοῖς παρασκευάζεσθαι, ὡς μάχης ἐσομένης, προθύμως μὲν ἐλευκοῦντο οἱ ἱππεῖς τὰ κράνη, κελεύοντος ἐκείνου· ἐπεγράφοντο δὲ καὶ τῶν Ἀρκάδων ὁπλῖται, ῥόπαλα ἔχοντες, ὡς Θηβαῖοι ὄντες· πάντες δὲ ἠκονῶντο καὶ λόγχας καὶ μαχαί-
21 ρας, καὶ ἐλαμπρύνοντο τὰς ἀσπίδας. Ἐπεὶ μέντοι οὕτω παρεσκευασμένους ἀπήγαγεν, ἄξιον αὖ κατανοῆσαι, ἃ

ἀναλύσοιτο. Morus attulit exemplum uſus hujus verbi ex Demoſthene περὶ συμμορ. p. 187. ed. Reiſke: τὰς προτέρας ἀναλύεσθαι ἁμαρτίας.

§. 19. οὐ πάνυ. Negationem omiſit Caſt. Male!

ἀποκάμνειν. Male Caſt. ἀποκάμνει. In Memorabil. ii. 6. 35. eſt ἀποκάμνεις μηχανώμενος.

§. 20. ἐπεγράφοντο—Ἀρκάδων. Arcadum pars et quidem robur ſe cum Epaminonda junxerat, teſte eodem Diodoro xv. 84, 85. Verbum ἐπιγράφεσθαι Morus interpretatur: inſcribebant clypeos ſuos ita, ut ſi Thebani eſſent; hoc eſt, inſcribebant iis literam Θ, ut ſupra iv. 4. 10. Sicyonios literam Σ clypeis ſuis inſcripſiſſe legimus. Sic Lacedæmonii literam Λ clypeis inſcriptam gerebant. Vide Meurſii Miſcell. Laconica i. 18. Præterea ἐπιγράφεσθαι dicitur etiam de ſymbolo aliquo, clypeis inſcripto, quale geſſiſſe conſtat Septem duces adverſus Thebas pugnantes, apud Æſchylum. Ariſtophan. Acharn. verſu 1095. καὶ γὰρ σὺ μεγάλην ἐπιγράφου τὴν Γοργόνα. Epaminondæ clypeo inſcriptus erat draco, teſte Pauſania viii. 11. Dubitat tamen Morus, num iſta notio huic loco accommodari poſſit; et dubitationis cauſam nullam indicat. Primum igitur, quod Argivi in loco antea laudato iv. 4. 10. Sicyoniorum Σ clypeis inſcripſerant ſuis, fallendi cauſſa hoſtis fecerant, quod vero locum non habet in Arcadibus, quorum alacritatem ſignificare voluit Xenophon. Videntur igitur aut literam Θ aut ſymbola Thebanorum ſuis clypeis inſcripſiſſe Arcades, quibus eo manifeſtius teſtatam facerent alacritatem animi, in Thebanos et ducem eorum Epaminondam propenſi. Recte denique Morus vulgarem interpretationem taxat, quæ habet: nomina dabant, ut Thebani: volebant dici haberique Thebani: Hoc enim ſi ſignificare voluiſſet auctor, ἀπεγράφοντο ſcripſiſſet.

Θηβαῖοι ὄντες. Poſtremum verbum excidit in Leoncl. igitur omiſit etiam Wels.

ἐποίησε. πρῶτον μὲν γὰρ, ὥσπερ εἰκὸς, συνετάττετο. τοῦτο δὲ πράττων, σαφηνίζειν ἐδόκει, ὡς εἰς μάχην παρεσκευάζετο· ἐπεὶ γε μὴν ἐτέτακτο αὐτῷ τὸ στράτευμα, ὡς ἐβούλετο, τὴν μὲν συντομωτάτην πρὸς τοὺς πολεμίους οὐκ ἦγε, πρὸς δὲ τὰ πρὸς ἑσπέραν ὄρη τῆς Τεγέας καὶ ἀντιπέραν ἡγεῖτο· ὥστε δόξαν παρεῖχε τοῖς πολεμίοις, μὴ ποιήσεσθαι μάχην ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. καὶ γὰρ δὴ, ὡς 22 πρὸς τῷ ὄρει ἐγένετο, ἐπεὶ ἐξετάθη αὐτῷ ἡ φάλαγξ, ὑπὸ τοῖς ὑψηλοῖς ἔθετο τὰ ὅπλα· ὥστε εἰκάσθη στρατοπεδευομένῳ. Τοῦτο δὲ ποιήσας, ἔλυσε μὲν τῶν πλείστων πολεμίων τὴν ἐν ταῖς ψυχαῖς πρὸς μάχην παρασκευὴν, ἔλυσε δὲ τὴν ἐν ταῖς συντάξεσιν. ἐπεὶ γε μὴν, παραγαγὼν τοὺς ἐπὶ κέρως πορευομένους λόχους εἰς μέτωπον, ἰσχυρὸν ἐποιήσατο τὸ περὶ ἑαυτὸν ἔμβολον, τότε δὴ ἀναλαβεῖν παραγγείλας τὰ ὅπλα, ἡγεῖτο· οἱ δ᾽ ἠκολούθουν. οἱ δὲ πολέμιοι ὡς εἶδον παρὰ δόξαν ἐπιόντας, οὐδεὶς αὐτῶν ἡσυχίαν ἔχειν ἠδύνατο· ἀλλ᾽ οἱ μὲν ἔθεον εἰς τὰς τάξεις, οἱ δὲ παρετάττοντο, οἱ δὲ ἵππους ἐχαλίνουν, οἱ δὲ θώρακας ἐνε-

§. 21. καὶ ἀντιπέραν. Morus emendat κατ᾽ ἀντιπέραν. Saltem esset κατὰ τὸ ἀντιπέραν, ut Venat. ix. 3. εἰς τὸ ἀντιπέρας. Sensus tamen nec ita mutatur.

§. 22. ἐπὶ κέρως. Ita recte emendavit Leoncl. et Palmerius Exercit. p. 77. vulgatum ἐπικαίρως. Idem vitium olim inhæserat loco simili de Lacedæmon. Republ. c. xi. 10. In sequentibus pro περὶ ἑαυτὸν Editio Ald. αὐτοῦ, J. Br. Cast. αὑτοῦ habent. Cæterum V. D. in Biblioth. Crit. Amstel. p. 106. vitium in vulgari lectione esse putat. Primum enim ait aciem phalangis in modum extendi, tum eam in cunei formam redigi; hanc loci sententiam, quo minus appareat, impedire verba, quæ eam ob rem ita V. D. ordinat: παραγαγὼν ἐπὶ κέρως τοὺς εἰς μέτωπον πορευομένους λόχους. Equidem nescio quid viro docto in mentem venerit, cum nec satis explicarit, quid ipsi in vulgato verborum ordine displicuerit. Epaminondas phalangem contrahit sensim et colligit in frontem, ut cunei seu rostri navalis formam efficeret. Copiæ igitur ex utroque latere explicatæ transeunt in frontem; hoc est παράγειν εἰς μέτωπον. Quod autem dum faciunt, singuli lochi incedunt ἐπὶ κέρως, hoc est, ut longo agmine bini, trini aut quaterni se exciperent milites. Hoc est enim ἐπὶ κέρως πορεύεσθαι, qua locutione sæpissime usus est Xenophon, ut apparet inprimis ex loco Cyrop. ii. 3. 21. Singuli etiam incedentes ἐπὶ κέρως πορεύεσθαι dicuntur. Sic est apud Thucydidem iii. κατὰ μίαν ἐπὶ κέρως παραπλέοντας.

ἠδύνατο. Junt. Cast. ἠδύναντο.

δύοντο· πάντες δὲ πεισομένοις μᾶλλον, ἢ ποιήσουσιν ἐῴκεσαν. 23 Ὁ δὲ τὸ στράτευμα ἀντίπρωρον [ὥσπερ τριήρη] προσῆγε, νομίζων, ὅπη ἐμβαλὼν διακόψειε, διαφθερεῖν ὅλον τὸ τῶν ἐναντίων στράτευμα· καὶ γὰρ δὴ τῷ μὲν ἰσχυροτάτῳ παρεσκευάζετο ἀγωνίζεσθαι, τὸ δὲ ἀσθενέστατον πόῤῥω ἀπέστησεν, εἰδὼς, ὅτι ἡττηθὲν ἀθυμίαν ἂν παράσχοι τοῖς μεθ' αὐτοῦ, ῥώμην δὲ τοῖς πολεμίοις. Καὶ μὴν τοὺς ἱππέας οἱ μὲν πολέμιοι αὐτοὶ παρετάξαντο, ὥσπερ ὁπλιτῶν φάλαγγος βάθος ἑξῆς, καὶ ἔρημον πεζῶν ἁμίππων·

*πεισομένοις μᾶλλον.* In L. St. et Welf. additur *μᾶλλόν τι.*

§. 23. *τὸ στράτευμα.* In Edd. A. J. Br. Caft. eft *τῷ στρατεύματι.*

*ὥσπερ τριήρη.* Inclufit hæc verba Morus, quoniam putabat, verborum antecedentium explicandorum caufa addita fuiffe ab aliena manu; effe enim *προσάγειν ἀντίπρωρον* recta verfus alium ducere. Verum vir doctus plane ita a fenfu aberravit. Non folum enim recta via fignificatur verbo *ἀντίπρωρον* et addita comparatione triremis, fed potius figura aciei, quam ita ftruxerat Epaminondas, ut proræ triremis fimilis effet. Ideo etiam primam ejus partem, ab ipfo Epaminonda ductam, *ἔμβολον*, ducta item a trireme comparatione, appellavit. Diodor. xv. 86. ubi peditum pugnam hanc defcribit, Epaminondam ait *δι' ἑαυτοῦ κρῖναι τὸν κίνδυνον. εὐθὺς οὖν ἀναλαβὼν τοὺς ἀρίστους καὶ μετὰ τούτων συμφράξας εἰσέβαλεν εἰς μέσους τοὺς πολεμίους· καθηγούμενος δὲ τοῦ συντάγματος καὶ πρῶτος ἀκοντίσας ἔβαλε τὸν ἡγούμενον τῶν Λακεδαιμονίων—διέκοψε τὴν φάλαγγα τῶν πολεμίων.* Supra iv. 3. 12. adfuit *τριήρης ἐμβολὰς ἔχουσα·* quem locum peffime vulgo de roftro navium interpretati funt. *Ἐμβάλλειν* dicitur, quando roftro fuo navis bellica dirigitur et impellitur in hoftilem; ita eft v. 1. 13. et 24. Contra vero navis, quæ ictus a roftro impulfo accepit et extruditur ex acie in terram, dicitur *τριήρης ἐμβολὰς ἔχουσα πρὸς τὴν γῆν ἐξωσθῆναι.* Æfchylus Perf. verfu 413. *ἐμβολαῖς χαλκοστόμοις* dixit, ubi tamen Abrefchius malebat *ἐμβόλοις.* Sed vulgatam lectionem recte defendit nuperus Editor, allato Thucydidis exemplo ii. 76. ubi machinæ bellicæ roftrum dicitur habere *τὸ προέχον τῆς ἐμβολῆς.* Affert etiam locum ex Xenophonte iv. 3. 12. ut doceret, *ἐμβολὴν* effe roftrum navis; fed eum falfo huc trahi etiam a Moro et Zeunio, docui. Denique Xenophon metaphoram continuavit etiam, cum ait *ὅπη ἐμβαλὼν διακόψειε.* Igitur fana et integra omnia præftare aufim. In libro de Lacedæmon. republ. cap. 11. §. 10. eft fimiliter: *τὸν λόχον ἕκαστον ὥσπερ τριήρη ἀντίπρωρον τοῖς ἐναντίοις στρέφουσι.* Ex loco hoc, comparata verfione gallici interpretis Anabafeos, Equitis *de la Luzerne*, alium demum fenfum hujus loci effe intellexi, quam ab initio putaram. Is vero locum ita vertit: *on fait faire à chaque cohorte un mouvement central de demi-converfion comme à une galere dont on veut préfenter la proue à l'ennemi.* Eandem fcilicet agminis converfionem nunc facit Epaminondas, ut etiam ex verbis præcedentibus intelligitur *παραγαγὼν τοὺς* et reliqua.

*φάλαγγος βάθος ἑξῆς.* Morus emendabat: *φάλαγγα εἰς βάθος*, deleto, veluti fuperfluo, *ἑξῆς.* Priorem hujus emendationis partem equidem approbo, alteram non aufim. Continuum ordinem militum juxta fe ftantium fignificat *ἑξῆς*, non interruptum immifto *ἁμίππων* numero. In margine Leoncl. reperio etiam *φάλαγγα* fcriptum.

*ἁμίππων.* Ex Harpocratione, qui locum Xenophontis in Hellenicis

ὁ δ' Ἐπαμινώνδας αὖ καὶ τοῦ ἱππικοῦ ἔμβολον ἰσχυρὸν 24
ἐποιήσατο, καὶ ἁμίππους πεζοὺς συνέταξεν αὐτοῖς, νομίζων, τὸ ἱππικὸν ἐπεὶ διακόψειεν, ὅλον τὸ ἀντίπαλον νενικηκὼς ἔσεσθαι· (μάλα γὰρ χαλεπὸν, εὑρεῖν τοὺς ἐθελήσοντας μένειν, ἐπειδάν τινας φεύγοντας τῶν ἑαυτοῦ ὁρῶσι) καὶ ὅπως μὴ ἐπιβοηθῶσιν οἱ Ἀθηναῖοι ἀπὸ τοῦ εὐωνύμου κέρατος ἐπὶ τὸ ἐχόμενον, κατέστησεν ἐπὶ γηλόφων τινῶν ἐναντίους αὐτοῖς καὶ ἱππέας καὶ ὁπλίτας, φόβον βουλόμενος καὶ τούτοις παρέχειν, ὡς, εἰ βοηθήσαιεν, ὄπισθεν οὗτοι ἐπικείσοιντο αὐτοῖς. Τὴν μὲν δὴ συμβολὴν οὕτως ἐποιήσατο, καὶ οὐκ ἐψεύσθη τῆς ἐλπίδος· κρατήσας γὰρ, ᾗ προσέβαλεν, ὅλον ἐποίησε φεύγειν τὸ τῶν ἐναντίων. Ἐπεὶ γε μὴν ἐκεῖνος ἔπεσεν, οἱ λοιποὶ οὐδὲ τῇ 25
νίκῃ ὀρθῶς ἔτι ἐδυνάσθησαν χρήσασθαι, ἀλλὰ, φυγούσης μὲν αὐτοῖς τῆς ἐναντίας φάλαγγος, οὐδένα ἀπέκτειναν οἱ ὁπλῖται, οὐδὲ προῆλθον ἐκ τοῦ χωρίου, ἔνθα ἡ συμβολὴ ἐγένετο· φυγόντων δ' αὐτοῖς καὶ τῶν ἱππέων, ἀπέ-

laudat, ubi ἅμιπποι nominentur, Kuſter. ad Suidam in h. v. et Kühn ad Pollucem i. 131. vulgatum ἀνίππων correxerunt. Fuiſſe pedites, equitibus immiſtos, ex Thucydide v. 57. et Harpocratione, comparato Valerio Maximo ii. 3. Cæſare de B. Gall. i. 48. Curtio vii. 7. docuit Morus, qui ſimul ἀμφίππους, deſultores, et διμάχας, equites peditesque ſimul, recte diſtinxit. Cæterum hos ἁμίππους videtur intelligere Diodorus xv. 85. ubi equites Athenienſes ſuperatos fuiſſe ait in primis a multitudine et ordinatione τῶν ψιλῶν. Ita enim recte emendavit Weſſeling vulgatum φίλων. Addit fuiſſe paucos jaculatores apud Athenienſes, cum triplo plures Thebanis eſſent et jaculatores et funditores. Infra §. 25. cum peltaſtis Xenophon τοὺς ἁμίππους nominat, eoſque cum equitibus viciſſe ait.

§. 24. ἐθελήσοντας. J. A. C. ἐθελήσαντας.

γηλόφων. Diodorus equites Athenienſes in ſiniſtro cornu collocatos tandem fugiſſe, ait, victos, ſed extra cornua receſſiſſe atque ibi incidiſſe in Eubœenſes et mercenarios quoſdam, qui miſſi erant ad vicinos colles occupandos, eoſque omnes occidiſſe. Ita intelligitur, quomodo Xenophon deinde §. 25. dixerit, ἁμίππους et peltaſtas, qui cum equitibus vicerant, poſtquam ad cornu ſiniſtrum (exercitus ſcilicet adverſi) pervenerant, ab Athenienſibus equitibus omnes fuiſſe occiſos.

§. 25. ἐκεῖνος ἔπεσεν. Manu Grylli, filii Xenophontis, interfectum narrat Pauſanias viii. 11. qui alio loco ix. 13, 14, 15. res ab Epaminonda geſtas narravit. De magnitudine ejus animi in morte ipſa vide præter Nepotem Cicer. Epiſt. ad Diverſ. v. 12. et Diodorum xv. 87. Honorem cædis Phocenſes vindicarunt Amphiſſenſes Euonymo, de quo locus eſt Plutarchi Amator. p. 51. ed. Reiſke, ubi legendum eſt : τὸν δ' Ἐπαμινώνδαν φοβερώτατον etc.

μὲν αὐτοῖς. J. A. Caſt. ἑαυτοῖς.

κτειναν μὲν οὐδὲ οἱ ἱππεῖς διώκοντες οὔτε ἱππέας οὐθ' ὁπλίτας, ὥσπερ δὲ ἡττώμενοι πεφοβημένως διὰ τῶν φευγόντων πολεμίων διέπεσον. καὶ μὴν οἱ ἅμιπποι καὶ οἱ πελτασταὶ, συννενικηκότες τοῖς ἱππεῦσιν, ἀφίκοντο μὲν ἐπὶ τοῦ εὐωνύμου, ὡς κρατοῦντες· ἐκεῖ δὲ ὑπὸ τῶν Ἀθηναίων οἱ 26 πλεῖστοι αὐτῶν ἀπέθανον. Τούτων δὲ πραχθέντων, τοὐναντίον ἐγεγένητο, οὗ ἐνόμισαν πάντες ἄνθρωποι ἔσεσθαι. Συνεληλυθυίας δὲ σχεδὸν ἁπάσης τῆς Ἑλλάδος, καὶ ἀντιτεταγμένων, οὐδεὶς ἦν, ὅστις οὐκ ᾤετο, εἰ μάχη ἔσοιτο, τοὺς μὲν κρατήσαντας ἄρξειν, τοὺς δὲ κρατηθέντας ὑπηκόους ἔσεσθαι· ὁ δὲ θεὸς οὕτως ἐποίησεν, ὥστε ἀμφότεροι μὲν ὡς νενικηκότες τρόπαιον ἐστήσαντο, τοὺς δὲ ἱσταμένους οὐδέτεροι ἐκώλυον· νεκροὺς δὲ ἀμφότεροι μὲν ὡς νενικηκότες ὑποσπόνδους ἀπέδοσαν, ἀμφότεροι δὲ ὡς ἡττημένοι ὑποσπόν-27 δους ἀπελάμβανον. Νενικηκέναι δὲ φάσκοντες ἑκάτεροι, οὔτε χώρᾳ, οὔτε πόλει, οὔτ' ἀρχῇ οὐδέτεροι οὐδὲν πλέον ἔχοντες ἐφάνησαν, ἢ πρὶν τὴν μάχην γενέσθαι· ἀκρισία δὲ καὶ ταραχὴ ἔτι πλείων μετὰ τὴν μάχην ἐγένετο, ἢ πρόσθεν, ἐν τῇ Ἑλλάδι.

ὥσπερ δέ. Ita recte Stephan. pro vulgato δὲ scripsit.

συννενικηκότες. Ita recte Leonclav. pro vulgato συννενοηκότες.

§. 26. τούτων δέ. In Leonclav. δὲ omissum neglexit etiam Wels.

νεκροὺς δὲ ἀμφότεροι. Primi Lacedæmonii mortuos ad sepulturam poposcerunt, misso caduceatore, auctore Diodoro xv. 87.

ἁπάσης τῆς Ἑλλάδος. Morus pro δὲ legere malebat γάρ. Idem reperio in margine Leonclav. scriptum. Deinde in utroque exercitu fuisse militum 33. millia, ex Diodoro xv. 84. tradit Morus; sed Diodorus in exercitu Lacedæmoniorum numerat pedites 20,000, equites 2000; contra in Thebano 30,000. pedites, 3000. equites, ex quibus summa efficitur militum 55,000. Cæterum decimo et secundo die mensis Scirrophorionis pugnam hanc factam esse, in qua soli Athenienses vicisse sibi visi sunt, testatur Plutarchus de Gloria Atheniens. p. 379. Tradit idem Plutarchus, Epaminondam, cum audivisset, Iollidam et Daiphantum occidisse, suasisse civibus suis, ut pacem cum hoste componerent, Apophthegm. p. 738. Agesilaum cum suis in fugam conversos memorat idem p. 804. Agesilaum ducem exercitus Lacedæmoniorum, et Cephisodorum equitum Atheniensium præfectum ex Ephoro nominat etiam Diogenes Laertius in Xenophonte, ut monuit ad h. l. Palmerius Exercit. p. 76. non sine reprehensione Xenophontis.

οὐδὲν πλέον. Posterius vocabulum omisit A. J. C.

Ἐμοὶ μὲν δὴ μέχρι τοῦδε γραφέσθω· τὰ δὲ μετὰ ταῦτα ἴσως ἄλλῳ μελήσει.

γραφέσθω. In Leoncl. et W. eſt γεγράφθω. Præterea in margine Leoncl. μέχρι τούτου. Cæterum in ſumma ſenectute (ἐσχατόγηρως) condidiſſe Xenophontem hiſtorias has græcas Diodorus xv. 76. ex eo arguit, quod Epaminondæ mortem, quæ Olymp. 104. 2. accidit, commemoravit adhuc. Sed recte admonuit Weſſelingius, eſſe aliud præterea argumentum in H. G. libro vi. ubi cædem Alexandri Pheræi commemoravit Xenophon, quæ facta eſt Olympiad. 105. 4. Exinde colligit, falſam eſſe rationem Steſiclidis apud Diogenem ii. 56. qui Noſtrum obiiſſe diem ſuam tradit Olympiadis 105. anno primo. Grylli mortem ad Mantineam occiſi, quanta animi conſtantia ſenex tulerit, narrat Ælianus V. H. iii. 3. et Stobæus Tit. vii. p. 89. In morte Epaminondæ ſubſtitit etiam Anaximenis Lampſaceni Hiſtoria, et Dionyſii junioris hiſtoria a Philiſco ſcripta, auctore Diodoro xv. 89.

# INDICES

IN

# XENOPHONTIS

# HISTORIAM GRÆCAM.

# INDEX GEOGRAPHICUS.

N.



O.



P.



R.



S.



T.

Z.

# INDEX PERSONARUM.

A.



B.

# INDEX GRÆCITATIS.

Λ.



M.

N.

T.